Dementsprechend darf Constantin, das Ideal eines christlichen Kaisers, nie wirklich schuldig gewesen sein. Wenn er Athanasius in die Verbannung geschickt hat, ist es entschuldbar, daß er sich ein Mal hat täuschen lassen, wie das ja auch dem heiligen König und Propheten David widerfuhr (I 33). Man erwarte nicht, in Theodorets Buche eine Erwähnung der auf Constantins Befehl auf der Synode von Jerusalem erfolgten Restitution des Arius zu finden. Der arianische Priester, der Constantia zu der Ketzerei verführte, hat niemals gewagt, seine Ketzerei vor Constantin zu enthüllen, weil er dessen Beständigkeit in der rechten Lehre wohl kannte (S. 96, 19 f). Wenn wir nur Theodoret hätten, würden wir glauben, daß der Umschwung zugunsten des Arianismus erst unter Constantius begonnen habe; wir hätten keine Kenntnis davon, daß Constantin durch den Arianer Eusebius von Nicomedien getauft worden ist, und wir wüßten nur, daß er auf seinem Sterbebett Athanasius, jenem Euse-

bius zum Trotz, zurückberufen hat (I 32), eine Zurückberufung, die im Grunde bloß durch die verdächtige Angabe Constantins II. in dem Brief an die Gemeinde von Alexandrien verbürgt ist (II 2).

Jovianus hat mit den Persern einen schimpflichen Frieden geschlossen. Theodoret muß ihn kennen. Aber Jovianus ist der Wiederhersteller des Christentums, und die Bekenner des Nicaenums haben ihn sogar für einen der Ihrigen ausgeben können; er hat Athanasius zurückberufen, er hat die von Julian versagte geistliche annona teilweise wiederhergestellt (IV 4). Kein Wort wird daher erraten lassen, um welchen Preis er den Frieden von den Feinden erkauft hat.

Der große Theodosius ist eine Art neuer Constantin, auf den Theodoret die Motive überträgt, die schon bei jenem Verwendung gefunden hatten. Man vergleiche die Kundgebungen Constantins gegenüber den Bischöfen von Nicäa mit denen des Theodosius gegenüber Meletius auf dem Concil zu Constantinopel. Es geht das bis zur Wiederholung derselben Worte: *οἷον παῖς φιλοπάτωρ* (S. 286, 23 u. 32, 22). Placilla ihrerseits ist eine zweite Helena, und ihre Lobpreisung (V 19) ist nur eine Neuauflage von der auf die Mutter Constantins (I 18, S. 65, 10 ff).

Diese ganze Ökonomie von Theodorets Erzählung hat nur den einen Zweck: Verherrlichung der wahren Kirche und Erhöhung ihrer Diener. Groß ist der Bischof, der sich der Rechte der Kirche bewußt ist und der sie trotz aller Gefahren zu verteidigen versteht. Priesterliche *παρρησίαι* bilden ein immer wiederkehrendes Thema für die hochtönende Naivität Theodorets. Groß ist ein Kaiser, der in vollem Umfang die Rechte der Bischöfe anzuerkennen versteht und sich von ihnen Weisungen geben läßt.

Als Ambrosius einige Tage nach seiner Wahl Valentinian I. gewisse Fehler seiner Beamten vorwirft (S. 219, 12 ff; vgl. Rufin. H. E. XI 11; Georg. Mon. 559, 5), läßt allein Theodoret den Kaiser antworten: »Ich kannte deine *παρρησία* seit lange und habe, gerade weil ich sie so gut kannte, deine Wahl gewünscht«. Es ist besser, in der Achtung vor den Geistlichen die Gewissenhaftigkeit zu weit zu treiben, als sich der Gefahr des Gegenteils auszusetzen. Man lese in dieser Hinsicht das merkwürdige Geschichtchen, das von Theodosius II. berichtet wird V 37, S. 339, 9 ff.

Vor allem ist der große Theodosius unter diesem Gesichtspunkt das Muster eines Kaisers: *ᾔδει σαφῶς τίνα μὲν τῶν ἱερέων, τίνα δὲ τῶν βασιλέων ἴδια* (S. 309, 21 f). Gerade bei ihm hat die freie Erfindung Theodorets in der Umgestaltung der Geschichte des Ambrosius ihr Meisterwerk vollbracht. Je mehr sich Theodoret seiner Zeit nähert, um so freier, möchte man sagen, fühlt er sich, unbehindert durch die

Überlieferung früherer Geschichtschreibung, seiner Phantasie als Hagiograph die Zügel schießen zu lassen. In der Auffassung Theodorets scheint das Blutbad von Thessalonich nur stattgefunden zu haben, um die Haupttugenden des großen Bischofs und des großen Kaisers, παρρησία bei dem einen, εὐπείθεια bei dem andern (S. 313, 7 ff), glänzen zu lassen.

Mit dieser besonders charakteristischen Episode, deren Ungenauigkeiten heute genügend bekannt sind, schließe ich meine kurzen Betrachtungen über den Wert Theodorets als Geschichtschreibers.

Schlußwort

Auf den einzelnen Seiten der Ausgabe sind über dem kritischen Apparat die Handschriften nach dem Wert geordnet angeführt, den sie für die Constitution des Textes haben, wobei die indirecte Überlieferung (T und W) immer ans Ende gestellt ist.

Der Versuch schien mir nützlich, die Grundzüge der verwickelten Überlieferung in einem einheitlichen Stammbaum zur Anschauung zu bringen. Die wechselnde Gruppierung der Handschriften, entsprechend ihrem Wert, ist auf S. XIX angegeben. Das Stemma soll zeigen, wie die verschiedenen Combinationen der Handschriften mit einer allgemeinen Hypothese über ihre Abstammung übereinstimmen können. Selbstverständlich sind zur Erläuterung des Stammbaums immer die Angaben der Einleitung und die Anordnung der Handschriften auf den einzelnen Seiten des Textes heranzuziehen. Das Eindringen der Recension z zum Beispiel in die Überlieferungen v und r, das in dem Schema durch eine gewundene Linie angedeutet wird, hat sich in den von v und r abgeleiteten Handschriften in verschiedenem Grade vollzogen, verschieden sowohl nach den Stellen wie nach den Handschriften. In dem Zweig r bleibt n im ersten Buch im allgemeinen von z unbeeinflußt. Umgekehrt wird bei den Handschriften der Familie v die alte Überlieferung (die wie bei r durch eine unterbrochene Linie —·—·—·— dargestellt wird) im ersten Teile (außer in W) fast vollständig verdrängt. Aber V^2 (V) von S. 187 ab, F von S. 249 ab und mit ihnen B^4, soviel davon vorhanden ist, entziehen sich ihrerseits gewöhnlich dem Einfluß der Recension z und lassen dann die Verwandtschaft ihrer Überlieferung mit der von B und Cassiodor hervortreten.

Bei der Benutzung des kritischen Apparates sind Schlüsse ex silentio für die auf den einzelnen Seiten aufgezählten griechischen Handschriften



zulässig, jedoch mit zwei Einschränkungen: einmal sind offenbare orthographische und Accentfehler nicht durchweg verzeichnet, dann sind ebensowenig, soweit sie mir nicht ein besonderes Interesse zu bieten schienen, die speciellen Varianten aufgenommen, die innerhalb einer Gruppe nur in einer Handschrift begegnen. Bei den Copien, die ich unter dem Text mit einem Sternchen angeführt habe, bei den lateinischen oder syrischen Übersetzungen und bei der Parallelüberlieferung darf selbstverständlich niemals ex silentio geschlossen werden.

Ein eingehendes Namenregister anzufertigen habe ich für angemessen gehalten. Denn ohne solches nötigen die modernen Ausgaben den Forscher, fortwährend auf die Indices der alten Editionen zurückzugreifen. Bei Gelegenheit des Wortregisters möchte ich hier auf die soeben erschienene gute Abhandlung von L. Thurmayr, Sprachliche Studien zu dem Kirchenhistoriker Euagrios (Eichstätt 1910) hinweisen. Es wird darin die Phraseologie des Evagrius und der andern Kirchenhistoriker vergleichend untersucht.

Herrn Professor Dr. Ad. Jülicher bin ich zu tiefem Dank verpflichtet; hat er sich doch der großen Mühe unterzogen, die ganze Ausgabe in der Correctur zu lesen. Mit unermüdlichem Wohlwollen hat er mir bei den schwierigsten Stellen seinen Rat zuteil werden lassen.

und ich habe seine Mitarbeit als ebenso angenehm wie wertvoll empfunden. Besonders bei den biblischen Citaten und Anspielungen verdanke ich seinem reichen Wissen eine Reihe nützlicher Hinweise. Selbst der äußeren Form hat er bei der eingehenden Durchsicht der Bogen andauernd seine Aufmerksamkeit geschenkt und mir bei der Wahl des deutschen Ausdrucks in den Anmerkungen, in den Registern und in der Einleitung sehr wertvolle Dienste geleistet.

Auch an dieser Stelle muß ich noch einmal dankbar die gelehrte Beihülfe hervorheben, die mir hinsichtlich der syrischen Übersetzungen mein Freund Professor M. A. Kugener gewährt hat.

Endlich ist keine Seite in dieser Ausgabe, wo ich nicht für irgendeine Förderung meinem alten Freunde Professor J. Bidez zu danken hätte, der die Ausarbeitung und den Druck der Ausgabe von Anfang bis zu Ende mit dem lebhaftesten Anteil verfolgt hat.

Herr Bibliothekar Dr. G. Naetebus in Berlin hat die entsagungsvolle Aufgabe übernommen, die Einleitung ins Deutsche zu übertragen, und mich bei ihrer Correctur in dankenswerter Weise unterstützt.

Die Mittel für die Beschaffung des weitverstreuten handschriftlichen Materials wurden mir gütigst von der Kirchenväter-Commission gewährt. Besonderer Dank gebührt Herrn Professor D. Dr. Ad. Harnack für das wohlwollende Interesse, das er stets an meiner Arbeit genommen. Herr Professor D. Dr. C. Schmidt hat die Güte gehabt, mir beim Lesen der Correctur seinen schätzenswerten Beistand zu leihen.

Endlich lege ich Wert darauf, die Sorgfalt, Kenntnis und Umsicht rühmend hervorzuheben, mit welcher der Corrector den Druck überwacht hat. Abgesehen von dem unvermeidlichen Abspringen einzelner Accente beim Druck sind nur wenige Fehler untergelaufen, die überdies leicht zu verbessern sind oder in den Registern bereits eine Berichtigung erfahren haben. Ich glaubte daher auf ein Druckfehlerverzeichnis verzichten zu sollen.

Lüttich, im November 1910

L. Parmentier

Τάδε ἔνεστιν ἐν τῷ πρώτῳ τόμῳ τῆς Θεοδωρήτου ἐκκλησιαστικῆς ἱστορίας

α′. Ὁ τῆς ἱστορίας σκοπός.
β′. Πόθεν ἤρξατο τῶν Ἀρειανῶν ἡ αἵρεσις.
γ′. Κατάλογος τῶν πρωτευόντων ἐπισκόπων.
δ′. Ἐπιστολὴ Ἀλεξάνδρου ἐπισκόπου Ἀλεξανδρείας πρὸς Ἀλέξανδρον ἐπίσκοπον Κωνσταντινουπόλεως.
ε′. Ἀρείου ἐπιστολὴ πρὸς Εὐσέβιον τὸν Νικομηδείας ἐπίσκοπον.
ς′. Εὐσεβίου ἐπισκόπου Νικομηδείας ἐπιστολὴ πρὸς Παυλῖνον ἐπίσκοπον Τύρου.
ζ′. Τὰ κατὰ τὴν μεγάλην σύνοδον τὴν ἐν Νικαίᾳ.
η′. Ἔλεγχος τῶν Ἀρειανιζόντων ἐκ τῶν Εὐσταθίου τοῦ μεγάλου καὶ Ἀθανασίου συγγραμμάτων.
θ′. Τὰ κατὰ Μελίτιον τὸν Αἰγύπτιον, ἐξ οὗ Μελιτιανοὶ σχισματικοὶ μέχρι τοῦ παρόντος διέμειναν, καὶ συνοδικὴ περὶ τούτου ἐπιστολή.
ι′. Ἐπιστολὴ τοῦ βασιλέως Κωνσταντίνου πρὸς τοὺς ἀπολειφθέντας ἐπισκόπους περὶ τῶν ἐν τῇ συνόδῳ τυπωθέντων.
ια′. Περὶ τῶν σιτηρεσίων τῶν ταῖς ἐκκλησίαις χορηγηθέντων καὶ τῆς ἄλλης τοῦ βασιλέως ἀρετῆς.
ιβ′. Ἐπιστολὴ Εὐσεβίου τοῦ Καισαρείας ἐπισκόπου περὶ τῆς ἐκτεθείσης ἐν Νικαίᾳ πίστεως.

A H DL + F = z

1—2 *τάδε — ἱστορίας* A *τοῦ αὐτοῦ μακαρίου Θεοδωρίτου ἐπισκόπου κύρου ἐκκλησιαστικῆς ἱστορίας τόμος ᾱ περιέχων τάδε* H *Θεοδωρίτου τοῦ μακαρίου ἐπισκόπου κύρου ἐκκλησιαστικῆς ἱστορίας τόμος πρῶτος* L *Θεοδωρήτου ἱστορικὸν· τάδε περιέχει τῆς ἐκκλησιαστικῆς ἱστορίας τόμος ᾱ* F > D | **4** *πόθεν*] *πότε* A **6** *Ἐπιστολὴ* nach *Ἀλεξανδρείας* ~ F | **8** *ἐπιστολὴ ἀρείου* H | *τὸν Νικομηδείας ἐπίσκοπον*] *ἐπίσκοπον νικομηδείας* L > H | **9** *ἐπιστολὴ* vor *Εὐσεβίου* ~ H **12** *τοῦ μεγάλου* > Hz | **14** *μελέτιον* und *μελετιανοὶ* Hz | *τὸν* > z | *σχισματικοὶ* L | **15** *καὶ — ἐπιστολή* > D | **16** *τοῦ* > HL | **17** nach *ἐπισκόπους* + *καὶ* L | *περὶ*] *ια Περὶ* usw. D | **18** nach *τῶν*[2] + *ἐν* H | **20** *τοῦ Καισαρείας* > D

ιγ′. Ἔλεγχος τῶν νῦν βλασφημούντων Ἀρειανῶν ἐκ τῶν Εὐσεβίου τοῦ Καισαρείας ἐπισκόπου συγγραμμάτων.
ιδ′. Περὶ τῆς Ἀρείου τελευτῆς ἐκ τῆς Ἀθανασίου ἐπιστολῆς.
ιε′. Ἐπιστολὴ τοῦ βασιλέως Κωνσταντίνου περὶ τῆς τῶν ἐκκλησιῶν οἰκοδομίας.
ις′. Ἄλλη ἐπιστολὴ τοῦ αὐτοῦ περὶ τῆς τῶν θείων γραφῶν κατασκευῆς.
ιζ′. Ἄλλη τοῦ αὐτοῦ ἐπιστολὴ πρὸς Μακάριον τὸν ἐπίσκοπον Ἱεροσολύμων περὶ τῆς οἰκοδομίας τοῦ θείου ναοῦ.
ιη′. Περὶ Ἑλένης τῆς τοῦ βασιλέως Κωνσταντίνου μητρὸς καὶ τῆς τοῦ τιμίου ξύλου τοῦ σταυροῦ εὑρέσεως καὶ τῆς περὶ τὴν οἰκοδομίαν τοῦ θείου ναοῦ σπουδῆς.
ιθ′. Περὶ τῆς παρανόμου Εὐσεβίου ἀπὸ Νικομηδείας ἐπὶ τὴν Κωνσταντινούπολιν μεταθέσεως.
κ′. Ἐπιστολὴ τοῦ βασιλέως Κωνσταντίνου κατὰ Εὐσεβίου καὶ Θεογονίου γραφεῖσα Νικομηδεῦσι.
κα′. Περὶ τῆς ὑπὸ Εὐσεβίου καὶ τῶν σὺν αὐτῷ γεγενημένης κατὰ τοῦ ἁγίου Εὐσταθίου τοῦ τῆς Ἀντιοχείας ἐπισκόπου συσκευῆς.
κβ′. Περὶ τῶν μετὰ τὴν ἔξοδον τοῦ ἁγίου Εὐσταθίου καταστάντων ἐν Ἀντιοχείᾳ ἐπισκόπων αἱρετικῶν.
κγ′. Περὶ τῆς Ἰνδῶν πίστεως.
κδ′. Περὶ τῆς Ἰβήρων πρὸς τὴν εὐσέβειαν ποδηγίας.
κε′. Ἐπιστολὴ τοῦ βασιλέως Κωνσταντίνου πρὸς Σαβώρην τὸν βασιλέα Περσῶν.
κς′. Περὶ τῆς κατὰ τοῦ ἁγίου Ἀθανασίου τυρευθείσης ἐπιβουλῆς.
κζ′. Ἐπιστολὴ τοῦ βασιλέως Κωνσταντίνου πρὸς Ἀλεξανδρέας.
κη′. Ἄλλη κατὰ Ἀθανασίου ἐπιβουλή.
κθ′. Ἐπιστολὴ τοῦ βασιλέως Κωνσταντίνου πρὸς τὴν σύνοδον.
λ′. Περὶ τῆς ἐν Τύρῳ γεγενημένης συνόδου καὶ τῆς ἐκεῖσε κατὰ τοῦ

A H DL + F = z

2 *τοῦ* > H | *ἐπισκόπου* > A | **5** *οἰκοδομῆσ* H | **6** *ἄλλη* > H **6/7** *κατασκευῆς* vor *τῶν* ∾ H | **8** *ἄλλη* > H | *ἐπιστολὴ τοῦ αὐτοῦ* ∾ HLF *τὸν* > DH | *ἐπίσκοπον* > A | **10** *Κωνσταντίνου* > AH | *καὶ τῆς* — **11** *εὑρέσεως* > Hz | **13** *ἀπὸ* A *τοῦ* Hz | **13/14** *ἐπὶ τὴν Κωνσταντινούπολιν* > Hz | **14** *μεταθέσεως* vor *Εὐσεβίου* ∾ H | **15** *τοῦ* > H | **15/16** *θεογνίου* DL | **17** *ὑπὸ* > D | **18** *ἀντιοχέων* D | nach *ἐπισκόπου* + *δολίασ* H | **19** *καταστάντων* Hz | **21** *τῆς*] *τῆσ τῶν* L | **22** *τῆς*] *τῆσ τῶν* L | **23** *τοῦ* > H | **24** nach *Περσῶν* + *περὶ τῶν χριστιανῶν γραφεῖσα* H | **26** *τοῦ* > H | *ἀλεξανδρεῖσ* z | **27** nach *Ἀθανασίου* + *ἐπισκόπου* z | *ἐπιβουλή* > z | **28** *τοῦ* > H | **29** *καὶ τῆς* — S. 3, 2 *ἐπιβουλῆς* > Hz

μακαρίου Ἀθανασίου διὰ τὴν Ἀρσενίου περιβόητον χεῖρα κατασκευασθείσης ἐπιβουλῆς.

λα'. Περὶ τῶν ἐγκαινίων τῶν ἐν Ἱεροσολύμοις γεγενημένων καὶ τῆς ἐξορίας τοῦ μεγάλου Ἀθανασίου.

λβ'. Περὶ τῆς τοῦ μακαρίου Κωνσταντίνου τοῦ βασιλέως διαθήκης.

λγ'. Ἀπολογία ὑπὲρ τοῦ βασιλέως.

λδ'. Περὶ τῆς τοῦ βασιλέως τελευτῆς.

A H DL + F = z

3 *ἐγκαινίων* nach *γεγενημένων* ∼ L | nach *καὶ* + *περὶ* D | **4** *ἐξορίας* nach *Ἀθανασίου* ∼ H | *μεγάλου*] *ἁγίου* Hz | **5** *τοῦ βασιλέως* > L | *τοῦ*[2] > z | *διαθήκης* vor *τοῦ μακαρίου* ∼ H | **6** nach *τοῦ* + *αὐτοῦ* H | **7** *περὶ τῆς τελευτῆς τοῦ αὐτοῦ ἁγίου κωνσταντίνου βασιλέως* H | nach *βασιλέως* + *κωνσταντίνου* L

ΘΕΟΔΩΡΗΤΟΥ

ΕΠΙΣΚΟΠΟΥ ΚΥΡΟΥ
ΕΚΚΛΗΣΙΑΣΤΙΚΗΣ ΙΣΤΟΡΙΑΣ
ΤΟΜΟΣ ΠΡΩΤΟΣ

Ζωγράφοι μὲν σανίσι καὶ τοίχοις τὰς παλαιὰς ἐγγράφοντες ἱστο- **1**
ρίας τέρψιν μὲν τοῖς ὁρῶσι προσφέρουσι, τῶν δὲ γεγενημένων τὴν
μνήμην ἐπὶ πλεῖστον ἀνθοῦσαν φυλάττουσι· λογογράφοι δέ, ἀντὶ μὲν
σανίδων ταῖς βίβλοις ἀντὶ δὲ χρωμάτων τοῖς τῶν λόγων ἄνθεσι κε-
χρημένοι, διαρκεστέραν καὶ μονιμωτέραν τῶν πεπραγμένων ποιοῦσι
τὴν μνήμην· ὁ γὰρ χρόνος λωβᾶται τῶν ζωγράφων τὴν τέχνην.
τούτου δὴ χάριν κἀγὼ τῆς ἐκκλησιαστικῆς ἱστορίας τὰ λειπόμενα **2**
συγγράψαι πειράσομαι· οὐ γὰρ ὅσιον ᾠήθην λαμπροτάτων ἔργων καὶ
ὀνησιφόρων διηγημάτων τὸ κλέος παριδεῖν ὑπὸ τῆς λήθης συλώμε-
νον. διὰ γὰρ δὴ τοῦτο καὶ τῶν συνήθων τινὲς ἐπὶ τόνδε με τὸν **3**
πόνον πολλάκις παρώτρυναν· ἐγὼ δὲ τῇ μὲν ἐμαυτοῦ δυνάμει τόδε
τὸ ἔργον σταθμώμενος τὴν ἐγχείρησιν ὀρρωδῶ, θαρρῶν δὲ τῷ φιλο-
τίμῳ δοτῆρι τῶν ἀγαθῶν μείζοσιν ἢ κατ' ἐμαυτὸν ἐγχειρῶ. Εὐσέβιος **4**
μὲν οὖν ὁ Παλαιστῖνος ἀπὸ τῶν ἱερῶν ἀποστόλων τῆς ἱστορίας
ἀρξάμενος μέχρι τῆς Κωνσταντίνου θεοφιλοῦς βασιλείας τὰ ταῖς
ἐκκλησίαις συμβεβηκότα συνέγραψεν· ἐγὼ δὲ τῆς συγγραφῆς ἐκείνης
τὸ τέλος ἀρχὴν τῆς ἱστορίας ποιήσομαι.

* **5—9** S. Andreae encom. ab Arsenio ep. Corcyrae [Mustoxidi, Delle cose Corciresi, Corfu 1848, append. XXIII]

A HN(n) GS(s) DL + FV(v) = z

1—4 > HL | **1** vor *Θεοδωρήτου* + *τοῦ μακαρίου* A + *τοῦ αὐτοῦ μακαρίου* N | **2** *ἐπισκόπου Κύρου* > D | *κύρων* G | **3**/**4** *ἐκκλησιαστικῆς — πρῶτος* > S | **5** ᾱ am Rand nD | **7** *ἀνθοῦσαν* AnDL Andr. encom. *ἀνὰ πᾶσαν* sv **9** *καὶ μονιμωτέραν* Am | **11** *λείποντα* A, vgl. S. 7, 19 | **14** *δὴ* > sv **15** *τὴν μὲν* (*μὲν* > DLV) *ἐμαυτοῦ δύναμιν* sz | **15**/**16** *τόδε τὸ ἔργον*] *τόδε ἔργον* G *τῶδε τῷ ἔργῳ* SV *τῶνδε τῶν ἔργων* L *τό τε ἔργον* D | **16** *θαρρεῖν* A **17** *δῶτῆρι* A

Τῶν ἀνοσιουργῶν ἐκείνων καὶ δυσσεβῶν καταλυθέντων τυράν- 2
νων, Μαξεντίου φημὶ καὶ Μαξιμίνου καὶ Λικιννίου, κατηυνάσθη τῆς
ἐκκλησίας ἡ ζάλη, ἣν οἱ ἀλάστορες ἐκεῖνοι καθάπερ τινὲς καταιγίδες
ἐκίνησαν, καὶ γαλήνης λοιπὸν ἀπήλαυε σταθερᾶς, τῶν στρεβλῶν
παυσαμένων ἀνέμων. καὶ Κωνσταντῖνος δὲ ὁ πανεύφημος βασιλεύς, 2
ὃς »οὐκ ἀπ᾽ ἀνθρώπων οὐδὲ δι᾽ ἀνθρώπου« ἀλλ᾽ οὐρανόθεν
κατὰ τὸν θεῖον ἀπόστολον τῆς κλήσεως ταύτης ἔτυχε, ταύτην αὐτῇ
ἐπρυτάνευσε. νόμους γὰρ ἔγραφε, θύειν μὲν εἰδώλοις ἀπείργων, δο- 3
μᾶσθαι δὲ τὰς ἐκκλησίας παρεγγυῶν· καὶ ἄρχοντας δὲ πίστει κοσμου-
μένους ἐφίστησι τοῖς ἔθνεσι, γεραίρειν κελεύων τοὺς ἱερέας καὶ τοῖς
παροινεῖν εἰς τούτους ἐπιχειροῦσιν ὄλεθρον ἀπειλῶν. τότε δὴ οἱ μὲν
τὰς καταλυθείσας ἐκκλησίας ἀνήγειρον, οἱ δὲ ἑτέρας εὐρυτέρας ἀνῳ-
κοδόμουν καὶ λαμπροτέρας. τούτων οὕτω δρωμένων, τὰ μὲν ἡμέτερα 4
χορείας ἦν ἔμπλεα καὶ θυμηδίας, τὰ δὲ τῶν ἐναντίων κατηφείας καὶ
ἀθυμίας μεστά. τὰ μὲν γὰρ τῶν εἰδώλων ἀπεκέκλειστο τεμένη, ἐν
δὲ ταῖς ἐκκλησίαις ἑορταὶ καὶ πανηγύρεις ἐπετελοῦντο συχναί.

Ἀλλ᾽ ὁ παμπόνηρος καὶ βάσκανος δαίμων, ὁ τῶν ἀνθρώπων 5
ἀλάστωρ, οὐκ ἤνεγκεν ἐξ οὐρίων φερομένην τὴν ἐκκλησίαν ὁρῶν,
ἀλλὰ τὰς κακομηχάνους ἐκίνει βουλὰς καταδῦσαι φιλονεικῶν τὴν ὑπὸ
τοῦ ποιητοῦ καὶ δεσπότου τῶν ὅλων κυβερνωμένην. ἑώρα δὲ τὴν 6
Ἑλληνικὴν πλάνην δήλην γεγενημένην καὶ φωραθέντα τὰ ποικίλα
τῶν δαιμόνων τεχνάσματα, καὶ τὴν μὲν κτίσιν παρὰ τῶν πλείστων
οὐκ ἔτι προσκυνουμένην, τὸν δὲ ποιητὴν ἀντὶ ταύτης ὑμνούμενον.
οὗ δὴ χάριν οὐκ ἔτι προφανῶς τὸν κατὰ τοῦ θεοῦ καὶ σωτῆρος ἡμῶν 7
ἀνερρίπιζε πόλεμον, ἀλλ᾽ ἄνδρας εὑρὼν τῆς μὲν Χριστιανικῆς προση-

6 Gal. 1, 1 — **8—10** vgl. Euseb. Vit. Const. II 44—45. IV 23 und 25 — **13—16** Euseb. H. E. X 9, 7. Vit. Const. II 19

* **13—15** und **17**—S. 7, 9 Niceph. H. E. VIII 4 und 5 — **18**—S. 8, 4 Cass. I 12 [= T]

A HN(n) GS(s) DL + FV(v) = z T [von **18** *οὐκ ἤνεγκεν* an]

2 *λικινίου* s | *κατεννάσθη* z | **4** *ἀπήλαυε* AHF^{c} *ἀπήλαβε* D *ἀπήλαυσε* NsL *ἀπέλαυσε* V | *στρεβλῶν* An *στροβίλων* z *γρ. στροβίλων* am Rand A *στροβήλων* übergeschrieben A^{c} *πρὸσβολῶν* G *προσβαλλόντων* S | **7** *ταύτησ* An > sz | *αὐτῇ* mit guter Verbesserung D *αὐταῖσ* AnsLv | **8/9** *δομᾶσθαι* AHGDLF *δωμᾶσθαι* N *δομεῖσθαι* SV | **9** *δὲ*^{2}] *μὲν* n *μὲν* gestrichen und *δὲ* übergeschrieben A | **10** *ἐφίστη* HD | **12** *ἀνήγειραν* AN | **14** *χορείας*] *χορηγίασ* S und auf Rasur G | *ἔμπλεα* An Eus. H. E. *ἔμπλεω* Nic. *ἀνάπλεα* sz | **15** *ἀποκέκλειστο* L | **18** nach *ὁρῶν* + *ὁ διάβολοσ* T* | **19** *καταδῦσαι* T Nic. *submergere* Cass. *καταλῦσαι* Ansz **20** *δὲ*] *γὰρ* H | **24** *τοῦ* svT | *ἡμῶν* DT *nostrum* Cass. > AnsLv

γορίας ἠξιωμένους, φιλοτιμίᾳ δὲ καὶ κενῇ δόξῃ δεδουλωμένους, ὄργανα τούτους τῶν οἰκείων ἀπέφηνε τεχνασμάτων· καὶ διὰ τούτων πολλοὺς εἰς τὴν προτέραν ἐπανήγαγε πλάνην, οὐ τὴν κτίσιν πάλιν προσκυνεῖσθαι παρασκευάσας, ἀλλὰ τὸν ποιητὴν καὶ δημιουργὸν συνταχθῆναι τῇ κτίσει κατασκευάσας. ποῦ δὲ τὴν ἀρχὴν καὶ ὅπως ἔσπειρε τὰ ζιζάνια, ἐγὼ διηγήσομαι.

Ἀλεξάνδρεια πόλις ἐστὶ μεγίστη καὶ πολυάνθρωπος, οὐκ Αἰγυπτίων μόνον ἀλλὰ καὶ Θηβαίων καὶ Λιβύων τῶν πρὸς Αἴγυπτον τὴν ἡγεμονίαν πεπιστευμένη. ταύτης μετὰ Πέτρον ἐκεῖνον τὸν νικηφόρον ἀγωνιστήν, ὃς ἐπὶ τῶν δυσσεβῶν τυράννων τοῦ μαρτυρίου τὸν στέφανον ἀνεδήσατο, Ἀχιλλᾶς μὲν ὀλίγον χρόνον τὰ τῆς ἐκκλησίας κατέσχε πηδάλια, μετὰ δὲ τοῦτον Ἀλέξανδρος ὁ γενναῖος τῶν εὐαγγελικῶν δογμάτων γενόμενος πρόμαχος. 8

Κατὰ τοῦτον τὸν χρόνον Ἄρειος τῷ μὲν καταλόγῳ τῶν πρεσβυτέρων ἐντεταγμένος, τὴν δὲ τῶν θείων γραφῶν πεπιστευμένος ἐξήγησιν, ἰδὼν τὸν Ἀλέξανδρον τῆς ἀρχιερωσύνης ἐγχειρισθέντα τοὺς οἴακας, οὐκ ἤνεγκε τοῦ φθόνου τὴν προσβολήν, ἀλλ' ὑπὸ τούτου νυττόμενος ἀφορμὰς ἔριδος ἐπεζήτει καὶ μάχης. καὶ τὴν μὲν ἀξιέπαινον τοῦ ἀνδρὸς πολιτείαν θεώμενος οὐδὲ συκοφαντίαν ὑφαίνειν ἠδύνατο, ἡσυχίαν δὲ ὅμως ἄγειν αὐτὸν ὁ φθόνος ἐκώλυε. τοῦτον εὑρὼν ὁ τῆς ἀληθείας ἀντίπαλος δι' αὐτοῦ κυκᾷ καὶ κινεῖ τῆς ἐκκλησίας τὴν ζάλην· ταῖς γὰρ ἀποστολικαῖς Ἀλεξάνδρου διδασκαλίαις προφανῶς ἀντιτείνειν ἀνέπειθε. καὶ ὁ μὲν τοῖς θείοις λογίοις ἑπόμενος ὁμότιμον ἔλεγε τοῦ πατρὸς τὸν υἱὸν καὶ τὴν αὐτὴν οὐσίαν ἔχειν τῷ 9 10 11

9—12 vgl. Rufin. H. E. X 1 — **14**—S. 7, 3 vgl. Theodoret. Haeret. Fabul. IV 1 PG 83, 412

A HN (n) GS (s) DL + FV (v) = z T

2 *ἀπέφηνε* AnDT *habuit* Cass. *ἀπέφαινε* sLv | **4** *προσκυνῆσαι* s | **6** *ἐγὼ* > Lv Cass. | **7** $\overline{\beta}$ am Rand sLv | **8** *αἴγυπτον* AnsLv *αἰγύπτῳ* DTNic., vgl. III 4, 2 | **10** *δυσσεβῶν* AnDTCass. *δυσσεβῶν + ἐκείνων* sLv übergeschrieben Ac **10** *τυράννων — 12 Ἀλέξανδρος* umgearbeitet und erweitert in TCass. | **11** vor *Ἀχιλλᾶς + καὶ* sv | *ἀχιλλὰς* A | nach *χρόνον + προῦστη καὶ* H | **13** *διδαγμάτων* T, *dogmatis* Cass. | **14** *Κατὰ*: $\overline{\beta}$ am Rand A | **15** *δὲ* AnT *τε* szCass. | **18** *ἐπιζητεῖ* T, *quaerebat* Cass. | **19** *πολιτείαν τοῦ ἀνδρὸς* ~ z (*τοῦ* > D) | *οὐδὲ συκοφαντίαν ὑφαίνειν* szT am Rand Ac *nequaquam calumnias contexere* Cass. *συκοφαντίας ὑφαίνειν οὐκ* An | **20** *ἐδύνατο* sV | *ἐκώλυσεν* T, *prohibebat* Cass. | **21** *ἀληθείας* Anscz Cass. *ἐκκλησίας* T | **22** *ταῖς — διδασκαλίαις* szTCass. *τῇ γὰρ ἀποστολικῇ ἀλ. διδασκαλία* An | **23** *λογίοις* A = *eloquia* Cass. *λόγοις* nszT | *ἑπόμενος* nszTCass. *πειθόμενος* A | **24** *οὐσίαν ἔχειν* AnCass. *ἔχειν οὐσίαν* szT

γεγεννηκότι θεῷ· ὁ δὲ Ἄρειος ἀντικρυς τῇ ἀληθείᾳ μαχόμενος κτίσμα καὶ ποίημα προσηγόρευεν. καὶ τὸ ἦν ποτε ὅτε οὐκ ἦν προσετίθει καὶ τἆλλα ὅσα ἐκ τῶν ἐκείνου γραμμάτων σαφέστερον μαθησόμεθα. καὶ ταῦτα οὐ μόνον ἐν ἐκκλησίᾳ διετέλει λέγων, ἀλλὰ κἀν τοῖς ἔξω συλλόγοις καὶ συνεδρίοις, καὶ τὰς οἰκίας περινοστῶν ἐξηνδραπόδιζεν ὅσους ἴσχυεν. Ἀλέξανδρος δέ, ὁ τῶν ἀποστολικῶν 12
δογμάτων συνήγορος, πρῶτον μὲν αὐτὸν παραινέσεσι μεταπείθειν ἐπειρᾶτο καὶ συμβουλαῖς· ἐπειδὴ δὲ κορυβαντιῶντα εἶδε καὶ ἀναφανδὸν κηρύττοντα τὴν ἀσέβειαν, τῶν ἱερατικῶν ἐξήλασε καταλόγων. ἤκουσε γὰρ τοῦ θείου νόμου βοῶντος· »ἐὰν ὁ ὀφθαλμός σου ὁ δεξιὸς σκανδαλίζῃ σε, ἔκκοψον αὐτὸν καὶ βάλε ἀπὸ σοῦ«.

Κατὰ τοῦτον δὲ τὸν χρόνον τῆς μὲν Ῥωμαίων ἐκκλησίας Σίλ- 3
βεστρος κατεῖχε τὰς ἡνίας, Μιλτιάδην διαδεξάμενος ὃς μετὰ Μαρκελλῖνον τὸν ἐν τῷ διωγμῷ διαπρέψαντα τὴν τῆς ἀρχιερωσύνης χειροτονίαν ἐδέξατο· ἐν Ἀντιοχείᾳ δὲ μετὰ Τύραννον, τῆς τῶν ἐκκλησιῶν ἀρξαμένης εἰρήνης, Βιτάλιος τὴν ἡγεμονίαν παρέλαβεν, ὃς καὶ τὴν ἐν τῇ Παλαιᾷ καταλυθεῖσαν ὑπὸ τῶν τυράννων ᾠκοδόμησεν ἐκκλησίαν· Φιλογόνιος δὲ μετὰ τοῦτον τὴν προεδρίαν 2
λαβὼν τά τε λειπόμενα τῇ οἰκοδομίᾳ προστέθεικε καὶ τὸν ὑπὲρ τῆς εὐσεβείας ἐν τοῖς Λικιννίου καιροῖς ἐπεδείξατο ζῆλον. τὴν ἐν Ἱεροσολύμοις δὲ μετὰ Ἑρμωνᾶν Μακάριος ἐπιστεύθη, φερώνυμος ἀνὴρ καὶ παντοδαποῖς κοσμούμενος ἀγαθοῖς. τῆς δὲ Κωνσταντινου- 3
πόλεως κατὰ τοῦτον αὐτὸν τὸν καιρὸν Ἀλέξανδρος τῆς ἀρχιερατικῆς ἠξιοῦτο λειτουργίας, ἀποστολικοῖς χαρίσμασι λαμπρυνόμενος. τότε

7—9 vgl. Rufin. H. E. X 1, S. 960, 10—12 — **10/11** Matth. 5, 29/30 — **15—18** vgl. Corpus script. Christian. oriental. cur. Chabot. Scriptores Syri. Series tertia, t. IV, S. 148 (= Σ)

* **6—9** Nicetas Thesaur. V 3 PG 139, 1365 B — **12**—S. 8, 10 Niceph. H. E. VIII 6

A HN (n) GS (s) DL + FV (v) = z T

1 *τῇσ ἀληθείασ* GL | **2** *ποτε* AnTCass. > sz | **3** *γραμμάτων* szTCass. *συνταγμάτων* An | *σαφέστερον* > TCass. | **7** *μεταπείθειν παραινέσεσιν* ∼ TCass. | **10** *νόμον* = *legem* Cass.] *λόγου* T **12** *ϗ* am Rand HSS | **13** *τὰς ἡνίας κατεῖχε* ∼ TCass. | *μιλτιάδιν* T | **14** *τὴν* nach *ἀρχιερωσύνης* ∼ s *τῇσ* AnDTCass. *τῇσ αὐτῇσ* sLvAc | **16** *ἀρξαμένησ* AnszCass. *ἀρξάμενοσ* TNic. | **17** *ἐν τῇ Παλαιᾷ*] *παλαιὰν* D *antiquam* Cass. Σ | **19** *οἰκοδομῇ* T | **20** *λικιν(ν)ίου* sDT | **21** *ἑρμαμωνᾶν* V *ἑρμάμωναν* F *ἔρμωνα* S *ἑρμωνᾶ* NG, *post Hermonem* Cass. | *ἐνεπιστεύθη* sLv | **22** *κοσμούμενοσ* szTCass. *ἀσκούμενοσ* An | **23** nach *καιρὸν* + *τῆσ* L | *Ἀλέξανδρος* nach *λειτουργίας* ∼ An, Cass. wie im Text | **24** *ἠξιοῦτο* An *possidebat* Cass. *ἠξίωτο* sDvT *ἠξιώθη* L

τοίνυν ὁ τῆς Ἀλεξανδρέων Ἀλέξανδρος, ὁρῶν τὸν Ἄρειον τῷ τῆς φιλαρχίας κατεχόμενον οἴστρῳ καὶ τοὺς ὑπὸ τῆς βλασφημίας ἐξωγρημένους ἀγείροντα καὶ συλλόγους ἰδίους ποιούμενον, τοῖς τῶν ἐκκλησιῶν ἡγεμόσι τὴν τούτου βλασφημίαν διὰ γραμμάτων ἐδήλωσεν.

Ἐγὼ δὲ τὴν πρὸς τὸν ὁμώνυμον αὐτῷ γραφεῖσαν ἐπιστολὴν 4
ἐνθήσω τῇ συγγραφῇ, σαφῶς ἅπαντα τὰ κατ' ἐκεῖνον διδάσκουσαν, ὡς ἂν μή τις ὑπολάβοι πλάττοντά με ταῦτα συγγράφειν· καὶ μετὰ τήνδε, τὴν αὐτοῦ γε Ἀρείου, καὶ μετ' ἐκείνην τὰς ἄλλας ὧν ἡ τῆς ἱστορίας δεῖται διήγησις, ἵνα μαρτυρῶσι τῇ ἀληθείᾳ τῆς συγγραφῆς καὶ σαφέστερον τὰ γεγενημένα διδάσκωσιν. γράφει δὲ ὁ τῆς Ἀλεξανδρέων Ἀλέξανδρος πρὸς τὸν ὁμώνυμον ταῦτα·

»Τῷ τιμιωτάτῳ ἀδελφῷ καὶ ὁμοψύχῳ Ἀλεξάνδρῳ Ἀλέξανδρος 4
»ἐν κυρίῳ χαίρειν.

»Ἡ φίλαρχος τῶν μοχθηρῶν ἀνθρώπων καὶ φιλάργυρος πρόθεσις
»ταῖς δοκούσαις ἀεὶ μείζοσι παροικίαις πέφυκεν ἐπιβουλεύειν, διὰ ποι-
»κίλων προφάσεων τῶν τοιούτων ἐπιτιθεμένων τῇ ἐκκλησιαστικῇ
»εὐσεβείᾳ. οἰστρηλατούμενοι γὰρ ὑπὸ τοῦ ἐνεργοῦντος ἐν αὐτοῖς δια-
»βόλου, εἰς τὴν προκειμένην αὐτοῖς ἡδονὴν πάσης εὐλαβείας ἀπο-
»σκιρτήσαντες, πατοῦσι τὸν τῆς κρίσεως τοῦ θεοῦ φόβον. περὶ ὧν 2
»ἀναγκαῖον ἦν μοι τῷ πάσχοντι δηλῶσαι τῇ ὑμετέρᾳ εὐλαβείᾳ, ἵνα
»φυλάττησθε τοὺς τοιούτους μή τις αὐτῶν τολμήσῃ καὶ ταῖς ὑμετέ-
»ραις παροικίαις ἐπιβῆναι, ἤτοι δι' ἑαυτῶν (ἱκανοὶ γὰρ ὑποκρίνασθαι

3/4 vgl. Socrat. I 6, 4—30

* **5**—S. 25, 18 Cass. I 13—14 [= T] — **10**—S. 11, 4 Niceph. H. E. VIII 7

A HN(n) GS(s) DL + FV(v) = z T W [von **12** an]

1 Ἀλέξανδρος > s | **5** Ἐγὼ δὲ > T*Cass. | αὐτῷ An Nic. αὐτοῦ T > sz | **6** vor σαφῶς + καὶ T | ἐκείνων T, *eius* Cass. | **7** ὑπολάβῃ n πλάττοντά με ταῦτα ADT ταῦτα πλάττοντά με n πλάττοντά με L πλαστῶς ταῦτα sv, *haec me ficte conscribere* Cass. | **8** αὐτοῦ γε = *ipsius* Cass.] αὐτήν γε τοῦ v **9** γραφῆς T | **10** διδάξωσιν T | **10/11** ἀλεξανδρείας sv Nic. | **11** Ἀλέξανδρος πρὸς τὸν ὁμώνυμον] τῷ ὁμωνύμῳ αὐτοῦ T | **12** $\overline{\delta}$ am Rand HSS **15/16** ποικίλων προφάσεων An Cass. ποικίλης προφάσεως szTW | **17** ἐν αὐτοῖς Anz W Cass. αὐτοῖς s εἶσ αὐτοὺς T | **18** αὐτοῖς] ἐν αὐτοῖς N > mit leerem Raum H | εὐλαβείας nDTW *reverentia* Cass. εὐσεβείας sLv und (σε auf Rasur Ac) A | **20** τῷ πάσχοντι] μετασχόντι n | **22** nach ἑαυτῶν + ἢ δι' ἑτέρων D + εἴτε δι' ἄλλων Steph.; vgl. Cass.: *vel per se, vel per alios* | ὑποκρίνεσθαι TW

»πρὸς ἀπάτην οἱ γόητες), ἢ διὰ γραμμάτων ψευδῶς κεκομψευμένων, »δυναμένων ὑφαρπάσαι τὸν ἁπλῆ πίστει καὶ ἀκεραίῳ προσεσχηκότα.

»Ἄρειος γοῦν καὶ Ἀχιλλᾶς, συνωμοσίαν ἔναγχος ποιησάμενοι, τὴν 3
»Κολλούθου φιλαρχίαν πολὺ χεῖρον ἢ ἐκεῖνος ἐζήλωσαν. ὁ μὲν γὰρ
»αὐτοῖς τούτοις ἐγκαλῶν τῆς ἑαυτοῦ μοχθηρᾶς προαιρέσεως εὗρε
»πρόφασιν· οἱ δὲ τὴν ἐκείνου χριοτεμπορίαν θεωροῦντες οὐκ ἔτι τῆς
»ἐκκλησίας ὑποχείριοι μένειν ἐκαρτέρησαν, ἀλλ᾽ ἑαυτοῖς σπήλαια ληστῶν
»οἰκοδομήσαντες ἀδιαλείπτους ἐν αὐτοῖς ποιοῦνται συνόδους, νύκτωρ
»τε καὶ μεθ᾽ ἡμέραν ἐν ταῖς κατὰ Χριστοῦ καὶ ἡμῶν διαβολαῖς ἀσκού-
»μενοι. οἳ πάσης τῆς εὐσεβοῦς ἀποστολικῆς δόξης κατηγοροῦντες 4
»Ἰουδαϊκῷ προσχήματι χριστομάχον συνεκρότησαν ἐργαστήριον, τὴν
»θεότητα τοῦ σωτῆρος ἡμῶν ἀρνούμενοι καὶ τοῖς πᾶσιν ἴσον εἶναι
»κηρύττοντες, πᾶσάν τε αὐτοῦ τῆς σωτηρίου οἰκονομίας καὶ δι᾽ ἡμᾶς
»ταπεινώσεως φωνὴν ἐκλεξάμενοι ἐξ αὐτῶν συναγείρειν πειρῶνται
»τῆς ἀσεβείας ἑαυτῶν τὸ κήρυγμα, τῆς ἀρχῆθεν θεότητος αὐτοῦ καὶ
»παρὰ τῷ πατρὶ δόξης ἀλέκτου τοὺς λόγους ἀποστρεφόμενοι. τὴν 5
»γοῦν Ἑλλήνων τε καὶ Ἰουδαίων ἀσεβῆ περὶ Χριστοῦ δόξαν κρατύ-
»νοντες, τὸν παρ᾽ αὐτοῖς ἔπαινον ὡς ἔνι μάλιστα θηρῶνται, πάντα
»μὲν ὅσα καθ᾽ ἡμῶν παρ᾽ αὐτοῖς γελᾶται πραγματευόμενοι, στάσεις
»δὲ ἡμῖν καθ᾽ ἡμέραν καὶ διωγμοὺς ἐπεγείροντες· καὶ τοῦτο μὲν δι-
»καστήρια συγκροτοῦντες δι᾽ ἐντυχίας γυναικαρίων ἀτάκτων ἃ ἠπά-
»τησαν, τοῦτο δὲ τὸν χριστιανισμὸν διασύροντες ἐκ τοῦ περιτροχάζειν
»πᾶσαν ἁγνιὰν ἀσέμνως τὰς παρ᾽ αὐτοῖς νεωτέρας. ἀλλὰ καὶ τὸν

6 Didache 12, 5 — **7** Matth. 21, 13 — **14** Phil. 2, 8 — **20** Act. 13, 50 — **21—23** I Tim. 5, 11—13. II Tim. 3, 6 — **23**—S. 10, 2 Joh. 19, 23—24

A HN (n) GS (s) DL + FV (v) = z T W

2 *δυναμένων* zTCass.W *καὶ δυναμένων* An > s | *ἁφαρπάσαι* nTW, *facere praestigium* Cass. | **3** *γοῦν* AnD *οὖν* sLvW *igitur* Cass. *γὰρ* T | *ἀχιλλᾶς* nVTCass. *ἀχιλλεὺς* AsDLFW | **5** *προαιρέσεως* szT *voluntati* Cass. *προθέσεως* AnW | **8** *ἀδιαλείπτους* nTW *incessabilia — conciliabula* Cass. *ἀδιαλείπτως* sz und (*ως* auf Rasur Ac) A | *ἐν αὐτοῖς* AnDLTWCass. *ἐν ἑαυτοῖς* v > s *ποιοῦνται* nsLvTCass. *ποιοῦντες* AW *προσποιοῦνται* D | **11** *προσχήματι* A **12** *εἶναι ἴσον* ∾ n | **13** *κηρύττοντες* AHLV *κηρύσσοντες* die übr. HSS | *πᾶσαν* den Akzent und *ν* corr. Ac *πάσης* n *omnes* (sic Codd. CLP) Cass. | **14** *φωνὴν*, *ὴν* auf Rasur Ac *φωνὰς* n *vocem* (sic Codd. CLP) Cass. | **15** *ἑαυτῶν* An *αὐτῶν* szTW | **16** *ἀλέκτου* nTW *ineffabilis* Cass. *ἀλήκτου* Asz | **18** *παρ᾽ αὐτοῖς* AsLvTW *laudem propriam* Cass. *παρ᾽ αὐτῶν* n *παρ᾽ αὐτὸν* D | **19** *παρ᾽ αὐτοῖς καθ᾽ ἡμῶν* ∾ T | *γελᾶται* (*ᾶται* auf Rasur Ac) A *γελᾶσθαι* T | **21** *ἃ*] *ἅσ* s | **23** *ἁγνιὰν* Ar | *ἀσέμνως* > TCass.

»ἄρρηκτον τοῦ Χριστοῦ χιτῶνα, ὃν οἱ δήμιοι διελεῖν οὐκ ἐβουλεύ-
»σαντο, αὐτοὶ σχίσαι ἐτόλμησαν. ἡμεῖς μὲν οὖν ἃ καὶ τῷ βίῳ αὐτῶν 6
»καὶ τῇ ἀνοσίῳ ἐπιχειρήσει πρέπει διὰ τὸ λανθάνειν βραδέως ἐπιστή-
»σαντες, παμψηφὶ τῆς προσκυνούσης Χριστοῦ τὴν θεότητα ἐκκλησίας
»ἐξηλάσαμεν.

»Ἐπεχείρησαν δὲ περιδρομαῖς χρώμενοι καθ' ἡμῶν παρεκβαίνειν 7
»πρὸς τοὺς ὁμόφρονας συλλειτουργούς, σχήματι μὲν εἰρήνης καὶ ἑνώ-
»σεως ἀξίωσιν ὑποκρινόμενοι, τὸ δ' ἀληθὲς συναρπάσαι τινὰς αὐτῶν
»εἰς τὴν ἰδίαν νόσον διὰ χρηστολογίας σπουδάζοντες καὶ στωμυλώ-
»τερα γράμματα παρ' αὐτῶν αἰτοῦντες, ἵνα παραναγιγνώσκοντες αὐτὰ
»τοῖς ὑπ' αὐτῶν ἠπατημένοις ἀμετανοήτους ἐφ' οἷς ἐσφάλησαν κατα-
»σκευάσωσιν, ἐπιτριβομένους εἰς ἀσέβειαν, ὡς ἂν συμψήφους αὐτοῖς
»καὶ ὁμόφρονας ἔχοντες ἐπισκόπους. οὐχ ἅπερ γοῦν παρ' ἡμῖν πονη- 8
»ρῶς ἐδίδαξάν τε καὶ διεπράξαντο ὁμολογοῦσιν αὐτοῖς, δι' ἃ καὶ ἐξώ-
»σθησαν· ἀλλ' ἢ σιωπῇ ταῦτα παραδιδόασιν, ἢ πεπλασμένοις λόγοις
»καὶ ἐγγράφοις ἐπισκιάζοντες ἀπατῶσιν. πιθανωτέραις γοῦν καὶ 9
»βωμολόχοις ὁμιλίαις τὴν φθοροποιὸν ἑαυτῶν διδασκαλίαν ἐπικρύ-
»πτοντες συναρπάζουσι τὸν εἰς ἀπάτην ἐγκείμενον, οὐκ ἀπεχόμενοι
»καὶ τοῦ παρὰ πᾶσι συκοφαντεῖν τὴν ἡμετέραν εὐσέβειαν· ὅθεν καὶ
»συμβαίνει τινὰς τοῖς γράμμασιν αὐτῶν ὑπογράφοντας εἰς ἐκκλησίαν
»εἰσδέχεσθαι, μεγίστης ὡς οἶμαι διαβολῆς ἐπικειμένης τοῖς τοῦτο τολ-
»μῶσι συλλειτουργοῖς τῷ μήτε τὸν ἀποστολικὸν κανόνα τοῦτο συγχω-

17—21 vgl. Athanas. De synod. 16. Epiphan. Haeres. 69, 7—8

A HN (n) GS (s) DL + FV (v) = z T W

1 *οἱ δήμιοι* nTW *ἄνοι δήμιοι* sz und auf Rasur Ac *milites* Cass., vgl. *στρατιῶται* Joh. | **2** *τολμήσαντες* sF in *ἐτόλμησαν* auf Rasur corr. V, *praesumunt* Cass. | *ἡμεῖς* — **4** *ἐπιστήσαντες*] *οὗσ* (*οὗσ* auf Rasur) *ἡμεῖσ* V | *μὲν* > s | *ἃ* > T Cass. | **3** *πρέπει* > TW Cass. | **4** *τῆς* — **5** *ἐξηλάσαμεν*] *τῆσ προσκυνήσεωσ χῡ τὴν θεότητα σμικρύνοντασ τῆσ ἐκκλησίασ ἐξηλάσαμεν* sF *τῆσ ἐκκλησίασ ἐξηλάσαμεν ὡσ τῆσ προσκυνήσεωσ χῡ τὴν θεότητα σμικρύνοντασ* V, Cass. wie im Text | nach *θεότητα* + *αὐτοὺσ* D *eos expulimus* Cass.; *αὐτοὺς* wäre vielmehr nach *ἐκκλησίας* herzustellen | **4/5** *ἐξηλάσαμεν ἐκκλησίας* ∼ T | **7** nach *ὁμόφρονας* + *ἡμῶν* W *nostros* Cass. | **11/12** *κατασκευάσωσιν* An *κατασκευάζωσιν* TW *παρασκευάσωσιν* sz | **12** *ὡς ἂν* An *ὡσ* szTW | **13/14** *πονηρῶς*] *κακῶσ* T *male* Cass. | **14** *τε καὶ* An *καὶ* szTW | **16** *ἐγγράφωσ* L | **17** *βωμολόχοις* nT *βωμολοχικαῖσ* szW *βομολοχικαῖσ* A, aber *ικαῖσ* auf Rasur Ac | *ὁμιλίαισ* auf Rasur Ac | *ἑαυτῶν* AN *αὐτῶν* HszTW | **18** *ἐγκείμενον* ANGLvT *ἐκκείμενον* HSDW | **19** *καὶ*[1] nDTW *etiam* Cass. > AsLv | *ὅθεν* > s | **21** *μεγίστης* > s | *τοῖς*] *ὡσ τοῖσ* s | **22** *τῷ*] *τῶν* A *τὸ* svW

»ρεῖν ἀλλὰ καὶ ὑπεκκαίειν τὴν ἐπ᾽ αὐτοῖς διαβολικὴν κατὰ Χριστοῦ
»ἐνέργειαν.

»Δι᾽ ἃ δὴ καὶ οὐδὲν μελλήσας, ἀγαπητοί, δηλῶσαι ὑμῖν τὴν τῶν 10
»τοιούτων ἀπιστίαν ἐμαυτὸν διανέστησα, λεγόντων ὅτι ἦν ποτε ὅτε
»οὐκ ἦν ὁ υἱὸς τοῦ θεοῦ, καὶ γέγονεν ὕστερον ὁ πρότερον μὴ ὑπάρχων,
»τοιοῦτος γενόμενος ὅτε καί ποτε γέγονεν, οἷος καὶ πᾶς πέφυκεν
»ἄνθρωπος. »πάντα γάρ«, φασίν, »ὁ θεὸς ἐξ οὐκ ὄντων ἐποίησε«, 11
»συναναλαμβάνοντες τῇ τῶν ἁπάντων λογικῶν τε καὶ ἀλόγων κτίσει
»καὶ τὸν υἱὸν τοῦ θεοῦ. οἷς ἀκολούθως καί φασιν αὐτὸν τρεπτῆς
»εἶναι φύσεως, ἀρετῆς τε καὶ κακίας ἐπιδεκτικόν, καὶ τῇ ἐξ οὐκ ὄντων
»ὑποθέσει καὶ τὰς θείας τοῦ εἶναι αὐτὸν ἀεὶ συναναιροῦντες γραφάς.
»αἳ τὸ ἄτρεπτον τοῦ λόγου καὶ τὴν θεότητα τῆς σοφίας τοῦ λόγου
»σημαίνουσιν, ἅ ἐστιν ὁ Χριστός. »δυνάμεθα γοῦν καὶ ἡμεῖς«, φασὶν
»οἱ ἀλάστορες, »υἱοὶ γενέσθαι θεοῦ, ὥσπερ κἀκεῖνος«. γέγραπται γάρ· 12
»υἱοὺς ἐγέννησα καὶ ὕψωσα«. Ἐπιφερομένου δὲ αὐτοῖς τοῦ λέ-
»γοντος ἑξῆς ῥητοῦ »αὐτοὶ δέ με ἠθέτησαν«, ὅπερ οὐ φυσικόν ἐστι
»τῷ σωτῆρι ὄντι φύσεως ἀτρέπτου, πάσης εὐλαβείας ἑαυτοὺς ἐρημώ-
»σαντες, τοῦτό φασι προγνώσει καὶ προθεωρίᾳ περὶ αὐτοῦ εἰδότα
»τὸν θεὸν ὅτι οὐκ ἀθετήσει ἐξειλέχθαι αὐτὸν ἀπὸ πάντων. οὐ γὰρ 13
»φύσει καὶ κατ᾽ ἐξαίρετον τῶν ἄλλων υἱῶν ἔχοντά τι (οὔτε γὰρ φύσει
»υἱός τίς ἐστι τοῦ θεοῦ, φασίν, οὔτε τινὰ ἔχων ἰδιότητα πρὸς αὐτόν),
»ἀλλὰ καὶ αὐτὸν τρεπτῆς τυγχάνοντα φύσεως, διὰ τρόπων ἐπιμέλειαν
»καὶ ἄσκησιν μὴ τρεπόμενον ἐπὶ τὸ χεῖρον, ἐξελέξατο· ὡς εἰ καὶ 14

12 vgl. I Kor. 1, 24 — **15/16** Jes. 1, 2

A HN (n) GS (s) DL + FV (v) = z T W [bis **4** *διανέστησα*]

1 *ἐπ᾽ αὐτοῖς* AnDW *super eos* Cass. *ὑπ᾽ αὐτοῖς* ST *ὑπ᾽ αὐτοὺς* GLv | **3** *δι᾽ ἃ* AnDTW *δι᾽ ὃ* sLv *ἃ* in *ὃ* corr. Ac | **6** *πέφυκεν*] *εἶναι πέφυκεν* D *εἶναι συμβέβηκεν* T *esse contingit* Cass. | **7** *φασίν* = *inquiunt* Cass.] *φησὶν II* | **8** *πάντων* nT | **9** *καί*[2] nT > Asz Cass. | **10** *τε*] *δὲ* sF | *ἐπιδεκτικόν*] *δεκτικόν* T *capabilem* Cass. | **12** *αἳ* — **13** *σημαίνουσιν*] *αἳ τὸ ἄτρεπτον τοῦ λόγου καὶ τὴν σοφίαν σημαίνουσι καὶ τὴν θεότητα* T = *quibusque palam designatur inconvertibilitas verbi et sapientia atque divinitas* Cass. | **13** *φασὶν* AnT Cass. *ὡσ φασὶν* sz und *ὡσ* übergeschrieben Ac | **15/16** *λέγοντοσ* A | **16** nach *ἑξῆς* + *τοῦ* A *οὐ φυσικόν*] *φυσικόν* sv *ἀφύσικόν* DVc | **18** *προγνώσει* — **21** *φασίν* > T Cass. aber s. unten zu 22 | **21** *τίς* > s | *τινα ἔχων ἰδιότητα* An *τίνα ἔχοντα ἰδιότητα* (aber s. die folgende Anm.) T *τινα ἰδιότητα* (*τιν᾽ αἰδιότητα* V) *ἔχων ἔχειν* D) sz | **22** nach *φύσεως* + 18 *προγνώσει* — 21 *φασίν* (*προγνώσει . . . εἰδότα περὶ αὐτοῦ* ∾ *. . . ἐξηλέχθαι . . . . . τίς* > *. . . . φασίν*) + noch einmal 21 *οὔτε τίνα ἔχων ἰδιότητα* — 22 *φύσεως* T = Cass. | **23** *προτρεπόμενον* L

»Παῦλος τοῦτο βιάσαιτο καὶ Πέτρος, μηδὲν διαφέρειν τούτων τὴν »ἐκείνου υἱότητα· εἰς παράστασιν δὲ τῆς φρενοβλαβοῦς ταύτης διδα»σκαλίας καὶ ταῖς γραφαῖς ἐμπαροινοῦντες καὶ παρατιθέμενοι τὸ ἐν »Ψαλμοῖς περὶ Χριστοῦ ῥητόν, τὸ οὕτως ἔχον· »ἠγάπησας δικαιο»σύνην καὶ ἐμίσησας ἀδικίαν· διὰ τοῦτο ἔχρισέ σε ὁ θεός, »ὁ θεός σου, ἔλαιον ἀγαλλιάσεως παρὰ τοὺς μετόχους σου«.

»Περὶ μὲν οὖν ὅτι ὁ υἱὸς τοῦ θεοῦ οὔτε ἐξ οὐκ ὄντων γεγένηται, »οὔτε ἦν ποτε ὅτε οὐκ ἦν, αὐτάρκης παιδεῦσαι Ἰωάννης ὁ εὐαγ»γελιστὴς γράφων οὕτως περὶ αὐτοῦ· »ὁ μονογενὴς υἱός, ὁ ὢν »εἰς τὸν κόλπον τοῦ πατρός«. προνοούμενος γὰρ ὁ θεῖος δει»κνύναι διδάσκαλος ἀλλήλων ἀχώριστα πράγματα δύο, τὸν πατέρα »καὶ τὸν υἱόν, ὄντα αὐτὸν ἐν τοῖς κόλποις τοῦ πατρὸς ὠνόμασεν. »ἀλλὰ γὰρ καὶ ὅτι τοῖς ἐξ οὐκ ὄντων γενομένοις ὁ λόγος τοῦ θεοῦ **16** »οὐ συναριθμεῖται, πάντα δι' αὐτοῦ γεγονέναι φησὶν ὁ αὐτὸς Ἰωάννης. »τὴν γὰρ ἰδιότροπον αὐτοῦ ὑπόστασιν ἐδήλωσεν εἰπών· »ἐν ἀρχῇ »ἦν ὁ λόγος καὶ ὁ λόγος ἦν πρὸς τὸν θεὸν καὶ θεὸς ἦν ὁ »λόγος. πάντα δι' αὐτοῦ ἐγένετο, καὶ χωρὶς αὐτοῦ ἐγένετο »οὐδὲ ἕν«. εἰ γὰρ πάντα δι' αὐτοῦ ἐγένετο, πῶς ὁ τοῖς γενομένοις **17** »τὸ εἶναι χαρισάμενος αὐτός ποτε οὐκ ἦν; οὐ γάρ πως ὁ λόγος, τὸ »ποιοῦν, τοῖς γενομένοις τῆς αὐτῆς εἶναι φύσεως διορίζεται· εἴ γε »αὐτὸς μὲν ἦν ἐν ἀρχῇ πάντα δὲ δι' αὐτοῦ ἐγένετο καὶ ἐξ οὐκ ὄντων »ἐποίησεν. ἐναντίον γὰρ δοκεῖ τοῖς ἐξ οὐκ ὄντων γενομένοις τὸ ὂν **18** »καὶ ἀφεστηκὸς σφόδρα. τὸ μὲν γὰρ μεταξὺ πατρὸς καὶ υἱοῦ οὐδὲν »δείκνυσιν εἶναι διάστημα, οὐδ' ἄχρι τινὸς ἐννοίας τοῦτο φαντασι-

4—6 Psal. 44, 8. Hebr. 1, 9 — **9/10** Joh. 1, 18 — **14, 18** u. **21** Joh. 1, 3 — **15—18** Joh. 1, 1—3

A HN(n) GS(s) DL + FV(v) = z T

1 ἐβιάσατο s | **2** δὲ > HT, *igitur* Cass. | **4** τὸ > nT | **5** ἀδικίαν AnsLF *iniquitatem* Cass. ἀνομίαν DVT, s. Ps. Hebr. | **7** γεγένηται AnT ἐγένετο sz γρ. ἐγένετο am Rand A^c | **8** παιδεῦσαι] παιδεύσασ N διδάξαι G > mit leerem Raum H | **9** vor γράφων + ὁ s | **10/11** ὁ θεῖοσ δεικνύναι διδάσκαλοσ An ὁ θεῖοσ λόγοσ δεικνύναι sz γρ. ὁ θεῖοσ λόγοσ ἀλλήλων am Rand A^c ὁ θεῖοσ ἀπόστολοσ δεικνύναι T *providente quippe deo ut ostenderet* Cass. | **14** ὁ αὐτός φησιν ∼ A **18** nach οὐδὲ ἕν + ὃ γέγονεν VT Cass., s. Joh. | γὰρ AnT Cass. δὲ sz | ἐγένετο nDT γέγονεν AsLv | **19** οὐ γάρ πωσ ὁ nT οὐ γὰρ πᾶσ Asz, *non enim ulla ratio est* Cass. | **20** διορίζεται nT ὁρίζε ται A ὁρίζεται L > sDv Cass. **21** καὶ ἐξ — **22** οὐκ ὄντων] καὶ ἐξ οὐκ ὄντων s **21/22** καὶ ἐξ οὐκ ὄντων ἐποίησεν nT Cass. ausradiert A > z | **22** γὰρ] δὲ T *et* Cass. | **23** καὶ[1] καὶ τὸ T | τοῦ πατρὸσ καὶ τοῦ υἱοῦ T | **24** διάστημα εἶναι ∼ s | ἐννοίας] αἰτίασ L

»ῶσαι τῆς ψυχῆς δυναμέγης· τὸ δὲ ἐξ οὐκ ὄντων δημιουργεῖσθαι τὸν
»κόσμον νεωτέραν ἔχει τῆς ὑποστάσεως καὶ πρόσφατον τὴν γένεσιν,
»ὑπὸ τοῦ πατρὸς διὰ τοῦ υἱοῦ πάντων εἰλημφότων τὴν τοιαύτην
»οὐσίωσιν. μακρὸν γοῦν θεωρήσας τοῦ θεοῦ λόγου τὸ ἦν καὶ ὑπεραῖ- 19
5 »ρον τῆς τῶν γεγητῶν διανοίας ὁ εὐλαβέστατος Ἰωάννης γέγεσιν
»αὐτοῦ καὶ ποίησιν ἀπηξίωσεν εἰπεῖν, οὐδὲ ταῖς ὁμοστοίχοις συλλαβαῖς
»τὸ ποιοῦν τοῖς γιγνομένοις ὀνομάσαι τολμήσας, οὐχ ὅτι ἀγέννητος
»ἦν (ἓν γὰρ ἀγέννητον ὁ πατήρ), ἀλλ' ὅτι τῆς ἐξεσμένης τῶν εὐαγ-
»γελιστῶν, τάχα δὲ καὶ ἀγγέλων καταλήψεως ὑπερέκεινά ἐστιν ἡ τοῦ
10 »μονογενοῦς θεοῦ ἀνεκδιήγητος ὑπόστασις. εἰς εὐσεβεῖς οὐκ οἶμαι
»λογιζομένους τοὺς μέχρι τούτων ἐπερωτᾶν τι τολμῶντας, διὰ τὸ
»ἀνήκοον τοῦ »χαλεπώτερά σου μὴ ζήτει, καὶ ὑψηλότερά σου
»μὴ ἐξέταζε«. εἰ γὰρ ἑτέρων πολλῶν ἡ γνῶσις, καὶ τούτου ἀσυγκρί- 20
»τως κολοβωτέρων, κέκρυπται τὴν ἀνθρωπίνην κατάληψιν (οἷά ἐστι
15 »παρὰ Παύλῳ· »ἃ ὀφθαλμὸς οὐκ εἶδε καὶ οὖς οὐκ ἤκουσε καὶ
»ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη ἃ ἡτοίμασεν ὁ θεὸς τοῖς
»ἀγαπῶσιν αὐτόν«, ἀλλὰ καὶ τὰ ἄστρα φησὶν ὁ θεὸς τῷ Ἀβραὰμ
»ἀριθμῆσαι μὴ δύνασθαι, καὶ ἔτι »ἄμμον θαλασσῶν καὶ σταγό-

4 Joh. 1, 1 — **10** vgl. Joh. 1, 18 — **12/13** Sir. 3, 21 — **15—17** I Kor. 2, 9 — **17/18** Gen. 15, 5 — **18**—S. 14, 1 Sir. 1, 2

A HN (n) GS (s) DL + FV (v) = z T

2 ἔχειν Lv | τὴν ὑπόστασιν T, *novellam habet substantiae* Cass. | *γένεσιν*] *γέννησιν* LvT, *nativitatem* Cass | **4** ἐπιθεωρήσασ T *contemplatus* Cass. | **4/5** ὑπεραῖρον nsv *γρ.* ὑπεραῖρον am Rand A *transcendentem* Cass. ὑπερόριον ADLT | **5** γεγητῶν ANsvT *creaturarum* Cass. γεννητῶν HDL θεῶν übergeschrieben Ac | **6** ὁμοστοίχοισ n ὁμοστίχοισ T ὁμοστίχοισ Asz | **7** γενομένοισ sz | **8** ἐξεσμένησ ANLvT ἐξωσμένησ s am Rand A *diανοίασ μὲν* D > Cass. und mit leerem Raum H | τῶν Az καὶ nsT, fehlt bei Cass. | **9** ὑπερεπέκεινα nD ἐπέκεινα v | **10** θεοῦ] υἱοῦ T Cass. | **10/11** εἰς εὐσεβεῖς οὐκ οἶμαι λογιζομένους τοὺς μέχρι τούτων ἐπερωτᾶν τι τολμῶντας Sirmond εἰσ (εἰσ übergeschrieben A) εὐσεβεῖσ (εῖσ auf Rasur A) οὐκ οἶμαι λογιζομένουσ// τοῦ/// μέχρι τούτων ἐπερωτᾶν τί τολμῶντασ A εὐσεβεῖσ οὐκ οἶμαι λογιζομένουσ τοὺσ μὴ μέχρι τούτων ἐπερωτᾶν τι τολμῶντασ n εὐσέβειαν οὐκ οἶμαι λογιζομένουσ τοὺσ μέχρι τούτων ἐπερωτᾶν τι τολμῶντασ v εἰσ εὐσεβεῖσ οὐκ οἶμαι λογιζομένου τοῦ μέχρι τούτων ἐπερωτᾶν τι τολμῶντοσ sDLT; den Plural las auch Cass.: *non ergo reor quia de pietate cogitantes de hac aliquid interrogare praesumant* | **12** ἀνήκοον] ἀνῆκον AG | χαλεπώτερα und ὑψηλότερα ∾ T Cass. | χαλεπώτερα] βαθύτερα s, s. Sirach | **13** ἐξέταζε] φρόνει n, s. Sirach | καὶ τούτου sLvT *et huius* Cass. καὶ τοῦτο A καὶ τούτων n τοῦ θεοῦ λόγου D | **15** παῦλον v | **16** ἃ nzT ὅσα As, s. Kor.

»νας ὑετοῦ«, φησί, »τίς ἐξαριθμήσει;«), πῶς ἂν περιεργάσαιτό τις 21
»τὴν τοῦ θεοῦ λόγου ὑπόστασιν, ἐκτὸς εἰ μὴ μελαγχολικῇ διαθέσει
»ληφθεὶς τυγχάνοι; περὶ ἧς τὸ προφητικὸν πνεῦμά φησι· »τὴν γενεὰν
»αὐτοῦ τίς διηγήσεται;« ἦν καὶ αὐτὸς ὁ σωτὴρ ἡμῶν, εὐεργετῶν
»τοὺς πάντων τῶν ἐν τῷ κόσμῳ κίονας, τὴν περὶ τούτου γνῶσιν
»αὐτῶν ἀποφορτίσασθαι ἐσπούδασεν, πᾶσι μὲν οὖν αὐτοῖς ἀφύσικον
»εἶναι λέγων εἰς κατάληψιν, μόνῳ δὲ τῷ πατρὶ ἀνακεῖσθαι τὴν τοῦ
»θειοτάτου τούτου μυστηρίου εἴδησιν· »οὐδεὶς γὰρ ἔγνω τίς ἐστιν
»ὁ υἱός« λέγων »εἰ μὴ ὁ πατήρ· καὶ τὸν πατέρα οὐδεὶς ἔγνω-
»κεν εἰ μὴ ὁ υἱός«. περὶ οὗ καὶ τὸν πατέρα οἶμαι λέγειν »τὸ μυ-
»στήριόν μου ἐμοί«.

»Ὅτι δὲ μανιῶδες τὸ ἐξ οὐκ ὄντων τὸν υἱὸν γεγονέναι φρονεῖν, 22
»χρονικὴν ἔχον τὴν πρόθεσιν αὐτόθεν δείκνυται τὸ ἐξ οὐκ ὄντων,
»κἂν ἀγνοῶσιν οἱ ἀνόητοι τὴν τῆς φωνῆς αὐτῶν μανίαν. ἢ γὰρ
»χρόνοις ἐμπολιτεύεσθαι δεῖ τὸ οὐκ ἦν, ἢ αἰῶνός τινι διαστήματι.
»εἰ τοίνυν ἀληθὲς τὸ πάντα δι' αὐτοῦ γεγονέναι, δῆλον ὅτι καὶ πᾶς 23
»αἰὼν καὶ χρόνος καὶ διαστήματα καὶ τὸ ποτέ, ἐν οἷς τὸ οὐκ ἦν
»εὑρίσκεται, δι' αὐτοῦ ἐγένετο. καὶ πῶς οὐκ ἀπίθανον τὸν καὶ χρό-
»νους καὶ αἰῶνας καὶ καιρούς, ἐν οἷς τὸ οὐκ ἦν συμπέφυρται, ποιή-

3/4 Jes. 53, 8 — **5** vgl. Gal. 2, 9? — **8/10** Matth. 11, 27 — **10/11** Jes. 24, 16 (Hexapl.) — **12 f** vgl. Basil. Adv. Eunom. II 13 — **19** vgl. Hebr. 1, 2

A HN(n) GS(s) DL + FV(v) = z T

1 *φησί* > GL | **3** *τὴν γενεὰν* = Cass. LXX] *τὴν δὲ γενεὰν* DT | **4** *καὶ* > v | **5** *ἐν τῷ* T *ἐν////* A *ἐν* nsz | *κίονας* A *πλείονας* Am | **5** *τούτου* ADT Cass. *τούτων* nsLv | **6** *ἀφύσικον*] *οὐ φυσικὴν* H *φυσικὸν* A | **7** *εἰς*] *τὴν* Hs, *significans ultra naturam esse omnium rerum hanc animadversionem* Cass. **8** *οὐδεὶς γὰρ* ANsz *οὐδεὶσ* HT = *nullus* Cass. | **9** *καὶ* = Cass.] *οὐδὲ* D, s. Matth. *οὐδεὶσ ἔγνωκεν* AsT *οὐδεὶσ ἔγνω* n *οὐδεὶσ ἐπέγνωκεν* Lv *τισ ἐπιγινώσκει* D, s. Matth. **10** *οἶμαι λέγειν* An *λέγειν οἶμαι* szT | **11** nach *ἐμοί* + *καὶ τοῖσ ἐμοῖσ* V am Rand AcF | **12** *ὅτι δὲ μανιῶδες*] *καὶ ὅτι δαιμονιῶδεσ* n, *quia vesanum est* Cass. | *τὸ* > s | *γεγονέναι τὸν υἱὸν* ~ T Cass. | *γεγονέναι* > L | **13** *ἔχον τὴν πρόθεσιν* n *ἔχοντα τὴν πρόθεσιν* sv *ἔχοντα τὴν προβολὴν* DLA aber in A *τα τὴν προβολὴν* auf Rasur von elf Buchstaben Ac *ἔχον τὴν ὕπαρξιν* T, *non reor* (ohne *ergo* Codd. CLP) *ignorare sapientes quia vesanum est sapere ex non existentibus factum filium, cum utique habeat* (ohne *non* Codd. CLP, also wohl = *ἔχον*) *temporale principium quod ostenditur ex non existentibus factum* Cass. | *τὸ*] *ἐκ τοῦ* D | **14** *ἀγνοῶσιν, οῶ* auf Rasur Ac | *τὴν* nach *αὐτῶν* ~ z | **15** *αἰῶνοσ τινὸσ* H, *spatio saeculi cuiuscunque* Cass. | **18** *οὐκ* Lm | *τὸν* > T

»σαντα, αὐτόν ποτε μὴ εἶναι λέγειν; ἀδιανόητον γὰρ καὶ πάσης ἀμα-
»θίας ἀνάπλεων τὸν αἴτιον γενόμενόν τινος αὐτὸν μεταγενέστερον
»λέγειν τῆς ἐκείνου γενέσεως. προηγεῖται γὰρ κατ᾽ αὐτοὺς τῆς τὰ 24
»ὅλα δημιουργούσης τοῦ θεοῦ σοφίας ἐκεῖνο τὸ διάστημα ἐν ᾧ φασι
»μὴ γεγενῆσθαι τὸν υἱὸν ὑπὸ τοῦ πατρός, ψευδομένης κατ᾽ αὐτοὺς
»καὶ τῆς πρωτότοκον αὐτὸν εἶναι πάσης κτίσεως ἀναγορευούσης
»γραφῆς. σύμφωνα γοῦν τούτοις βοᾷ καὶ ὁ μεγαλοφωνότατος Παῦλος 25
»φάσκων περὶ αὐτοῦ· »ὃν ἔθηκε κληρονόμον πάντων, δι᾽ οὗ
»καὶ τοὺς αἰῶνας ἐποίησεν«, ἀλλὰ καὶ »ἐν αὐτῷ ἐκτίσθη τὰ
»πάντα, τὰ ἐν τοῖς οὐρανοῖς καὶ τὰ ἐπὶ τῆς γῆς, τὰ ὁρατὰ
»καὶ τὰ ἀόρατα, εἴτε ἀρχαί, εἴτε ἐξουσίαι, εἴτε κυριότητες,
»εἴτε θρόνοι· πάντα δι᾽ αὐτοῦ καὶ εἰς αὐτὸν ἔκτισται· καὶ
»αὐτός ἐστι πρὸ πάντων«.

»Ἀσεβεστάτης οὖν φανείσης τῆς ἐξ οὐκ ὄντων ὑποθέσεως, ἀνάγκη 26
»τὸν πατέρα ἀεὶ εἶναι πατέρα· ἔστι δὲ πατὴρ ἀεὶ παρόντος τοῦ υἱοῦ,
»δι᾽ ὃν χρηματίζει πατήρ· ἀεὶ δὲ παρόντος αὐτῷ τοῦ υἱοῦ, ἀεί ἐστιν
»ὁ πατὴρ τέλειος, ἀνελλιπὴς τυγχάνων ἐν τῷ καλῷ, οὐ χρονικῶς
»οὐδὲ ἐκ διαστήματος οὐδὲ ἐξ οὐκ ὄντων γεννήσας τὸν μονογενῆ
»υἱόν. τί δέ; οὐκ ἀνόσιον τὸ λέγειν μὴ εἶναί ποτε τὴν σοφίαν τοῦ 27
»θεοῦ, τὴν λέγουσαν· »ἐγὼ ἤμην παρ᾽ αὐτῷ ἁρμόζουσα, ἐγὼ
»ἤμην ᾗ προσέχαιρεν«, ἢ τὴν δύναμιν τοῦ θεοῦ ποτε μὴ ὑπάρχειν,
»ἢ τὸν λόγον αὐτοῦ ἠκρωτηριάσθαι ποτέ, ἢ τὰ ἄλλα ἐξ ὧν ὁ υἱὸς
»γνωρίζεται καὶ ὁ πατὴρ χαρακτηρίζεται; τὸ γὰρ ἀπαύγασμα τῆς
»δόξης μὴ εἶναι λέγειν συναιρεῖ καὶ τὸ πρωτότυπον φῶς, οὗ ἐστιν
»ἀπαύγασμα. εἰ δὲ καὶ ἡ εἰκὼν τοῦ θεοῦ οὐκ ἦν ἀεί, δῆλον ὅτι
»οὐδὲ οὗ ἐστιν εἰκὼν ἔστιν ἀεί. ἀλλὰ καὶ τῷ μὴ εἶναι τὸν τῆς 28
»ὑποστάσεως τοῦ θεοῦ χαρακτῆρα, συναναιρεῖται κἀκεῖνος ὁ

6 Kol. 1, 15 — **8/9** Hebr. 1, 2 — **9 f** Kol. 1, 16—17 — **20/21** Prov. 8, 30 — **21** I Kor. 1, 24 — **23/24** u. **27** Hebr. 1, 3 — **25** II Kor. 4, 4. Kol. 1, 15

A HN(n) GS(s) DL + FV(v) = z T

1 εἶναι > s | ἀνόητον T *stultum* Cass. | **2** ἀνάπλεω As ἀνάπλεον D | μεταγενέστερον = *posteriorem* Cass.] μὴ προγενέστερον n | **4** τοῦ θεοῦ δημιουργούσης ∼ sz | **5** γενέσθαι T | ὑπὸ nsDT *a* Cass. ἀπὸ ALv | **15** ἔστι — **16** πατήρ > H | τοῦ > T | **16** δι᾽ ὃν — υἱοῦ = Cass. > T | **17** ἀνελλειπὴς ANv | **19** ποτὲ μὴ εἶναι ∼ An, Cass. wie im Text | **21** μὴ ὑπάρχειν ποτέ ∼ An, Cass. wie im Text | **25** ἀεί = Cass. > T | **26** vor εἰκὼν + ἡ L | ἔστιν ἀεί > TCass. | τῷ] τὸ GFT > D | **27** συναναιρεῖ κἀκεῖνον τὸν πάντως ὑπ᾽ αὐτοῦ χαρακτηριζόμενον T, aber *cum non est . . . una peremitur et ille qui in omnibus ab eo figuratur* Cass.

»πάντως ὑπ᾽ αὐτοῦ χαρακτηριζόμενος. ἐξ ἧς ἔστιν ἰδεῖν τὴν υἱότητα
»τοῦ σωτῆρος ἡμῶν οὐδεμίαν ἔχουσαν κοινωνίαν πρὸς τὴν τῶν λοιπῶν
»υἱότητα. ὃν τρόπον γὰρ ἡ ἄρρητος αὐτοῦ ὑπόστασις ἀσυγκρίτῳ 29
»ὑπεροχῇ ἐδείχθη ὑπερκειμένη πάντων οἷς αὐτὸς τὸ εἶναι ἐχαρίσατο,
»οὕτως καὶ ἡ υἱότης αὐτοῦ, κατὰ φύσιν τυγχάνουσα τῆς πατρικῆς θεό-
»τητος, ἀλέκτῳ ὑπεροχῇ διαφέρει τῶν δι᾽ αὐτοῦ θέσει υἱοθετηθέντων.
»ὁ μὲν γὰρ ἀτρέπτου φύσεως τυγχάνει, τέλειος ὢν καὶ διὰ πάντων
»ἀνενδεής· οἱ δὲ τῇ εἰς ἑκάτερα τροπῇ ὑποκείμενοι τῆς παρὰ τούτου
»βοηθείας δέονται. τί γὰρ ἂν καὶ προκόψαι ἔχοι ἡ τοῦ θεοῦ σοφία. 30
»ἢ τί προσλαβεῖν ἡ αὐτοαλήθεια; ἢ ὁ θεὸς λόγος πῶς ἂν ἔχοι βελ-
»τιωθῆναι ἢ ἡ ζωὴ ἢ τὸ ἀληθινὸν φῶς; εἰ δὲ τοῦτο, πόσῳ πλέον
»ἀφύσικον τυγχάνει μοιρίας ποτὲ δεκτικὴν γενέσθαι τὴν σοφίαν ἢ τὴν
»τοῦ θεοῦ δύναμιν ἀσθενείᾳ προσπλακῆναι, ἢ ἀλογίᾳ τὸν λόγον
»ἀμαυρωθῆναι ἢ τῷ ἀληθινῷ φωτὶ ἐπιμιχθῆναι σκότος, τοῦ μὲν
»ἀποστόλου αὐτόθεν λέγοντος »τίς κοινωνία φωτὶ πρὸς σκότος,
»ἢ τίς συμφώνησις Χριστῷ πρὸς Βελίαρ«, τοῦ δὲ Σολομῶντος
»ὅτι ἀδύνατον ἂν εἴη κἂν μέχρι πρὸς ἐννοίας εὑρεθῆναι ὁδοὺς ὄφεως
»ἐπὶ πέτρας, ἥτις κατὰ Παῦλόν ἐστιν ὁ Χριστός; οἱ δὲ κτίσματα
»αὐτοῦ τυγχάνοντες, ἄνθρωποί τε καὶ ἄγγελοι, καὶ εὐλογίας εἰλήφασι
»προκόπτειν ἀρεταῖς ἀσκούμενοι καὶ νομίμοις ἐντολαῖς πρὸς τὸ μὴ
»ἁμαρτάνειν. διὸ δὴ ὁ κύριος ἡμῶν, φύσει τοῦ πατρὸς υἱὸς τυγχά- 31
»νων, ὑπὸ πάντων προσκυνεῖται· οἱ δὲ ἀποθέμενοι τὸ πνεῦμα τῆς
»δουλείας, ἐξ ἀνδραγαθημάτων καὶ προκοπῆς τὸ τῆς υἱοθεσίας

9 I Kor. 1, 24 — **10 11** Joh. 14, 6. 1, 4, 9 — **12** I Kor. 1, 24 — **15/16** II Kor. 6, 14—15 — **17/18** Prov. 24, 53—54 (30, 18—19) — **18** I Kor. 10, 4 — **21/22** vgl. Phil. 2, 11 — **22—S.** 17, 1 Röm. 8, 15

A HN (n) GS (s) DL + FV (v) = z T

1 ὑπ᾽ αὐτοῦ szT am Rand A παρ᾽ αὐτοῦ An | **3** γὰρ τρόπον ∽ nT | **5** καὶ = *et* Cass. > sv | **8** ταῖσ . . . τροπαῖσ s, *mutabilitati* Cass. | παρὰ τούτου An παρ᾽ αὐτοῦ szT | **10** vor ἢ ὁ θεὸς λόγος interpungieren die besten HSS und Cass. | **11** ἢ ἡ ζωή· ἢ τὸ nT /// ἡ ζωή· /// τὸ A ἢ ζωή· τὸ sz, vgl. Cass.: *aut deus verbum quomodo potest* (sic Codd. CLP) *meliorari, cum sit vita verumque lumen?* | **11/12** πλέον (πλεῖον L μᾶλλον G) ἀφύσικον τυγχάνει szT πλέον τυγχάνει ἀφύσικον n πλείονα φυσικὸν τυγχάνει A | **14** σκότος = Cass.] καὶ σκότοσ v | **15** αὐτόθεν > n Cass. | **16** χῷ AnsD χῦ LvTCass. | **17** μέχρι πρὸς = *usque ad* Cass.] μέχρισ T, ob μέχρι τινὸς wie 12, 24? Jülicher **20** νομίμοισ ἐντολαῖσ AHLv Cass. νόμοισ ἐντολαῖσ N νομίμουσ (νόμουσ S) ἐντολὰσ sDT | **21** nach δὴ + καὶ sL | nach ἡμῶν + ῑ̄σ χ̄σ̄ n, Cass. wie im Text | **22** τῶ πν̄ι, ω und ι corr. Ac

»λαβόντες πνεῦμα, διὰ τοῦ φύσει υἱοῦ εὐεργετούμενοι γίγνονται »αὐτοὶ θέσει υἱοί.

»Τὴν μὲν οὖν γνησίαν αὐτοῦ καὶ ἰδιότροπον καὶ φυσικὴν καὶ κατ' 32
»ἐξαίρετον υἱότητα ὁ Παῦλος οὕτως ἀπεφήνατο, περὶ θεοῦ εἰπών·
»ὅς γε τοῦ ἰδίου υἱοῦ οὐκ ἐφείσατο, ἀλλ' ὑπὲρ ἡμῶν (δηλον-
»ότι τῶν μὴ φύσει υἱῶν) παρέδωκεν αὐτόν«. πρὸς γὰρ ἀντι- 33
»διαστολὴν τῶν οὐκ ἰδίων αὐτὸν ἴδιον υἱὸν ἔφησεν εἶναι. ἐν δὲ τῷ
»Εὐαγγελίῳ· »οὗτός ἐστιν ὁ υἱός μου ὁ ἀγαπητός, ἐν ᾧ εὐδό-
»κησα«. ἐν δὲ Ψαλμοῖς ὁ σωτὴρ φησιν· »κύριος εἶπε πρός με·
»υἱός μου εἶ σύ«. γνησιότητα ἐμφανίζων σημαίνει μὴ εἶναι αὐτοῦ
»γνησίους υἱοὺς ἄλλους τινὰς παρ' αὐτόν. τί δὲ καὶ τὸ »ἐκ γαστρὸς 34
»πρὸ ἑωσφόρου ἐγέννησά σε«; οὐχὶ ἄντικρυς τῆς πατρικῆς μαιώ-
»σεως φυσικὴν ἐνδείκνυται υἱότητα, οὐ τρόπων ἐπιμελείᾳ καὶ προ-
»κοπῆς ἀσκήσει, ἀλλὰ φύσεως ἰδιώματι ταύτην λαχόντος; ὅθεν καὶ
»ἀμετάπτωτον ἔχει τὴν υἱότητα ὁ μονογενὴς υἱὸς τοῦ πατρός. τὴν
»δὲ τῶν λογικῶν υἱοθεσίαν, οὐ κατὰ φύσιν αὐτοῖς ὑπάρχουσαν ἀλλὰ
»τρόπων ἐπιτηδειότητι καὶ δωρεᾷ θεοῦ, καὶ μεταπτωτὴν οἶδεν ὁ λόγος·
»»ἰδόντες γὰρ οἱ υἱοὶ τοῦ θεοῦ τὰς θυγατέρας τῶν ἀνθρώ-
»πων ἔλαβον ἑαυτοῖς γυναῖκας« καὶ τὰ ἑξῆς· καὶ »υἱοὺς ἐγέν- 35
»νησα καὶ ὕψωσα, αὐτοὶ δέ με ἠθέτησαν« διὰ Ἡσαΐου εἰρηκέναι
»τὸν θεὸν ἐδιδάχθημεν.

»Πολλὰ λέγειν ἔχων, ἀγαπητοί, παρέρχομαι, φορτικὸν εἶναι νομίσας
»διὰ πλειόνων διδασκάλους ὁμόφρονας ὑπομιμνήσκειν. αὐτοὶ γὰρ
»ὑμεῖς θεοδίδακτοί ἐστε, οὐκ ἀγνοοῦντες ὅτι ἡ ἔναγχος ἐπανα-
»στᾶσα τῇ ἐκκλησιαστικῇ εὐσεβείᾳ διδασκαλία Ἐβίωνός ἐστι καὶ Ἀρ-

5/6 Röm. 8, 32 — **8** Matth. 3, 17. 17, 5 — **9/10** Psal. 2, 7 — **11/12** Psal. 109, 3 — **18/19** Gen. 6, 2 u. 4 — **19/20** Jes. 1, 2 — **23/24** I Thess. 4, 9

* **22**—S. 18, 11 Niceph. H. E. VIII 7

A HN(n) GS(s) DL + FV(v) = z T W [von **22** *Πολλὰ*]

1 *διὰ τοῦ* AnTCass. *δι' αὐτοῦ τοῦ* sz | *εὐεργετούμενοι* = *adiuti* Cass.] *ἐνεργούμενοι* s | **2** *αὐτοὶ* > n, *et ipsi* Cass. | **7** *υἱὸν ἴδιον αὐτὸν* ~ n | **8/9** *ηὐδόκησα* sFT | **10** vor *γνησιότητα* + *καὶ* T, Cass. wie im Text | *αὐτοῦ μὴ εἶναι* ~ s, *non esse eius* Cass. | **12/13** *μαιώσεως* nsT *μαιεύσεως* Lv und (*ευ* auf Rasur Ac) A *ὁμοιώσεως* D | **13** *ἐπιμελείᾳ* HF, *σ* ausradiert V | **13/14** *προκοπῆς*] *τροπῆς* s | **14** *ἰδιώματι* nsDTCass. *ἰδιώμασι* Lv (*σι* auf Rasur Ac) A | **15** *υἱὸς* > szCass. | **16** *ὑπάρχουσαν αὐτοῖς* ~ An, Cass. wie im Text | **19** *καὶ τὰ ἑξῆς*] *ἐξ αὐτῶν* T *ex ipsis* Cass. (aus LXX) | **21** *τὸν θεὸν εἰρηκέναι* ~ DTCass. | **24** *ὑμεῖς* = Thess. *vos* Cass. > An

»τεμᾶ, καὶ ζῆλος τοῦ κατὰ Ἀντιόχειαν Παύλου τοῦ Σαμοσατέως,
»συνόδῳ καὶ κρίσει τῶν ἁπανταχοῦ ἐπισκόπων ἀποκηρυχθέντος τῆς
»ἐκκλησίας· ὃν διαδεξάμενος Λουκιανὸς ἀποσυνάγωγος ἔμεινε τριῶν **36**
»ἐπισκόπων πολυετεῖς χρόνους. ὧν τῆς ἀσεβείας τὴν τρύγα ἐρρο-
»φηκότες νῦν ἡμῖν οἱ ἐξ οὐκ ὄντων ἐπεφύησαν, τὰ ἐκείνων κεκρυμ-
»μένα μοσχεύματα, Ἄρειός τε καὶ Ἀχιλλᾶς καὶ ἡ τῶν σὺν αὐτοῖς
»πονηρευομένων σύνοδος. καὶ οὐκ οἶδ' ὅπως ἐν Συρίᾳ χειροτονη- **37**
»θέντες ἐπίσκοποι τρεῖς, διὰ τὸ συναινεῖν αὐτοῖς, ἐπὶ τὸ χεῖρον
»ὑπεκκαίουσι, περὶ ὧν ἡ κρίσις ἀνακείσθω τῇ ὑμετέρᾳ δοκιμασίᾳ· οἳ
»τὰς μὲν τοῦ σωτηρίου πάθους ταπεινώσεώς τε καὶ κενώσεως καὶ
»τῆς καλουμένης αὐτοῦ πτωχείας καὶ ὧν ἐπικτήτους ὁ σωτὴρ δι'
»ἡμᾶς ἀνεδέξατο φωνὰς διὰ μνήμης ἔχοντες, παρατίθενται ἐπὶ παρα-
»γραφῇ τῆς ἀνωτάτω καὶ ἀρχῆθεν αὐτοῦ θεότητος, τῶν δὲ τῆς
»φυσικῆς αὐτοῦ δόξης τε καὶ εὐγενείας καὶ παρὰ τῷ πατρὶ μονῆς
»σημαντικῶν λόγων ἐπιλήσμονες γεγόνασιν· οἷόν ἐστι τὸ »ἐγὼ καὶ
»ὁ πατὴρ ἕν ἐσμεν«. ὅπερ φησὶν ὁ κύριος, οὐ πατέρα ἑαυτὸν ἀνα- **38**
»γορεύων οὐδὲ τὰς τῇ ὑποστάσει δύο φύσεις μίαν εἶναι σαφηνίζων,
»ἀλλ' ὅτι τὴν πατρικὴν ἐμφέρειαν ἀκριβῶς πέφυκε σώζειν ὁ υἱὸς τοῦ
»πατρός, τὴν κατὰ πάντα ὁμοιότητα αὐτοῦ ἐκ φύσεως ἀπομαξάμενος
»καὶ ἀπαράλλακτος εἰκὼν τοῦ πατρὸς τυγχάνων καὶ τοῦ πρωτοτύπου
»ἔκτυπος χαρακτήρ. ὅθεν καὶ τῷ τηνικαῦτα ποθοῦντι ἰδεῖν Φιλίππῳ **39**

3 Joh. 9, 22. 12, 42. 16, 2 — **6** Sap. Sal. 4, 3 — **7** Psal. 21, 17 — **8** vgl. Sozomen. I 15, 11 — **10/11** Phil. 2, 7f. II Kor. 8, 9 — **14** u. **15/16** Joh. 14, 23 u. 10, 30

A HN (n) GS (s) DL + FV (v) = z T W [bis **11** *ἐπικτήτους*]

1 *σαμωσατέως* T | **2** *συνόδῳ* — **4** *ὧν τῆς* > W | *ἀποκηρυχθέντων* A, Cass. wie im Text | **3** *τριῶν* — **4** *χρόνους* > s | **4/5** *ἐρροφηκότες* zT und (*ἐρ* auf Rasur Ac) A *ῥεροφηκότες* nSW *ῥερομφικότες* G | **5** *οἱ* AnT > szW | nach *ἐπεφύεσαν* (sic) + *λέγοντες* T, fehlt bei Cass. | **5/6** *κεκρυμμένα* nsDvTLm Cass. *κεκρυμμένως* W > A | **6** *ἀχιλλᾶς* nVT Cass. *ἀχιλλεὺς* AsDLFW | **8** *διὰ* — **9** *ὑπεκκαίουσι* > W | *διὰ τὸ* AsLv *διὰ τοῦ* nDT | *συναινεῖν* A *γρ. συναίρειν* am Rand Ac | **8/9** *χεῖρον ὑπεκκαίουσι* T *χεῖρόν τε ὑπεκκαίουσι* n *χεῖρον* /|/ *ὑπεκκαίοντες* in A, aber *ντες* auf Rasur Ac *χεῖρον ὑπεκκαίοντες* sz *et ad peiora flammati sunt* Cass. | **9** *ὑπανακείσθω* n / //// *ἀνακείσθω* A, *sit reposita* Cass. | **11** *ἐπικτήτους*] *ἐπικτήτων* Jülicher *ἐπικτήτως* Schwartz | **14** *μόνης* HGvAc **15** *τὸ* > s | **16** nach *πατήρ* + *μου* SDv | **17** *οὐδὲ* — *σαφηνίζων*] *neque substantialiter duas naturas, quae est una, declarans* Cass., danach Holsten. [PG 18, 542]: *οὐδὲ τῇ ὑποστάσει δύο φύσεις τὴν μίαν εἶναι σαφηνίζων* | *τῇ*] *ἐν τῇ* T | **19** *ἐκ φύσεως* > L Cass. | *ἀπομορξάμενος* s | **20** *τοῦ πατρὸς εἰκὼν* ~ L | **21** *τῷ*] *τὰ τὸ* v *τὸ* G

»ἀφθόνως ὁ κύριος ἐμφανίζει, πρὸς ὃν λέγοντα »δεῖξον ἡμῖν τὸν »πατέρα« λέγει· »ὁ ἑωρακὼς ἐμὲ ἑώρακε τὸν πατέρα«, ὥσπερ »δι' ἐσόπτρου ἀκηλιδώτου καὶ ἐμψύχου θείας εἰκόνος αὐτοῦ θεωρου- »μένου τοῦ πατρός. ὧν ὅμοιον ἐν Ψαλμοῖς οἱ ἁγιώτατοί φασιν· »ἐν 40
5 »τῷ φωτί σου ὀψόμεθα φῶς«. διὸ δὴ καὶ ὁ τιμῶν τὸν υἱὸν τιμᾷ »τὸν πατέρα, καὶ εἰκότως· πᾶσα γὰρ ἀσεβὴς φωνὴ εἰς τὸν υἱὸν λέ- »γεσθαι τολμωμένη εἰς τὸν πατέρα τὴν ἀναφορὰν ἔχει.

»Καὶ τί λοιπὸν ἔτι θαυμαστὸν ὃ μέλλω γράφειν, ἀγαπητοί, εἰ »τὰς κατ' ἐμοῦ ψευδεῖς διαβολὰς καὶ τοῦ εὐσεβεστάτου ἡμῶν λαοῦ
10 »ἐκθήσομαι; οἱ γὰρ κατὰ τῆς θεότητος τοῦ υἱοῦ τοῦ θεοῦ παραταξά- 41
»μενοι οὐδὲ τὰς καθ' ἡμῶν ἀχαρίστους παροινίας παραιτοῦνται λέ- »γειν· οἵ γε οὐδὲ τῶν ἀρχαίων τινὰς συγκρίνειν ἑαυτοῖς ἀξιοῦσιν »οὐδὲ οἷς ἡμεῖς ἐκ παίδων ὡμιλήσαμεν διδασκάλοις ἐξισοῦσθαι ἀνέχον- »ται, ἀλλ' οὐδὲ τῶν νῦν πανταχοῦ συλλειτουργῶν τινα εἰς μέτρον
15 »σοφίας ἡγοῦνται, μόνοι σοφοὶ καὶ ἀκτήμονες καὶ δογμάτων εὑρεταὶ »λέγοντες εἶναι, καὶ αὐτοῖς ἀποκεκαλύφθαι μόνοις ἅπερ οὐδενὶ τῶν »ὑπὸ τὸν ἥλιον ἑτέρῳ πέφυκεν ἐλθεῖν εἰς ἔννοιαν. ὦ ἀνοσίου τύφου 42
»καὶ ἀμέτρου μανίας καὶ μελαγχολικῆς ἡρμοσμένης δόξης κενῆς καὶ »σατανικοῦ φρονήματος εἰς τὰς ἀνοσίους αὐτῶν ψυχὰς ἀποσκιρώσαντος.
20 »οὐ κατῄδεσεν αὐτοὺς ἡ τῶν ἀρχαίων γραφῶν φιλόθεος σαφήνεια. 43
»οὐδὲ ἡ τῶν συλλειτουργῶν σύμφωνος περὶ Χριστοῦ εὐλάβεια τὴν »κατ' αὐτοῦ θρασύτητα αὐτῶν ἡμαύρωσεν. ὧν οὐδὲ τὰ δαιμόνια τῆς »ἀνοσιουργίας ἀνέξεται, φωνὴν βλάσφημον κατὰ τοῦ υἱοῦ τοῦ θεοῦ »εἰπεῖν φυλαττόμενα.

1/2 Joh. 14, 8—9 — **3/4** vgl. Sap. Sal. 7, 26 — **4/5** Psal. 35, 10 — **5/6** vgl. Joh. 5, 23

* **8—19** Niceph. H. E. VIII 7

A HN (n) GS (s) DL + FV (v) = z T W [von **8** *Καὶ τί* — **19** *φρονήματος*

1 *ἐμφανίζει*] *ἐμφαίνει* T | **3** *αὐτοῦ εἰκόνος* ∼ TCass. | **4** *ὧν*] *ὃν* n, vgl. Cass.: *quem similiter* | **8** *ἔτι*] *ἐστι* sT, *ἔτι* fehlt bei Cass. | *εἰ*] *εἰσ* s | **9** *λαοῦ* As *λαοῦ ἡμῶν* ∼ TW, *nostrum populum* Cass. | **11** *ἀχρήστουσ* T, *ingratas* Cass. | **12** *ἑαυτοὺσ* A | **15** *σοφίας* > W | *ἀκτήμονες*] *ἐπιγνώμονες* (Prov. 13, 10) oder *ἐπιστήμονες* (z. B. Jes. 5, 21)? Jülicher | **18** *μανίας* = Cass.] *κακίασ* A | *μελαγχολικοῖσ* S Sirmond mit Verbesserung der Theodoretischen Überlieferung; nicht übersetzt von Cass.; *μελαγχολίᾳ* Christ. | **19** *εἰς — ἀποσκιρώσαντος* > V *ἀποσκιρώσαντοσ* AnST *ἀποσκηρώσαντοσ* DF *ἀποσκιράσαντοσ* G *ἐγσκηνώσαντοσ* l. am Rand A *rehementer insiliens* (= *ἀποσκιρτήσαντος* nach Val., s. S. 8, 18) Cass. **22** *ἡμέρωσεν* T *mansuefecit* Cass.

»Ταῦτα μὲν οὖν ἡμῖν κατὰ τὴν παροῦσαν δύναμιν ἐπηπορήσθω »πρὸς τοὺς ἀπαιδεύτῳ ὕλῃ κατὰ τοῦ Χριστοῦ κονισαμένους καὶ τὴν »εἰς αὐτὸν εὐσέβειαν ἡμῶν συκοφαντεῖν προθεμένους. φασὶ γὰρ ἡμᾶς 44
»οἱ φληνάφων ἐφευρεταὶ μύθων, ἀποστρεφομένους τὴν ἐξ οὐκ ὄντων
»ἀσεβῆ καὶ ἄγραφον κατὰ Χριστοῦ βλασφημίαν, ἀγέννητα διδάσκειν
»δύο, δυοῖν θάτερον δεῖν εἶναι λέγοντες οἱ ἀπαίδευτοι, ἢ ἐξ οὐκ
»ὄντων αὐτὸν εἶναι φρονεῖν, ἢ πάντως ἀγέννητα λέγειν δύο· ἀγνο-
»οῦντες οἱ ἀνάσχητοι ὡς μακρὸν ἂν εἴη μεταξὺ πατρὸς ἀγεννήτου
»καὶ τῶν κτισθέντων ὑπ᾽ αὐτοῦ ἐξ οὐκ ὄντων, λογικῶν τε καὶ
»ἀλόγων. ὧν μεσιτεύουσα φύσις μονογενής, δι᾽ ἧς τὰ ὅλα ἐξ οὐκ 45
»ὄντων ἐποίησεν ὁ πατὴρ τοῦ θεοῦ λόγου, ἐξ αὐτοῦ τοῦ ὄντος πα-
»τρὸς γεγέννηται· ὡς καὶ αὐτός που διεμαρτύρατο λέγων ὁ κύριος·
»»ὁ ἀγαπῶν τὸν πατέρα ἀγαπᾷ καὶ τὸν υἱὸν τὸν ἐξ αὐτοῦ
»γεγεννημένον«.

»Περὶ ὧν ἡμεῖς οὕτως πιστεύομεν, ὡς τῇ ἀποστολικῇ ἐκκλησίᾳ 46
»δοκεῖ· εἰς μόνον ἀγέννητον πατέρα, οὐδένα τοῦ εἶναι αὐτῷ τὸν
»αἴτιον ἔχοντα, ἄτρεπτόν τε καὶ ἀναλλοίωτον, ἀεὶ κατὰ τὰ αὐτὰ καὶ
»ὡσαύτως ἔχοντα, οὔτε προκοπὴν οὔτε μείωσιν ἐπιδεχόμενον, νόμου
»καὶ προφητῶν καὶ εὐαγγελίων δοτῆρα, πατριαρχῶν καὶ ἀποστόλων
»καὶ ἁπάντων ἁγίων κύριον· καὶ εἰς ἕνα κύριον Ἰησοῦν Χριστόν, τὸν
»υἱὸν τοῦ θεοῦ μονογενῆ, γεννηθέντα οὐκ ἐκ τοῦ μὴ ὄντος ἀλλ᾽ ἐκ
»τοῦ ὄντος πατρός, οὐ κατὰ τὰς τῶν σωμάτων ὁμοιότητας ταῖς
»τομαῖς ἢ ταῖς ἐκ διαιρέσεων ἀπορροίαις, ὥσπερ Σαβελλίῳ καὶ Βαλεν-
»τίνῳ δοκεῖ, ἀλλ᾽ ἀρρήτως καὶ ἀνεκδιηγήτως, κατὰ τὸν εἰπόντα, ὡς
»ἀνωτέρω παρεθήκαμεν· »τὴν γενεὰν αὐτοῦ τίς διηγήσεται;«

5 f vgl. unten 26, 8 f — **13/14** I Joh. 5, 1 — **25** oben 14, 3/4. Jes. 53, 8

A HN (n) GS (s) DL + FV (v) = z T

1 *ἐπηπορήσθω* AS *ἐπιπορήσθω* G *ἐπηπορείσθω* LF *ἐπιπορείσθω* n *ἐπιπορίσθω* T *ἐπαπορείσθω* D *ἐπεισπορίσθω* V, *haec . . . iacula . . . diripiantur* Cass. | **2** *ὕλῃ* = *materia* Cass.] *ὑλακῇ* T | *κατὰ τοῦ χῡ* An *κατὰ χῡ* zT *κατὰ* s | **3** *προσθεμένους* T *προ///θεμένους* V, *contendunt* Cass. | **4** *εὑρεταὶ* z | **6** *δύο* vor *ἀγέννητα* ∼ T | *δεῖν* > sV | *λέγοντες δεῖν εἶναι* ∼ An, *esse oportere dicentes* Cass. | **8** *μακρὸν* nsT *μακρὰν* Az | nach *εἴη* + *ἡ* DL | **9** *τε* > ALV | **11** *πεποίηκεν* s | vor *ἐξ* + *ἢ* L übergeschrieben Ac, + *δσ* D, Cass. wie im Text | **13** *ἀγαπᾶ καὶ* An *ἀγαπᾷ* szTCass. | **13/14** *γεγεννημένον ἐξ αὐτοῦ* ∼ AJoh., Cass. wie im Text | **17** *τὰ* übergeschrieben Ac | **18** *οὔτε*²] *οὐδὲ* T | **20** *κύριον*² > z | *τὸν* > Ans, übergeschrieben Ac | **21** nach *θεοῦ* + *τὸν* z übergeschrieben Ac | **21/22** *πατρός* vor *ἀλλ᾽ ἐκ* ∼ T, Cass. wie im Text | **23** *διαιρέσεων* AnzCass. *διαιρέσεως* sT

»τῆς ὑποστάσεως αὐτοῦ πάσῃ τῇ γενητῇ φύσει ἀπεριεργάστου τυγχα-
»νούσης, καθὼς καὶ αὐτὸς ὁ πατὴρ ἀπεριέργαστός ἐστι, διὰ τὸ μὴ
»χωρεῖν τὴν τῶν λογικῶν φύσιν τῆς πατρικῆς θεογονίας τὴν εἴδησιν.
»ἅπερ οὐ παρ' ἐμοῦ δεῖ μαθεῖν ἄνδρας τῷ τῆς ἀληθείας πνεύματι 47
»κινουμένους, ὑπηχούσης ἡμᾶς καὶ τῆς φθασάσης Χριστοῦ περὶ τούτου
»φωνῆς καὶ διδασκούσης· »οὐδεὶς οἶδε τίς ἐστιν ὁ πατήρ, εἰ μὴ
»ὁ υἱός· καὶ οὐδεὶς οἶδε τίς ἐστιν ὁ υἱός, εἰ μὴ ὁ πατήρ«.
»ἄτρεπτον τοῦτον καὶ ἀναλλοίωτον ὡς τὸν πατέρα, ἀπροσδεῆ καὶ
»τέλειον υἱόν, ἐμφερῆ τῷ πατρὶ μεμαθήκαμεν, μόνῳ τῷ ἀγεννήτῳ
»λειπόμενον ἐκείνου. εἰκὼν γάρ ἐστιν ἀπηκριβωμένη καὶ ἀπαράλλα-
»κτος τοῦ πατρός. πάντων γὰρ εἶναι τὴν εἰκόνα πλήρη δι' ὧν ἡ 48
»μείζων ἐμφέρεια, δῆλον, ὡς αὐτὸς ἐπαίδευσεν ὁ κύριος »ὁ πατήρ
»μου« λέγων »μείζων μού ἐστι«. καὶ κατὰ τοῦτο καὶ τὸ ἀεὶ εἶναι
»τὸν υἱὸν ἐκ τοῦ πατρὸς πιστεύομεν· ἀπαύγασμα γάρ ἐστι τῆς
»δόξης καὶ χαρακτὴρ τῆς πατρικῆς ὑποστάσεως. ἀλλὰ μή τις
»τὸ ἀεὶ πρὸς ὑπόνοιαν ἀγεννήτου λαμβανέτω, ὡς οἵονται οἱ τὰ τῆς
»ψυχῆς αἰσθητήρια πεπωρωμένοι· οὔτε γὰρ τὸ ἦν, οὔτε τὸ ἀεί, οὔτε 49
»τὸ πρὸ αἰώνων ταὐτόν ἐστι τῷ ἀγεννήτῳ. ἀλλ' οὐδ', ὅτιοῦν ἀνθρώ-
»πων ἔννοια ὀνοματοποιῆσαι σπουδάσει, δηλοῖ τὸ ἀγέννητον (ὡς καὶ
»ὑμᾶς οὕτως ἐκδέχεσθαι πιστεύω καὶ τεθάρρηκα τῇ περὶ πάντων
»ὑμῶν ὀρθῇ προθέσει), κατὰ μηδένα τρόπον τούτων τῶν ὀνομάτων
»τὸ ἀγέννητον δηλούντων. ἔοικε γὰρ οἱονεὶ χρόνων εἶναι παρέκτασις 50
»ταῦτα τὰ ὀνόματα, τὴν μέντοι κατ' ἀξίαν τοῦ μονογενοῦς θεότητα
»καὶ οἷον ἀρχαιότητα σημαίνειν μὴ δυναμένων, τῶν δὲ ἁγίων ἀνδρῶν
»ὡς δύναμις ἑκάστῳ ἐμφανίσαι τὸ μυστήριον βιαζομένων καὶ συγ-

4 Joh. 14, 17. 15, 26. 16, 13 — **6/7** Matth. 11, 27 — **12/13** Joh. 14, 28 — **14/15** Hebr. 1, 3 — **16** unten 26, 7 f — **17** vgl. Hiob 17, 7 u. Jer. 4, 19

A HN (n) GS (s) DL + FV (v) = z T

1 *τῇ* > A, übergeschrieben A^{c} | *γενητῇ* NvT *creatae* Cass. *γεννητῇ* AHsDL | **4** *δεῖ* = *convenit* Cass. > v | **6** vor *οὐδεὶς* + *καὶ* n | **7** *καὶ οὐδεὶς* — *ὁ πατήρ* = Cass. > T | **9** *ἐμφερῆ* Asz *ἐμφερεῖ* T *ἐμφερῆ τε* n *aequalemque* Cass. | *τῷ*^{1} > A, übergeschrieben A^{c} | *μεμαθήκαμεν* An > szT Cass. | **11** *εἶναι* AnsvT *δεῖ εἶναι* D *convenit esse* Cass. *εἶναι δεῖ* L *δεῖ* übergeschrieben A^{c} | **12** *μεῖζον* A | *δῆλον* Ansz *δηλοῦ///αι* T, nicht übersetzt von Cass. | *ὡς* ausradiert in T | **17** *πεπωρωμένοι* nsT *caecatos* Cass. *πεπηρωμένοι* Az, aber in A *η* auf Rasur A^{c} | **19** *ὀνοματοποιῆ* T | *σπουδάσῃ* ALv | **20** *τεθάρσηκα* s | **22** *παρεκτάσεισ* n *παρέκτασιν* D | **23** *κατ' ἀξίαν* = *digne* Cass.] *κατὰ τάξιν* n | **24** *οἷον*] *οἱονεὶ* T | *δυναμένων* AnGvT *δυνάμενα* DLA^{c} *valentia* Cass. *δυναμένη* S

»γνώμην αἰτούντων παρὰ τῶν ἀκροατῶν δι᾽ εὐλόγου ἀπολογίας διὰ
»τοῦ λέγειν· εἰς ἃ ἐφθάσαμεν. εἰ δέ τι παρὰ τὸ ἀνθρώπινον διὰ 51
»χειλέων φθέγμα μεῖζόν τι προσδοκῶσιν οἱ ἄνδρες, τὰ ἐκ μέρους
»αὐτοῖς γνωσθέντα καταργεῖσθαι λέγοντες, δῆλον ὅτι πολὺ τοῦ
»ἐλπιζομένου λείπεται τὸ ἦν καὶ τὸ ἀεὶ καὶ τὸ πρὸ αἰώνων· ὅπερ
»δ᾽ ἂν ᾖ. οὐκ ἔστι ταὐτὸν τῷ ἀγεννήτῳ. οὐκοῦν τῷ μὲν ἀγεννήτῳ 52
»πατρὶ οἰκεῖον ἀξίωμα φυλακτέον, μηδένα τοῦ εἶναι αὐτῷ τὸν αἴτιον
»λέγοντας· τῷ δὲ υἱῷ τὴν ἁρμόζουσαν τιμὴν ἀπονεμητέον, τὴν
»ἄναρχον αὐτῷ παρὰ τοῦ πατρὸς γέννησιν ἀνατιθέντας· καὶ ὡς
»ἐφθάσαμεν αὐτῷ σέβας ἀπονέμοντες, μόνον εὐσεβῶς καὶ εὐφήμως
»τὸ ἦν καὶ τὸ ἀεὶ καὶ τὸ πρὸ αἰώνων λέγοντες ἐπ᾽ αὐτοῦ, τὴν μέντοι
»θεότητα αὐτοῦ μὴ παραιτούμενοι, ἀλλὰ τῇ εἰκόνι καὶ τῷ χαρακτῆρι
»τοῦ πατρὸς ἀπηκριβωμένην ἐμφέρειαν κατὰ πάντα ἀνατιθέντες, τὸ
»δὲ ἀγέννητον τῷ πατρὶ μόνον ἰδίωμα παρεῖναι δοξάζοντες, ἅτε δὴ
»καὶ αὐτοῦ φάσκοντος τοῦ σωτῆρος· »ὁ πατήρ μου μείζων μού
»ἐστι«.

»Πρὸς δὲ τῇ εὐσεβεῖ ταύτῃ περὶ πατρὸς καὶ υἱοῦ δόξῃ, καθὼς 53
»ἡμᾶς αἱ θεῖαι γραφαὶ διδάσκουσιν, ἓν πνεῦμα ἅγιον ὁμολογοῦμεν, τὸ
»καινίσαν τούς τε τῆς παλαιᾶς διαθήκης ἁγίους ἀνθρώπους καὶ τοὺς
»τῆς χρηματιζούσης καινῆς παιδευτὰς θείους· μίαν καὶ μόνην καθο-
»λικὴν τὴν ἀποστολικὴν ἐκκλησίαν, ἀκαθαίρετον μὲν ἀεὶ κἂν πᾶς ὁ
»κόσμος αὐτῇ πολεμεῖν βουλεύηται, νικηφόρον δὲ πάσης τῆς τῶν
»ἑτεροδόξων ἀσεβεστάτης ἐπαναστάσεως, εὐθαρσεῖς ἡμᾶς κατασκευά-
»ζοντος τοῦ οἰκοδεσπότου αὐτῆς διὰ τοῦ βοᾶν· »θαρσεῖτε, ἐγὼ

2 (**10**?) Phil. 3, 16 — **2—5** vgl. I Kor. 13, 8—12 — **12** vgl. Kol. 1, 15. Hebr. 1, 3 — **15** Joh. 14, 28 — **24** Joh. 16, 33

A HN (n) GS (s) DL + FV (v) = z T

1 *παρὰ τῶν ἀκροατῶν* nT Cass. *διὰ τῶν ἀκροατῶν* s *διὰ τῶν ἀκροτάτων* z auf Rasur Ac | **2** *τοῦ* AnsDvT *τοῦτο* L *το* übergeschrieben Ac | *λέγει* L | **4** *γνωσθέντα*] *γνωρισθέντα* n, vgl. *ἐκ μέρους γὰρ γινώσκομεν* Kor. | *πολὺ* = Cass.] *καὶ πολὺ* n | **5** *τὸ*[3] > nsz | *ὅπερ* = *quodcumque* Cass.] *ἅπερ* n **6** *ἦ*] *εἴη* DT *εἰ* V | *οὐκ ἔστι*] *οὐκέτι* s, *non tamen est* Cass. | *ταυτὰ* DHc | **7** vor *οἰκεῖον* + *τὸ* VT | *αὐτῷ*] *αὐτὸν* nL > s | **11** *τὸ πρὸ*] *πρὸ* sLv | **12** *αὐτοῦ* > LV | *τῷ* > szT | **14** *μόνω* T, Cass. wie im Text | *παρεῖναι*] *εἶναι* LvT > Cass. | **15** *μου*[1] > L | **17** *δὲ* nach *εὐσεβεῖ* ∽ T | *εὐσεβεῖ* = *pia* Cass.] *εὐσεβεία* A | nach *περὶ* + *τοῦ* L | **19** *καινίσαν* An *κινῆσαν* szTAm *qui replevit* Cass., vgl. Sap. Sal. 7, 27 Psal. 50, 12 Röm. 7, 6 | **21** *ἀεὶ*] *εἶναι ἀεὶ* s *////* *ἀεὶ* A | **22** *αὐτὴν* T | *βουλεύηται* nT *βούληται* Asz | *δὲ* nDLAc > AsvT, *et* Cass. | *τῆς* > T | **23/24** *κατασκευάσαντος* n | **24** *δι᾽ αὐτοῦ* v

»νενίκηκα τὸν κόσμον«. μετὰ τοῦτον ἐκ νεκρῶν ἀνάστασιν οἴδα- 54
»μεν, ἧς ἀπαρχὴ γέγονεν ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστός. σῶμα
»φορέσας ἀληθῶς καὶ οὐ δοκήσει ἐκ τῆς θεοτόκου Μαρίας, ἐπὶ συν-
»τελείᾳ τῶν αἰώνων εἰς ἀθέτησιν ἁμαρτίας ἐπιδημήσας τῷ γένει
»τῶν ἀνθρώπων, σταυρωθεὶς καὶ ἀποθανών. ἀλλ' οὐ διὰ ταῦτα τῆς
»ἑαυτοῦ θεότητος ἧττων γεγενημένος, ἀναστὰς ἐκ νεκρῶν, ἀναληφθεὶς
»ἐν οὐρανοῖς, καθήμενος ἐν δεξιᾷ τῆς μεγαλωσύνης.

»Ταῦτα ἐκ μέρους ἐνεχάραξα τῇ ἐπιστολῇ, τὸ καθ' ἕκαστον ἐπ' 55
»ἀκριβείας γράφειν φορτικόν, ὡς ἔφην, εἶναι νομίσας, διὰ τὸ μηδὲ
»τὴν ἱερὰν ὑμῶν ταῦτα λεληθέναι σπουδήν. ταῦτα διδάσκομεν, ταῦτα
»κηρύττομεν, ταῦτα τῆς ἐκκλησίας τὰ ἀποστολικὰ δόγματα, ὑπὲρ ὧν
»καὶ ἀποθνήσκομεν, τῶν ἐξόμνυσθαι αὐτὰ βιαζομένων ἧττον πεφρον-
»τικότες, εἰ καὶ διὰ βασάνων ἀναγκάζουσι. τὴν ἐν αὐτοῖς ἐλπίδα μὴ
»ἀποστρεφόμενοι. ὧν ἐναντίοι γενόμενοι οἱ ἀμφὶ τὸν Ἄρειον καὶ 56
»Ἀχιλλᾶν καὶ οἱ τῆς ἀληθείας σὺν αὐτοῖς πολέμιοι ἀπεώσθησαν τῆς
»ἐκκλησίας. ἀλλότριοι γενόμενοι τῆς εὐσεβοῦς ἡμῶν διδασκαλίας, κατὰ
»τὸν μακάριον Παῦλον λέγοντα· »εἴ τις ὑμᾶς εὐαγγελίζεται παρ'
»ὃ παρελάβετε, ἀνάθεμα ἔστω« κἂν ἄγγελος ἐξ οὐρανοῦ εἶναι
»προσποιῆται, ἀλλὰ καὶ »εἴ τις ἑτεροδιδασκαλεῖ καὶ μὴ προσ- 57
»έρχεται τοῖς ὑγιαίνουσι λόγοις τοῖς τοῦ κυρίου ἡμῶν Ἰησοῦ
»Χριστοῦ καὶ τῇ κατ' εὐσέβειαν διδασκαλίᾳ, τετύφωται,
»μηδὲν ἐπιστάμενος« καὶ τὰ ἑξῆς.

1 u. **2** I Kor. 15, 12 u. 15, 20 — **3/4** u. **7** Hebr. 9, 26 u. 1, 3 — **9** oben S. 17, 22 — **10** I Kor. 15, 11 — **17** Gal. 1, 9 — **18** Gal. 1, 8 — **19f** I Tim. 6, 3f

* **1—18** in Syrisch. Add. Brit. Mus. 12, 156 [vgl. Schwartz, Nachrichten der K. Gesellschaft der Wiss. zu Göttingen. Philol.-hist. Klasse. 1905 S. 266] — **1** *μετὰ* — **6** *γεγενημένος* syrische Übersetzung ebds. [Pitra, Anal. sacra IV 200]

A HN(n) GS(s) DL + FV(v) = z T

1 *μετὰ τοῦτον ἐκ νεκρῶν* An *μετὰ τούτων νεκρῶν* sT *μετὰ τοῦτο νεκρῶν* DL *μετὰ τὴν τῶν νεκρῶν* v *hoc novimus actum post resurrectionem a mortuis* Cass.; eine bessere Fassung des Textes nicht mit Sicherheit durch eine Contamination dieser Lesarten zu erreichen, z. B. Val.: *μετὰ τοῦτο τὴν ἐκ νεκρῶν* **2** *ὁ χ̄ς̄* A | **6** *αὐτοῦ* sv | *ἧττον* s | **7** *ἐν οὐρανῷ* L *in coelum* Cass. **9** *εἶναι* > sz | *μηδὲ*] *μήτε* n, *non* Cass. | **11** *κηρύττομεν* An *κηρύσσομεν* szT | *τὰ* > sz, vor *τῆς* ∾ T | **12/13** *πεφρονηκότες* A | **13** *ἀναγκάζωσι* DGT | **14** *ἐναντίον* s | **15** *ἀχιλλέα* AsDLF, *Achillas* Cass. | *ἀπώσθησαν* T | **20** *τοῖς*[1] > NTTim. | *τοῖς*[2] > z

»Τούτους οὖν ἀναθεματισθέντας ἀπὸ τῆς ἀδελφότητος μηδεὶς »ὑμῶν δεχέσθω μηδὲ ἀνεχέσθω τῶν λεγομένων ἢ γραφομένων ὑπ' »αὐτῶν· πάντα γὰρ οἱ γόητες ψεύδονται, ἀλήθειαν οὐ μὴ λαλήσουσιν. »περιέρχονται γὰρ τὰς πόλεις, οὐδὲν ἕτερον σπουδάζοντες ἢ τῷ τῆς 58
»φιλίας προσχήματι καὶ τῷ τῆς εἰρήνης ὀνόματι δι' ὑποκρίσεως καὶ »κολακείας γράμματα διδόναι καὶ λαμβάνειν, πρὸς τὸ πλανᾶν διὰ »τούτων τὰ ὑπ' αὐτῶν ἠπατημένα ὀλίγα γυναικάρια σεσωρευμένα »ἁμαρτίαις καὶ τὰ ἑξῆς.

»Τούτους οὖν τοὺς τὰ τοσαῦτα κατὰ Χριστοῦ τολμήσαντας, τοὺς 59
»τὸν χριστιανισμὸν τοῦτο μὲν δημοσίᾳ διασύραντας, τοῦτο δὲ ἐπὶ »δικαστηρίων ἐπιδεικτιᾶν φιλοτιμουμένους, τοὺς διωγμὸν ἡμῖν ἐν »εἰρήνῃ τὸ ὅσον ἐπ' αὐτοῖς ἐπεγείραντας, τοὺς τὸ ἄρρητον μυστήριον »τῆς Χριστοῦ γεννήσεως ἐκνευρίσαντας, τούτους ἀποστρεφόμενοι, »ἀγαπητοὶ καὶ ὁμόψυχοι ἀδελφοί, σύμψηφοι γένεσθε κατὰ τῆς μανιώ-
»δους αὐτῶν τόλμης, καθ' ὁμοιότητα τῶν ἀγανακτησάντων συλλει-
»τουργῶν ἡμῶν καὶ ἐπιστειλάντων μοι κατ' αὐτῶν καὶ τῷ τόμῳ »συνυπογραψάντων· ἃ καὶ διεπεμψάμην ὑμῖν διὰ τοῦ υἱοῦ μου Ἄπι »τοῦ διακόνου, τοῦτο μὲν πάσης Αἰγύπτου καὶ Θηβαΐδος, τοῦτο δὲ »Λιβύης τε καὶ Πενταπόλεως καὶ Συρίας καὶ ἔτι Λυκίας καὶ Παμ-
»φυλίας, Ἀσίας, Καππαδοκίας καὶ τῶν ἄλλων περιχώρων· ὧν καθ' »ὁμοιότητα καὶ παρ' ὑμῶν δέξασθαι πέποιθα. πολλῶν γάρ μοι βοηθη- 60

7/8 II Tim. 3, 6 — 11/12 vgl. Act. 13, 50

* 1—S. 25, 6 Niceph. H. E. VIII 7

A HN(n) GS(s) DL + FV(v) = z T W

1 *οὖν* = Cass. > An | *ἀπὸ*] *ὑπὸ* DW | **2** *μηδὲ ἀνεχέσθω* > s | **3** nach *ψεύδονται* + *καὶ* T | *λαλήσουσιν* ALVT *λαλήσωσιν* nsDFW | **5** *προσσχήματι* AS | **6.** *καὶ* > T | **6 7** *διὰ τούτων* AnzCass. *διὰ τούτου* sT *ὑπὸ τούτου* W | **7** *ἠπατημένα*] *πεπλανημένα* sz | *σεσωρευμένα ἁμαρτίαις* > mit leerem Raum H, fehlt bei Cass. | **9** *τὰ* > DTW | **10** *διασύροντας* LT *σύροντας* W, den Aorist bezeugt Cass. | **12** *τὸ ὅσον* szTW Cass. *τοσοῦτον* An | *ἐπ'*] *ἐν* sLF *in* Cass. | *ἐπεγείραντας* A *ἐγείραντας* T, *excitare non cessant* Cass. | **13** *γεννήσεως* SDLVTW *nativitatis* Cass. *γενέσεως* AnGF | *ἀποστρεφόμενοι* n *ἀποστραφέντες* in A, *α* und *έντες* auf Rasur Ac *aversamini* Cass. *ἀποστραφέντες* szTW | **14** *ἀδελφοί* > nTW Cass. | *γένεσθε* nsvTW *γενέσθαι* DL *γίνεσθε* A | **17** *ὑμῖν* nzT Cass. > AsW | *Ἄπι* (*Ἄπει* N) *τοῦ διακόνου* An *τοῦδε τοῦ διακόνου ἀπίωνος* Lv *τοῦδε ἀπίωνος τοῦ διακόνου* D *τοῦδε τοῦ διακόνου* s *τοῦ ἀρχιδιακόνου* TCass. *ἀπίωνος καὶ ἀρχιδιακόνου* W | **19** *καὶ*[4]] *τε καὶ* T | **20** *ἀσίας* AnLv *ἀσίας καὶ* sT *ἀσίας τε καὶ* DW

»μάτων πρὸς τοὺς βλαβέντας πεπορισμένων, καὶ τοῦτο εὕρηται λυσι-
»φάρμακον τοῦ ὑπ' αὐτῶν ἀπατηθέντος λαοῦ, πειθομένων καὶ ταῖς
»τῶν συλλειτουργῶν ἡμῶν συγκαταθέσεσιν, εἰς μετάνοιαν διὰ τούτου
»ἔρχεσθαι σπουδαζόντων. ἀσπάσασθε ἀλλήλους σὺν τῇ παρ' ὑμῶν
»ἀδελφότητι. ἐρρῶσθαι ὑμᾶς ἐν κυρίῳ εὔχομαι, ἀγαπητοί· ὀναίμην
»ὑμῶν τῆς φιλοχρίστου ψυχῆς.

»Εἰσὶ δὲ οἱ ἀναθεματισθέντες αἱρεσιῶται, ἀπὸ πρεσβυτέρων μὲν 61
»Ἄρειος, ἀπὸ διακόνων δὲ Ἀχιλλᾶς. Εὐζώϊος. Ἀειθαλής, Λούκιος.
»Σαρμάτης, Ἰούλιος, Μηνᾶς, Ἄρειος ἕτερος, Ἑλλάδιος.«

Συνῳδὰ τούτοις ἐπέστειλε καὶ Φιλογονίῳ τῷ τῆς Ἀντιοχέων 62
ἐκκλησίας προέδρῳ καὶ Εὐσταθίῳ τῷ τηνικαῦτα τὴν Βέροιαν ἰθύνειν
πεπιστευμένῳ καὶ τοῖς ἄλλοις ὅσοι τῶν ἀποστολικῶν ἦσαν δογμάτων
συνήγοροι. ἀλλ' οὐδὲ ὁ Ἄρειος ἡσυχίαν ἄγειν ἠνέσχετο. Ἔγραψε δὲ
καὶ αὐτὸς πρὸς ἐκείνους οὓς ὁμόφρονας ἔχειν ἠγεῖτο. ὅτι δὲ οὐδὲν 63
ψευδὲς κατ' αὐτοῦ γέγραφεν ὁ θεῖος Ἀλέξανδρος, αὐτὸς Ἄρειος ἐν
τοῖς πρὸς Εὐσέβιον τὸν Νικομηδείας μεμαρτύρηκε γράμμασιν. ἐνθήσω
δὲ καὶ ταύτην τῇ συγγραφῇ, ἵνα καὶ τοὺς κοινωνοὺς τῆς ἀσεβείας
δήλους τοῖς ἀγνοοῦσι ποιήσω.

»Κυρίῳ ποθεινοτάτῳ, ἀνθρώπῳ θεοῦ, πιστῷ, ὀρθοδόξῳ Εὐσεβίῳ, 5
Ἄρειος ὁ διωκόμενος ὑπὸ Ἀλεξάνδρου τοῦ πάπα ἀδίκως διὰ τὴν
»πάντα νικῶσαν ἀλήθειαν, ἧς καὶ σὺ ὑπερασπίζεις, ἐν κυρίῳ χαίρειν.

19—S. 27, 7 bei Epiphan. Haeres. 69, 6. Lateinisch Candid. Arian. Epistola ad Marium Victorin. PL 8, 1035 f.; Revue Bénédictine 26 (1909), 93 f. (= *A*)

* **19**—S. 27, 18 Niceph. H. E. VIII 9. Cass. I 15 [= T]

A HN (n) GS (s) DL + FV (v = z T W [bis **6** ψυχῆς u. von **19** an]

3 *διὰ τούτου*] *διὰ τοῦ* s *per eos* Cass. | **4** *παρ' ὑμῶν* AnTCass. *παρ' ἡμῶν* sLvW *παρ' ὑμῖν* D | **7** *μὲν* vor *πρεσβυτέρων* ~ n > AL | **8** *δὲ διακόνων* ~ n | *ἀχιλλᾶς* nVTCass. *ἀχιλλεύς* AsDLF | *ἀειθαλής* szT *αἰθάλης* A *Aithalis* Cass. *ἀειθαλᾶς* n | **9** vor *Ἑλλάδιος* + *καὶ* TCass. | **11** *τηνικαῦτα* = *tunc* Cass. > A | *βέρροιαν* H *βερναίων* T | nach *ἰθύνειν* + *ἐκκλησίαν* TCass. | **13** *ἠνέσχετο* AszCass. *ἠνείχετο* nT | **14** *ἔχειν ἠγεῖτο*] *εἶχεν* T = *concordibus suis* Cass. | *δὲ* AnT *δέ γε* sz | **15** *γέγραφεν* szT *scripsit* Cass. *ἔγραψεν* n *ἔγραφεν* A | **17** *κοινοὺς* A, *communicatores* Cass. | **18** *τοῖς ἀγνοοῦσι* > L | nach *ποιήσω* + *ἐπιστολὴ ἀρείου* im Text GF | **19** *ē* am Rand HSS | **21** *ὑπερασπίζεισ* AsDLTEp. *ὑπερασπίζῃ* nvW

»Τοῦ πατρός μου Ἀμμωνίου ἐρχομένου εἰς τὴν Νικομήδειαν,
»εὔλογον ὀφειλόμενον ἐφάνη προσαγορεῦσαί σε δι' αὐτοῦ ὁμοῦ τε καὶ
»ὑπομνῆσαι τὴν ἔμφυτόν σου ἀγάπην καὶ διάθεσιν, ἣν ἔχεις εἰς τοὺς
»ἀδελφοὺς διὰ τὸν θεὸν καὶ τὸν Χριστὸν αὐτοῦ, ὅτι μεγάλως ἡμᾶς
»ἐκπορθεῖ καὶ ἐκδιώκει καὶ πάντα κάλων κινεῖ καθ' ἡμῶν ὁ ἐπίσκο-
»πος, ὥστε καὶ ἐκδιῶξαι ἡμᾶς ἐκ τῆς πόλεως ὡς ἀνθρώπους ἀθέους,
»ἐπειδὴ οὐ συμφωνοῦμεν αὐτῷ δημοσίᾳ λέγοντι· »ἀεὶ θεός, ἀεὶ υἱός·
»ἅμα πατήρ, ἅμα υἱός· συνυπάρχει ἀγεννήτως ὁ υἱὸς τῷ θεῷ, ἀειγενής
»ἐστιν, ἀγεννητογενής ἐστιν· οὔτε ἐπινοίᾳ οὔτε ἀτόμῳ τινὶ προάγει
»ὁ θεὸς τοῦ υἱοῦ· ἀεὶ θεός, ἀεὶ υἱός· ἐξ αὐτοῦ ἐστι τοῦ θεοῦ ὁ υἱός«.
»καὶ ἐπειδὴ Εὐσέβιος ὁ ἀδελφός σου ὁ ἐν Καισαρείᾳ καὶ Θεόδοτος καὶ 2
»Παυλῖνος καὶ Ἀθανάσιος καὶ Γρηγόριος καὶ Ἀέτιος καὶ πάντες οἱ
»κατὰ τὴν Ἀνατολὴν λέγουσιν ὅτι προϋπάρχει ὁ θεὸς τοῦ υἱοῦ
»ἀνάρχως, ἀνάθεμα ἐγένοντο, δίχα μόνου Φιλογονίου καὶ Ἑλλανικοῦ
»καὶ Μακαρίου, ἀνθρώπων αἱρετικῶν ἀκατηχήτων, τὸν υἱὸν λεγόντων
»οἱ μὲν ἐργήν, οἱ δὲ προβολήν, οἱ δὲ συναγέννητον. καὶ τούτων 3
»τῶν ἀσεβειῶν οὐδὲ ἀκοῦσαι δυνάμεθα, ἐὰν μυρίους θανάτους ἡμῖν
»ἐπαπειλῶσιν οἱ αἱρετικοί. Ἡμεῖς δὲ τί λέγομεν καὶ φρονοῦμεν καὶ
»ἐδιδάξαμεν καὶ διδάσκομεν; ὅτι ὁ υἱὸς οὐκ ἔστιν ἀγέννητος οὐδὲ
»μέρος ἀγεννήτου κατ' οὐδένα τρόπον, οὔτε ἐξ ὑποκειμένου τινός,
»ἀλλ' ὅτι θελήματι καὶ βουλῇ ὑπέστη πρὸ χρόνων καὶ πρὸ αἰώνων

A HN(n) GS(s) DL + FV(v) = z T W

2 εὔλογον ὀφειλόμενον AnszW εὔλογον καὶ ὀφειλόμενον TEp. = *Λ rationabile* Cass. *rationi debitum* Cand. | nach ἐφάνη + μοι DEp.*Λ* | **3** καὶ διάθεσιν = Cass. Ep. Cand.*Λ* > n | εἰς] πρὸς TWEp. περὶ D *circa* Cass. *Λ ad* Cand. **5** διώκει z Ep. | **6** καὶ = Cass. > W Ep. Cand. *Λ* | ἡμᾶς = Cass. > T ὡς ἀνθρώπους ἀθέους szTW Cass. Ep. Cand. *Λ* ἀνθρώπους ἀθώους An | **7** θεός = Ep.] ὁ θεός An | **8** συνυπάρχει — θεῷ > V | συνυπάρχει ἀγεννήτως ὁ υἱὸς (ὁ υἱὸς ἀγεννήτως ∾ Ep.) τῷ θεῷ AnsLFTW Ep. *consubsistit ingenite filius patri* Cand. συνυπάρχει ὁ γεννητὸς υἱὸς τῷ ἀγεννήτῳ θεῷ D *coexistit ingenito deo filius* Cass. *cum d[e]o est infacturaliter filius Λ*; s. oben 20, 7. 21, 16 | ἀειγενής vT Ep. ἀειγεννής AnDLW *semper genitus* (*natus Λ*) Cass. Cand. *Λ* ἀειγέννησίς s | **9** ἀγεννητογενής AnLEp. ἀγεννητογεννής sDvW *ingenitogenitus* Cand. *ab ingenito genitus* Cass. ἀγενητογενής T *infacturaliter Λ* | ἐστιν² = Cass. Cand. > T Ep.*Λ* | **10** θεός ἀεὶ υἱός = Ep.] ὁ θεὸς ἀεὶ ὁ υἱός T υἱὸς ἀεὶ χ̄ς̄ W | **14** ἑλλαδικοῦ s | **15** τὸν nTW Ep. τῶν τὸν Asz | **17** θανάτους ἡμῖν szT Cass. Ep. Cand. *Λ* ἡμῖν θανάτους An | ἡμῖν nach ἐπαπειλῶσιν ∾ W | **18** ἐπαπειλῶσιν TW Ep. ἐπαπειλοῦσιν A ἐπαπειλήσωσιν sz παραπειλήσωσιν n | **19** ἀγένητος NT *infactus Λ*, *ingenitus* Cass. Cand. | **20** οὔτε szTW οὐδὲ An ἀλλ' οὔτε Ep.

»πλήρης θεός, μονογενής, ἀναλλοίωτος· καὶ πρὶν γεννηθῇ ἤτοι κτισθῇ 4
»ἢ ὁρισθῇ ἢ θεμελιωθῇ, οὐκ ἦν· ἀγέννητος γὰρ οὐκ ἦν. διωκόμεθα ὅτι
»εἴπαμεν· »ἀρχὴν ἔχει ὁ υἱός, ὁ δὲ θεὸς ἄναρχός ἐστιν«. διὰ τοῦτο διωκό-
»μεθα, καὶ ὅτι εἴπαμεν ὅτι ἐξ οὐκ ὄντων ἐστίν· οὕτως δὲ εἴπαμεν, καθότι
»οὐδὲ μέρος θεοῦ ἐστιν οὐδὲ ἐξ ὑποκειμένου τινός. διὰ τοῦτο διωκό-
»μεθα· λοιπὸν σὺ οἶδας. ἐρρῶσθαί σε ἐν κυρίῳ εὔχομαι, μεμνημένον
»τῶν θλίψεων ἡμῶν, συλλουκιανιστὰ ἀληθῶς Εὐσέβιε.«

Τούτων τῶν ὑπὸ τούτου καταλεχθέντων Εὐσέβιος μὲν Καισα- 5
ρείας ἐπίσκοπος ἦν, Θεόδοτος δὲ Λαοδικείας, Τύρου δὲ Παυλῖνος,
Ἀναζαρβοῦ δὲ Ἀθανάσιος καὶ Γρηγόριος Βηρυτοῦ, Λέτιος δὲ Λύδδων·
Λύδδα δέ ἐστιν ἡ νῦν καλουμένη Διόσπολις. τούτους μὲν οὖν συμ- 6
φώνους ἔχειν ὁ Ἄρειος ἐσεμνύνετο· ἀντιπάλους δὲ κέκληκε Φιλο-
γόνιον τῆς Ἀντιοχέων τὸν πρόεδρον καὶ Ἑλλανικὸν τὸν Τριπόλεως
καὶ τὸν Ἱεροσολύμων Μακάριον, συκοφαντίας κατὰ τούτων συρράψας.
ἐπειδήπερ ἀΐδιον καὶ προαιώνιον ἔφασαν τὸν υἱὸν καὶ τοῦ πατρὸς
ὁμότιμόν τε καὶ ὁμοούσιον. ταύτην δεξάμενος Εὐσέβιος τὴν ἐπιστολὴν
ἤμεσε καὶ αὐτὸς τὴν οἰκείαν ἀσέβειαν. γράφει δὲ οὕτω πρὸς Παυ-
λῖνον τὸν τῆς Τυρίων ἡγούμενον·

»*Τῷ δεσπότῃ μου Παυλίνῳ Εὐσέβιος ἐν κυρίῳ χαίρειν.* 6
»*Οὔτε ἡ τοῦ δεσπότου μου Εὐσεβίου σπουδή, ἡ ὑπὲρ τοῦ ἀληθοῦς*
»*λόγου, παρεσιωπήθη ἀλλ' ἔφθασεν ἕως καὶ ἡμῶν, οὔτε ἡ σοῦ ἐπὶ*
»*τούτῳ σιωπή, δέσποτα. καὶ ὡς ἦν ἀκόλουθον, ἐπὶ μὲν τῷ δεσπότῃ*

1/2 vgl. Prov. 8, 25 u. 22—23

* **19**—S. 29, 20 Niceph. H. E. VIII 10. Cass. I 16 [= T]

A HN (n) GS (s) DL + FV (v) = z T W [bis **7** u. von **19** an]

1 *ἀναλλοίωτος* = Ep.Cand.*A*] *ἀλλοιωτόσ* T = Cass. | *γεννηθῇ* NVT, *generaretur* Cass.*A genitus esset* Cand. | **2** *ἀγέννητοσ* (*ἀγένητοσ* NVT) *γὰρ οὐκ ἦν* nszTW Ep. *ingenitus enim non erat* Cass. Cand. *infactus enim non est A* > A | nach *ἀγέννητος* + noch einmal S. 26, 19 *οὐδὲ μέρος* — S. 27, 2 *ἀγέννητος* F, + S. 26, 19 *οὐδὲ μέρος* — S. 27, 2 *πρὶν γεννηθῆναι ἤτοι κτισθῇ ἢ ὁρισθῇ οὐκ ἦν* G; nach *ἀγέννητος γὰρ οὐκ ἦν* + S. 26, 19 *οὐδὲ μέρος* — S. 27, 2 *ἀγέννητος γὰρ οὐκ ἦν* D | **3** und **4** *εἴπαμεν*] *εἴπομεν* SLVT Ep. | **4** *ὅτι*[2] = *quia* Cand. *A* > T Cass Ep. | *εἴπαμεν*[2]] *εἴπομεν* SLT Ep. | **5** *ἐστιν* = Cass. Ep. Cand. *A* > An | **6** *μεμνημένων* T **8** *τῶν* > s | **10** *ἀναβαρζοῦ* n | *λυδδῶν* HT *Λυδῶν* Nic. | **11** *μὲν οὖν* AnsT *ergo* Cass. *μόνονσ* z | **13** *ἑλλάνικον* T *ἑλλαδικὸν* s | **14** *τὸν*] *τῶν* AGD | **16** *ὁ εὐσέβιοσ* T | **19** *ε̄* am Rand HsS | **20** *τοῦ*[2] > An | **21/22** *ἐπὶ τοῦτο* GLV *ἐπὶ τούτου* N

›μου Εὐσεβίῳ ηὐφράνθημεν, ἐπὶ δὲ σοὶ λυπούμεθα, στοχαζόμενοι καὶ
›τὴν σιωπὴν ἀνδρὸς τοιούτου ἧτταν ἡμῶν εἶναι. διὸ παρακαλῶ 2
›εἰδότα σε ὡς ἀπρεπὲς ἀνδρὶ φρονίμῳ ἀλλοῖα φρονεῖν καὶ σιωπᾶν
›τἀληθῆ, ἀνασκαλεύσαντι τῷ πνεύματι τὸν λογισμὸν περὶ τὸ γράφειν
›περὶ τούτου ἄρχου, λυσιτελοῦντος καὶ σοὶ καὶ τοῖς ἀκούουσί σου,
›μάλισθ' ὅταν κατὰ ἀκολουθίαν τῆς γραφῆς καὶ τοῖς ἴχνεσι τῶν
›λόγων αὐτῆς καὶ τῶν βουλημάτων ἐθέλοις γράφειν. ὅτι γὰρ οὔτε 3
›δύο ἀγέννητα ἀκηκόαμεν οὔτε ἓν εἰς δύο διῃρημένον οὐδὲ σωματικόν
›τι πεπονθὸς μεμαθήκαμεν ἢ πεπιστεύκαμεν, δέσποτα, ἀλλ' ἓν μὲν
›τὸ ἀγέννητον, ἓν δὲ τὸ ὑπ' αὐτοῦ ἀληθῶς καὶ οὐκ ἐκ τῆς οὐσίας
›αὐτοῦ γεγονός, καθόλου τῆς φύσεως τῆς ἀγεννήτου μὴ μετέχον ἢ
›ὂν ἐκ τῆς οὐσίας αὐτοῦ, ἀλλὰ γεγονὸς ὁλοσχερῶς ἕτερον τῇ φύσει
›καὶ τῇ δυνάμει, πρὸς τελείαν ὁμοιότητα διαθέσεώς τε καὶ δυνάμεως
›τοῦ πεποιηκότος γενόμενον· οὗ τὴν ἀρχὴν οὐ λόγῳ μόνον ἀδιήγητον,
›ἀλλὰ καὶ ἐννοίᾳ οὐκ ἀνθρώπων μόνον ἀλλὰ καὶ τῶν ὑπὲρ ἀνθρώ-
›πους πάντων εἶναι ἀκατάληπτον πεπιστεύκαμεν.

›Καὶ ταῦτα οὐχὶ λογισμοὺς ἑαυτῶν ὑποθέμενοι, ἀλλ' ἀπὸ τῆς 4
›ἁγίας γραφῆς μεμαθηκότες λέγομεν· κτιστὸν εἶναι καὶ θεμελιωτὸν
›καὶ γεννητὸν τῇ οὐσίᾳ καὶ τῇ ἀναλλοιώτῳ καὶ ἀρρήτῳ φύσει καὶ
›τῇ ὁμοιότητι τῇ πρὸς τὸν πεποιηκότα μεμαθήκαμεν, ὡς αὐτὸς ὁ
›κύριός φησιν· »ὁ θεὸς ἔκτισέ με ἀρχὴν ὁδῶν αὐτοῦ, καὶ πρὸ
›τοῦ αἰῶνος ἐθεμελίωσέ με· πρὸ δὲ πάντων βουνῶν γεννᾷ
›με«. εἰ δὲ ἐξ αὐτοῦ, τουτέστιν ἀπ' αὐτοῦ ἦν, ὡς ἂν μέρος αὐτοῦ 5
›ἢ ἐξ ἀπορροίας τῆς οὐσίας, οὐκ ἂν ἔτι κτιστὸν οὐδὲ θεμελιωτὸν
›εἶναι ἐλέγετο· οὐδὲ αὐτὸς ἀγνοεῖς, κύριε, ἀληθῶς. τὸ γὰρ ἐκ τοῦ
›ἀγεννήτου ὑπάρχον κτιστὸν ἔτι ὑφ' ἑτέρου ἢ ὑπ' αὐτοῦ ἢ θεμελιω-
›τὸν οὐκ ἂν εἴη, ἐξ ἀρχῆς ἀγέννητον ὑπάρχον. εἰ δὲ τὸ γεννητὸν 6

7—S. 29, 18 lateinisch Candid. Arian. ebds. PL 8, 1038 — **21—23** Prov. 8, 22—23 u. 25

A HN (n) GS (s) DL + FV (v) = z T W

1 *εὐφράνθημεν* ADLV | *σοὶ*] *σοῦ* Gv | **3** *ἀλλοῖα* — **7** *γράφειν* > mit leerem Raum von 3 Zeilen H | **5** *σοὶ*] *σοῦ* A | **8** *ἀγένητα* T | nach *ἀκηκόαμεν* + *πώποτε* T = *aliquando* Cass., Cand. wie im Text | *ἓν εἰς δύο* = Cass. Cand.] *ἓν ἐκ δύο* n | *διῃρημένων* An | *οὐδὲ*] *οὔτε* T | **11** *τῆσ ἀγεννήτου φύσεωσ* T | *μὴ* — **12** *αὐτοῦ* > s | **13** *τῇ* > T | **17** *ὑποθέμενοι* AnS *obstricti* Cass. *ὑποτιθέμενοι* GzTW *substituentes* Cand. | **18** *ἁγίας* = Cass. Cand. > A **19** *γεννητὸν* = *genitum* Cass.] *γενητὸν* NDLV *factum* Cand. | die zwei *τῇ* > T | **21** nach *αὐτοῦ* + *εἰσ ἔργα αὐτοῦ* T Cass. Prov., fehlt bei Cand. | **23** *τουτέστιν* auf Rasur A^c *ἔστιν ἢ* s | **24** *οὐδὲ* = Cand.] *ἢ* s *aut* Cass. | **26** *ἔτι*] *ἔτι ἢ* L

»αὐτὸν λέγεσθαι ὑπόφασίν τινα παρέχει, ὡς ἂν ἐκ τῆς οὐσίας τῆς »πατρικῆς αὐτὸν γεγονότα καὶ ἔχειν ἐκ τούτου τὴν ταυτότητα τῆς »φύσεως, γιγνώσκομεν ὡς οὐ περὶ αὐτοῦ μόνου τὸ γεννητὸν εἶναί »φησιν ἡ γραφή, ἀλλὰ καὶ ἐπὶ τῶν ἀνομοίων αὐτῷ κατὰ πάντα τῇ »φύσει. καὶ γὰρ καὶ ἐπ᾽ ἀνθρώπων φησίν· »υἱοὺς ἐγέννησα καὶ 7
»ὕψωσα, αὐτοὶ δέ με ἠθέτησαν«, καὶ »θεὸν τὸν γεννήσαντά »σε ἐγκατέλιπες«, καὶ ἐν ἑτέροις· »τίς«, φησί, »ὁ τετοκὼς βώ- »λους δρόσου;« οὐ τὴν φύσιν ἐκ τῆς φύσεως διηγούμενος, ἀλλὰ »τὴν ἐφ᾽ ἑκάστῳ τῶν γενομένων ἐκ τοῦ βουλήματος αὐτοῦ γένεσιν. »οὐδὲν γάρ ἐστιν ἐκ τῆς οὐσίας αὐτοῦ, πάντα δὲ βουλήματι αὐτοῦ »γενόμενα ἕκαστον, ὡς καὶ ἐγένετο, ἐστίν. ὁ μὲν γὰρ θεός, τὰ δὲ 8
»πρὸς ὁμοιότητα αὐτοῦ λόγῳ ὅμοια ἐσόμενα, τὰ δὲ καθ᾽ ἑκουσιασμὸν »γενόμενα· τὰ δὲ πάντα δι᾽ αὐτοῦ ὑπὸ τοῦ θεοῦ γενόμενα, πάντα δὲ »ἐκ τοῦ θεοῦ. ἅπερ λαβὼν καὶ ἐξεργασάμενος κατὰ τὴν προσοῦσάν »σοι θεόθεν χάριν, γράψαι τῷ δεσπότῃ μου Ἀλεξάνδρῳ σπούδασον· »πεπίστευκα γὰρ ὡς εἰ γράψειας αὐτῷ, ἐντρέψειας αὐτόν. πρόσειπε »πάντας τοὺς ἐν κυρίῳ. ἐρρωμένον σε καὶ ὑπὲρ ἡμῶν εὐχόμενον ἡ »θεία χάρις διαφυλάττοι, δέσποτα.«

Τοιαῦτα καὶ οὗτοι πρὸς ἀλλήλους ἐπέστελλον, εἰς τὸν κατὰ τῆς 9
ἀληθείας καθοπλιζόμενοι πόλεμον.

Οὕτω δὲ τῆς βλασφημίας ἐν ταῖς κατὰ τὴν Αἴγυπτον καὶ τὴν Ἑῴαν ἐκκλησίαις διασπαρείσης, ἔριδες ἐν ἑκάστῃ πόλει καὶ κώμῃ καὶ

5/6 Jes. 1, 2 — **6/7** Deut. 32, 18 — **7**/**8** Hiob 38, 28 — **21**—S. 30, 8 vgl. Euseb. Vit. Const. II 61. Socrat. I 6, 1—2

* **21**—S. 30, 14 Niceph. H. E. VIII 11 u. 12

A HN(n) GS(s) DL + FV(v) = z T [bis **20** *πόλεμον*] W [bis **18**]

1 *ὑπόφασίν τινα* = *ostensionem quamdam* Cass.] *ὑπόβασίν τινα* TW *πρόφασίν τινα* S *substantiam quamdam* Cand. | **2** *αὐτὸν* G^{m} vor *τῆς πατρικῆς* ∼ S nach *γεγονότα* ∼ L | **4** *αὐτῷ* = *ei* Cass. *ipsi* Cand. > ns | **7** *ἐγκατέλειπες* NGT *φησὶ τίς* ∼ A | **9** *γινομένων* LV | **11** *ἕκαστον* = Cand.] *ἕκαστα* T > Cass. *καὶ* > HCass. | *ἐστίν* nT //// A > szW, man kann nicht *ἐστίν* mit Cass. und Cand. belegen | *τὰ δὲ* — **14** *θεοῦ* > H mit leerem Raum von 2½ Zeilen | *τὰ δὲ*] *τὰ μὲν* v, *quaedam autem* Cand. | **12** *καθ᾽*] *κατ᾽* T | **15** *σοι* > A **16** *γράψειας*] *γράψεισ* LVTW | *ἐντρέψεισ* TW | **17** *πάντασ* ATW *ἅπαντασ* nsz | *τοὺς ἐν κυρίῳ* = Cass. Cand.] *ἐν κῶ* HT | **18** *θεία χάρις* = Cand.] *χάρισ τοῦ θεοῦ* T *gratia dei* Cass. | *φυλάττοι* n | **20** *ὁπλιζόμενοι* TNic. | **21** *Οὕτω*: ξ am Rand GLv | **22** *κώμῃ καὶ πόλει* ∼ s | *καὶ*^{2} > A

μάχαι περὶ τῶν θείων δογμάτων ἐγίγνοντο. ὁ δὲ λοιπὸς ὅμιλος **10**
θεατὴς ἦν τῶν γιγνομένων καὶ τῶν λεγομένων κριτής, καὶ οἱ μὲν
τὰ τούτων, οἱ δὲ τὰ ἐκείνων ἐπῄνουν· καὶ τραγῳδίας τὰ δρώμενα
καὶ θρήνων ἄξια ἦν. οὐ γὰρ ἀλλόφυλοι καὶ πολέμιοι, καθάπερ
πάλαι, τὰς ἐκκλησίας ἐπολιόρκουν, ἀλλ' ὁμόφυλοι καὶ ὁμορρόφιοι καὶ
ὁμοτράπεζοι κατ' ἀλλήλων ἀντὶ δοράτων ἐκίνουν τὰς γλώσσας· μᾶλ-
λον δέ, μέλη ἀλλήλων ὄντες καὶ εἰς ἓν τελοῦντες σῶμα, κατ' ἀλλήλων
ὡπλίζοντο.

Τὰ κατὰ τὴν μεγάλην σύνοδον τὴν ἐν Νικαίᾳ.

Ταῦτα μαθὼν ὁ πάνσοφος βασιλεὺς πρῶτον μὲν αὐτὴν ἐπειράθη **7**
τὴν τῶν κακῶν ἐμφράξαι πηγὴν καί τινα τῶν ἐπ' ἀγχινοίᾳ περι-
βοήτων εἰς τὴν Ἀλεξάνδρειαν μετὰ γραμμάτων ἀπέστειλε, σβέσαι τὴν
ἔριν πειρώμενος καὶ τὸ στασιάζον συναγαγεῖν εἰς ὁμόνοιαν προσ-
δοκῶν. ἐπειδὴ δὲ τῆς ἐλπίδος ἐψεύσθη, τὴν πολυθρύλητον ἐκείνην **2**
εἰς τὴν Νικαέων συνήγειρε σύνοδον, δημοσίοις ὄνοις καὶ ἡμιόνοις
καὶ ὀρεῦσι καὶ ἵπποις χρήσασθαι τοὺς ἐπισκόπους καὶ τοὺς σὺν τού-
τοις ἀφικνουμένους παρεγγυήσας. ἐπειδὴ δὲ ἠθροίσθησαν ὅσοι τῆς
ὁδοιπορίας τὸν πόνον ἐνεγκεῖν ἠδυνήθησαν, ἀφίκετο καὶ αὐτὸς εἰς
τὴν Νίκαιαν. ἰδεῖν τε τὴν τῶν ἀρχιερέων πληθὺν ἐφιέμενος καὶ τὴν
ὁμόνοιαν αὐτοῖς πρυτανεῦσαι ποθῶν· καὶ παραχρῆμα πάντα αὐτοῖς **3**
ἀφθόνως χορηγεῖσθαι προσέταξεν. ὀκτωκαίδεκα δὲ καὶ τριακόσιοι
συνῆλθον ἀρχιερεῖς. ὁ δὲ τῆς Ῥώμης διὰ γῆρας ἀπελείφθη βαθύ·
δύο μέντοι πρεσβυτέρους ἀπέστειλε, συνθέσθαι τοῖς πραττομένοις
παρεγγυήσας.

Ἦσαν δὲ κατ' ἐκεῖνον τὸν χρόνον πολλοὶ μὲν ἀποστολικοῖς χαρί-

10—14 Euseb. Vit. Const. II 63. vgl. Socrat. I 7, 1—2. Sozomen. I 16, 1—2 — **15/16** vgl. Euseb. Vit. Const. III 6 — **22—24** Euseb. ebds. III 7. vgl. Sozomen. I 17, 2

* **14**—S. 31, 14 Niceph. H. E. VIII 14 — **14—17** Cass. I 20 [= T] — **15—20** Georg. Mon. 503, 12

A HN (n) GS (s) DL + FV (v) = z T [von **14** *τὴν πολυθ.* — **17** *παρεγγυήσας*]

5 *ὁμορρόφιοι* nL *ὁμορόφιοι* A *ὁμωρόφιοι* Dv *ὁμώροφοι* S *ὁμόροφοι* G **9** *Τὰ κατὰ τὴν μεγάλην σύνοδον τὴν ἐν Νικαίᾳ* als Titel im Text nur in A **10** am Rand ξ AnSD | **11** *τινα*: hier *ὅσιον τὸν κονδροίβησ ἐπίσκοπον λέγει* am Rand A | **13** *ἔριν* AnD *αἵρεσιν* sLv *τὴν αἵ . . . σιν* am Rand Ac | **14** nach *ἐκείνην* + *πιστὴν σύνοδον* n | **15** *συνήγαγε* v | *σύνοδον* > n | **20/21** *ἀφθόνως αὐτοῖς* ∾ A | **22** *δὲ* > s

σμασι διαπρέποντες, πολλοὶ δὲ τὰ στίγματα τοῦ κυρίου Ἰησοῦ, κατὰ τὸν θεῖον ἀπόστολον, ἐν τῷ σώματι φέροντες. Ἰάκωβος μὲν 4
γὰρ ὁ Ἀντιοχείας τῆς Μυγδονίας (Σύροι δὲ αὐτὴν καὶ Ἀσσύριοι Νίσιβιν ὀνομάζουσι) καὶ νεκροὺς ἀνέστησε καὶ τοῖς ζῶσι συνέταξε καὶ ἄλλα
5 μυρία εἰργάσατο θαύματα· ἃ περιττὸν ἡγοῦμαι τῇδε πάλιν ἐνθεῖναι τῇ συγγραφῇ, ἐν τῇ Φιλοθέῳ ταῦτα διηγησάμενος Ἱστορίᾳ. Παῦλος 5
δὲ ὁ Νεοκαισαρείας (φρούριον δὲ τοῦτο ταῖς τοῦ Εὐφράτου παρακείμενον ὄχθαις) τῆς Λικιννίου παραπήλαυσε λύττης. ἄμφω γὰρ ἦν τὼ χεῖρε πεπεδημένος, σιδήρου πεπυρακτωμένου προσβαλόντος αὐταῖς
10 καὶ τὰ κινητικὰ τῶν ἄρθρων νεῦρα συστείλαντος καὶ νεκρώσαντος. ἕτεροι δὲ ὀρωρυγμένους εἶχον τοὺς δεξιοὺς ὀφθαλμούς, ἄλλοι δὲ τὰς 6
ἀγκύλας ἐκκεκομμένοι τὰς δεξιάς· εἷς τούτων ἦν Παφνούτιος ὁ Αἰγύπτιος· καὶ ἁπαξαπλῶς ἦν ἰδεῖν δῆμον μαρτύρων κατὰ ταὐτὸν συνηθροισμένον. οὐκ ἦν δ' ὅμως ἄμοιρος τῶν ἐναντίων ὁ θεῖος 7
15 οὗτος καὶ ἀοίδιμος ὅμιλος· ἀλλ' ἦσάν τινες, εὐαρίθμητοι μέν, ὕπουλοι δὲ καὶ τὰ βράχη μιμούμενοι, καὶ τὴν πονηρίαν καλύπτοντες καὶ ταῖς Ἀρείου βλασφημίαις οὐ προφανῶς συνηγοροῦντες.

Συνεληλυθότων δὲ πάντων, οἶκον μέγιστον ἐν τοῖς βασιλείοις ηὐτρέπισεν βασιλεύς, βάθρα καὶ θρόνους ὅτι μάλιστα πλείστους ἐν
20 τούτῳ τεθῆναι κελεύσας τῷ τῶν ἀρχιερέων ἀποχρώντως συλλόγῳ. οὕτω τὸ πρέπον αὐτοῖς εὐτρεπίσας γέρας, εἰσελθεῖν τε ἐπέτρεψε καὶ 8
περὶ τῶν προκειμένων βουλεύσασθαι. εἰσελήλυθε δὲ καὶ αὐτὸς ἔσχα- 9
τος σὺν ὀλίγοις, ἀξιέπαινον μὲν ἔχων τὸ μέγεθος, ἀξιάγαστον δὲ τὴν ὥραν, θαυμασιωτέραν δὲ τὴν τοῖς μετώποις ἐπικαθημένην αἰδῶ.

1/2 Gal. 6, 17 — **2—6** Theodoret. Relig. Historia 1 PG 82, 1300 B f. — **6—10** vgl. Synax. 337, 55—339, 35 — **11—13** vgl. Sozomen. 1, 10. Rufin. H. E. X 4. Socrat. I 11, 1—2 — **15—17** Theodoret. Relig. Historia ebds. 1300 C — **18—S. 32, 3** Euseb. Vit. Const. III 10. vgl. Sozomen. I 19, 1—2

* **2—14** Cass. II 1 [= T] — **14—S. 33, 17** Cass. II 5 [= T] — **18—S. 32, 2** Georg. Mon. 503, 16 — **18—S. 33, 5** Niceph. H. E. VIII 16—18

A HN (n) GS (s) DL + FV (v) = z T [von **2** *Ἰάκωβος* an]

1 nach *κυρίου* + *ἡμῶν* n | **2** *μὲν* > T | **4** *καὶ*[1] > TCass. | *τοῖς*] *ἐν τοῖσ* A | nach *ἄλλα* + *δὲ* T | **5** *ἃ*] *καὶ* A | **5/6** *ἃ πάλιν ἐνθεῖναι τῇ συγγραφῇ περιττὸν ἡγοῦμαι* ~ n | **6** *ἐν* > A | *Ἱστορίᾳ* vor *ταῦτα* ~ L **8** *λικινίου* s | *παραπέλαυσε* LvT | **9** *αὐταῖσ* AsT *αὐταῖν* nz | **14** *ἠθροισμένον* sLvT | *δ'*] *γὰρ* T, *itaque* Cass. | *ἄμοιρος ὅμως* ~ A | *ὅμως* > DTCass. | **18** *μέγιστον* + *τὸν* T | **19** *ὁ βασιλεύς* GzAc | *μάλα* T | **20** *ἀποχρώντωσ* ANGD *ἀποχρώντασ* SLvTAc *ἀποχρῶντα* H *quae sufficerent* Cass. **24** *τὴν* > A

θρόνου δὲ σμικροῦ τεθέντος ἐν μέσῳ κεκάθικεν, ἐπιτρέψαι τοῦτο τοὺς ἐπισκόπους αἰτήσας· σὺν αὐτῷ δὲ καὶ ἅπας ὁ θεῖος ἐκεῖνος ἐκαθέσθη χορός. παραυτίκα δὲ πρῶτος ὁ μέγας Εὐστάθιος, ὁ τῆς 10
Ἀντιοχέων ἐκκλησίας τὴν προεδρίαν λαχών (Φιλογόνιος γὰρ, οὗ πρόσθεν ἐμνήσθην, εἰς τὸν ἀμείνω μεταβεβήκει βίον, τοῦτον δὲ ἄκοντα ποιμαίνειν ἀντ' ἐκείνου τὴν ἐκκλησίαν ἐκείνην ψήφῳ κοινῇ κατηνάγκασαν ἀρχιερεῖς τε καὶ ἱερεῖς καὶ πᾶς ὁ λαὸς ὁ φιλόχριστος), οὗτος τοῖς ἄνθεσι τῶν ἐγκωμίων τὴν βασιλέως ἐστεφάνωσε κεφαλὴν καὶ τὴν περὶ τὰ θεῖα σπουδὴν εὐλογίαις ἠμείψατο. παυσαμένου δὲ 11
τούτου, βασιλεὺς ὁ πανεύφημος τοὺς περὶ τῆς ὁμονοίας τε καὶ συμφωνίας προσενήνοχε λόγους, τῆς τε τῶν τυράννων ἐκείνων ἀναμιμνήσκων ὠμότητος καὶ τῆς ἐπ' αὐτοῦ θεόθεν παρασχεθείσης ἐντιμοτάτης εἰρήνης, καὶ ὡς δεινὸν εἴη καὶ ἄγαν δεινόν, τῶν πολεμίων καταλυθέντων καὶ μηδενὸς ἀντιτείνειν τολμῶντος, ἀλλήλους βάλλειν καὶ τοῖς δυσμενέσιν ἡδονὴν καὶ γέλωτα προξενεῖν, ἄλλως τε καὶ περὶ θείων διαλεγομένους πραγμάτων καὶ τοῦ παναγίου πνεύματος τὴν διδασκαλίαν ἀνάγραπτον ἔχοντας. »εὐαγγελικαὶ γάρ«, φησί, 12
»βίβλοι καὶ ἀποστολικαὶ καὶ τῶν παλαιῶν προφητῶν τὰ θεσπίσματα σαφῶς ἡμᾶς ἃ χρὴ περὶ τοῦ θείου φρονεῖν ἐκπαιδεύουσι. τὴν πολεμοποιὸν οὖν ἀπελάσαντες ἔριν, ἐκ τῶν θεοπνεύστων λόγων λάβωμεν τῶν ζητουμένων τὴν λύσιν«.

Ταῦτα καὶ τὰ τούτοις παραπλήσια, οἷα δὴ παῖς φιλοπάτωρ, τοῖς 13
ἱερεῦσιν ὡς πατράσι προσέφερε, τῶν ἀποστολικῶν δογμάτων τὴν συμφωνίαν πραγματευόμενος. τῆς δὲ συνόδου τὸ μὲν πλεῖστον τοῖς λεγομένοις ἐπείθετο καὶ τήν τε πρὸς ἀλλήλους ὁμόνοιαν τήν τε τῶν δογμάτων ὑγείαν ἠσπάζετο· ὀλίγοι δέ τινες, ὧν καὶ πρόσθεν ἐμνήσθην, 14
καὶ πρὸς ἐκείνοις Μηνόφαντος ὁ Ἐφέσιος καὶ ὁ Σκυθοπολίτης Πατρό-

5 oben S. 7, 18. 27, 12 — **8—21** vgl. Euseb. Vit. Const. III 11—12. Sozomen. I 19, 2—4 — **8** vgl. Th. Ioannes, Mnemeia Hagiologika S. 204, 24. Baronius Annal. a. 325, 55 — **26** oben S. 27, 8

* **3—9** Nicetas Thesaur. V 7 PG 139, 1367 B — **3—23** Mnemeia Hagiol. S. 204, 19 — **8—11** Georg. Mon. 504, 5 — **12**—S. 33, 5 Gelas. Cyzic. II 7 (am Ende) — **27**—S. 33, 13 Theophan. 22, 3. Polydeukes 280, 7

A HN (n) GS (s) DL + FV (v) = z T

1 *κεκάθικεν* ALV *κεκάθηκεν* nsDFT | nach *ἐπιτρέψαι* + *οἱ* DL *sibi* Cass. **2** *πᾶς* T | *ἐκεῖνος ὁ θεῖος* ∼ sDLFT, *sanctissimus ille* Cass. | **3** *πρῶτος* = Mnem. Cass. > DT | **5** *μεταβέβηκε* Lv | **6** *ἀντ' ἐκείνου ποιμαίνειν* ∼ nsz **6/7** *κατηνέγκασαν* T | **7** *ἅπας ὁ λεὼς* A | **9** nach *ἠμείψατο* + *μετὰ τοῦτον δὲ πάλιν εὐσέβιος ὦ ἐπίκλην παμφίλου* T* = Cass. | **9/10** *παυσαμένων δὲ τούτων* T* = Cass. | **26** *ὑγίειαν* LF | **27** nach *ἐκείνοις* + *μὲν* ANS

φιλος Θεογόνιός τε Νικαίας αὐτῆς ἐπίσκοπος ὢν καὶ ὁ Νερωνιάδος Νάρκισσος (Κιλικίας δὲ τῆς δευτέρας ἡ Νερωνιὰς ἐστι πόλις ἣν νῦν Εἰρηνούπολιν ὀνομάζομεν), καὶ μετὰ τούτων Θεωνᾶς ὁ Μαρμαρικῆς καὶ ὁ Πτολεμαΐδος τῆς Αἰγυπτίας Σεκοῦνδος τοῖς ἀποστολικοῖς ἀντέλεγον δόγμασιν, Ἀρείῳ συνηγοροῦντες. ὑπαγορεύσαντες δὲ καὶ πίστεως διδασκαλίαν ἐπέδοσαν τῷ κοινῷ· ἣν ἀναγνωσθεῖσαν εὐθέως διέρρηξαν ἅπαντες, νόθον καὶ κίβδηλον ὀνομάσαντες. θορύβου δὲ πλείστου κατ᾽ αὐτῶν γενομένου καὶ πάντων προδοσίαν αὐτῶν τῆς εὐσεβείας κατηγορούντων, δείσαντες ἐξανέστησαν καὶ πρῶτοι τὸν Ἄρειον ἀπεκήρυξαν, πλὴν Σεκούνδου καὶ Θεωνᾶ. οὕτω δὲ τοῦ δυσσεβοῦς ἐκποδὼν γενομένου, συμφώνως ἅπαντες τὴν μέχρι καὶ νῦν ἐν ταῖς ἐκκλησίαις πολιτευομένην πίστιν ὑπαγορεύσαντες καὶ ταῖς ὑπογραφαῖς βεβαιώσαντες διέλυσαν τὸ συνέδριον.

Ὑπούλως μέντοι καὶ οὐκ εἰλικρινῶς οἱ προρρηθέντες τῇδε τῇ πίστει συνέθεντο. καὶ μαρτυρεῖ τά τε ὕστερον παρ᾽ αὐτῶν τυρευθέντα κατὰ τῶν τῆς εὐσεβείας προμάχων καὶ τὰ παρ᾽ αὐτῶν ἐκείνων περὶ αὐτῶν συγγραφέντα. Εὐστάθιος μὲν γὰρ ἐκεῖνος ὁ τῆς Ἀντιοχέων ἐπίσκοπος, οὗ καὶ πρόσθεν ἐμνήσθην, ταῦτα περὶ αὐτῶν ἔγραψε, τά τε γεγενημένα διδάσκων καὶ τὴν βλασφημίαν ἐλέγχων καὶ τὴν παροιμιακὴν ἑρμηνεύων ῥῆσιν· »κύριος ἔκτισέ με ἀρχὴν ὁδῶν αὐτοῦ εἰς ἔργα αὐτοῦ«.

Ἔλεγχος τῶν Ἀρειανιζόντων ἐκ τῶν Εὐσταθίου τοῦ μεγάλου καὶ Ἀθανασίου συγγραμμάτων.

»Βαδιοῦμαι δὲ ἐντεῦθεν ἤδη καὶ ἐπὶ τὰ πεπραγμένα. τί οὖν; »ἐπειδὴ διὰ ταῦτα σύνοδος εἰς τὴν Νικαέων ἀφικνεῖται μεγίστη,

18 oben S. 32, 3 — **20** Prov. 8, 22

***4** —**10** Nicetas Thesaur. V 7 PG 139, 1368 B — **17**—S. 38, 1 Niceph. H. E. VIII 20—21 — **17**—S. 34, 24 Cass. II 6 [= T]

A HN(n) GS(s) DL + FV(v) = z T W [von **23** an]

1 *θεόγνιός τε* T *Theognius* Cass. Cod. L *Theogenius* Cod. P | *ὢν* ausradiert A | **3** nach *Θεωνᾶς* + *τε* A | *μαρμαρικῆς* TNic. Theophan. *Marmaricenus* Cass. *μαρμαρίτης* AnzGel. *μαρμαρίτη* s *τοῦ μαρμαρίτης* Cod. Polyd. | **4** *αἰγυπτίων* n | **6** *ἐπέδωκαν* AS | *εὐθὺς* T | **8** *πάντων* = Cass. Nicet. > A | **12** *πολιτευομένην ἐν ταῖς ἐκκλησίαις* ∾ sz | **14** nach *εἰλικρίνως* + *ὡς* s | *τῇδε* > TCass. | **16** *περὶ αὐτῶν* > TCass. | **17** *Εὐστάθιος*: *η̄* am Rand Lv | **18** *οὗ καὶ πρόσθεν ἐμνήσθην* vor *ὁ τῆς* ∾ s, Cass. wie im Text | *ἔγραψαν* T *τε* > sTCass. | **19** *ἑρμηνεύων* AnT *ἑρμηνεύει* Nic. *σαφηνίζων* sz | **20** *ῥῆσιν* szT Cass. Nic. *ῥῆσιν τὴν φάσκουσαν* An | *εἰσ ἔργα αὐτοῦ* am Rand Ac | **21** *Ἔλεγχος* — **22** *συγγραμμάτων* nur in AD *εὐσταθίου ἀντιοχείασ* Am | **23** *ἡ* am Rand Ans | *βαδιῶ* TW | *δὲ* > L

›διακοσίων μήτι γε καὶ ἑβδομήκοντα τὸν ἀριθμὸν ὁμόσε συναχθέντων
›(τὸ γὰρ σαφὲς διὰ τὸν τῆς πολυανδρίας ὄχλον οὐχ οἷός τέ εἰμι
›γράφειν, ἐπειδὴ μὴ πάντη τοῦτο περισπουδάστως ἀνίχνευον), ὡς δὲ
›ἐζητεῖτο τῆς πίστεως ὁ τρόπος, ἐναργὴς μὲν ἔλεγχος τὸ γράμμα τῆς
5 ›Εὐσεβίου προὐβάλλετο βλασφημίας. ἐπὶ πάντων δὲ ἀναγνωσθέν, 2
›αὐτίκα συμφορὰν μὲν ἀστάθμητον τῆς ἐκτροπῆς ἕνεκα τοῖς αὐτη-
›κόοις προὐξένει, αἰσχύνην δ' ἀνήκεστον τῷ γράψαντι παρεῖχεν.
›ἐπειδὴ δὲ τὸ ἐργαστήριον τῶν ἀμφὶ τὸν Εὐσέβιον σαφῶς ἑάλω, τοῦ 3
›παρανόμου γράμματος διαρραγέντος ὑπ' ὄψει πάντων ὁμοῦ, τινὲς
10 ›ἐκ συσκευῆς, τοὔνομα προβαλλόμενοι τῆς εἰρήνης, κατεσίγησαν μὲν
›ἅπαντας τοὺς ἄριστα λέγειν εἰωθότας. οἱ δ' Ἀρειομανῖται, δείσαντες
›μή πη ἄρα τοσαύτης ἐν ταὐτῷ συνόδου συγκεκροτημένης ἐξοστρακι-
›σθεῖεν, ἀναθεματίζουσι μὲν προπηδήσαντες τὸ ἀπηγορευμένον δόγμα,
›συμφώνοις γράμμασιν ὑπογράψαντες αὐτοχειρί. τῶν δὲ προεδριῶν 4
15 ›διὰ πλείστης ὅσης περιδρομῆς κρατήσαντες, δέον αὐτοὺς ὑπόπτωσιν
›λαμβάνειν, τοτὲ μὲν λεληθότως, τοτὲ δὲ προφανῶς τὰς ἀποψηφι-
›σθείσας πρεσβεύουσι δόξας, διαφόροις ἐπιβουλεύοντες τοῖς ἐλέγχοις.
›βουλόμενοι δὲ δὴ παγιῶσαι τὰ ζιζανιώδη φυτουργήματα, δεδοίκασι
›τοὺς ἐπιγνώμονας, ἐκκλίνουσι τοὺς ἐφόρους καὶ ταύτῃ τοὺς τῆς
20 ›εὐσεβείας κήρυκας ἐκπολεμοῦσιν. οὐχ οὕτως δὲ πιστεύομεν ὡς ἀν- 5
›θρώπους ἀθέους δύνασθαι κρατῆσαι πώποτε τοῦ θείου. κἂν γὰρ
›πάλιν ἰσχύσωσι, πάλιν ἡττηθήσονται, κατὰ τὸν σεμνόφωνον
›προφήτην Ἡσαΐαν.«

Ταῦτα μὲν οὖν ὁ μέγας Εὐστάθιος. ὁ δὲ τούτου συναγωνιστὴς 6
25 καὶ τῆς ἀληθείας πρόβολος Ἀθανάσιος, ὁ τῆς Ἀλεξάνδρου τοῦ πανευ-

21/22 Jes. 8, 9

* **24**—S. 37, 14 Cass. II 7 [= T]

A HN (n) GS (s) DL + FV (v) = z T W

1 *διακοσίων* — **3** *ἀνίχνευον* > T*Cass., wohl weil Theod. Lect. nachher die Liste der Nikän. Väter einschieben wird | **2** *τοὺς . . . ὄχλων* A *τοὺς . . . ὄχλους* W | **3** *πάντη, η* auf Rasur, A | *δὲ* = *et* Cass. > T | **5** *ἐπὶ πάντων δὲ* AnsW *ἐπὶ πάντων* T *ὃ ἐπὶ πάντων* z | **6** *μὲν* > L | *ἐκτοπῆσ* L | **9** *ἐπ' ὄψεσι* T | **11** *ἅπαντας*] *ἅπαντεσ τὰσ* T | nach *ἄριστα* + *μὲν* T | **12** *μή πη* Az *μή πωσ* T *μή τι* ns *μή ποτε* W | *κεκροτημένησ* DT | **13** *ἀναθεματίζουσι μὲν* = Cass.] *ἀπαγορεύουσι μὲν καὶ ἀναθεματίζουσι* n | **14** *αὐτοχειρία* szW | *προεδριῶν*] *προέδρων* nT *praesulibus* Cass. | **16** *τοτὲ δὲ*] *ποτὲ δὲ* T | **17** *διαφόρωσ* GLv | **19** vor *ἐκκλίνουσι* + *καὶ* nsz | **21** *πώποτε*] *ποτε* T | **22** *πάλιν*^{2} = Jes.] *καὶ πάλιν* nW | **24** *ὁ* übergeschrieben Ac | **25** *ἀληθειασ* = Cass.] *εὐσεβειασ* LVW | *ὁ* > nsv

φήμου προεδρίας διάδοχος, οἷς πρὸς τοὺς Ἄφρους ἐπιστέλλων γέγραφε καὶ ταῦτα προστέθεικε·

»Τῶν γὰρ συνελθόντων ἐπισκόπων βουλομένων τὰς μὲν παρὰ 7
τῶν Ἀρειανῶν ἐφευρεθείσας τῆς ἀσεβείας λέξεις ἀνελεῖν, τὸ ἐξ οὐκ
ὄντων καὶ τὸ λέγειν κτίσμα καὶ ποίημα τὸν υἱὸν καὶ τὸ ἦν ποτε
ὅτε οὐκ ἦν καὶ ὅτι τρεπτῆς ἐστι φύσεως, τὰς δὲ τῶν γραφῶν ὁμο-
λογουμένας γράψαι, ὅτι τε ἐκ τοῦ θεοῦ ὁ υἱὸς φύσει μονογενής ἐστι,
λόγος, δύναμις, σοφία μόνη τοῦ πατρός, »θεὸς ἀληθινός«, ὡς
εἶπεν ὁ Ἰωάννης, καὶ ὡς ἔγραψεν ὁ Παῦλος »ἀπαύγασμα τῆς
δόξης καὶ χαρακτὴρ τῆς τοῦ πατρὸς ὑποστάσεως«, οἱ περὶ
Εὐσέβιον ὑπὸ τῆς ἰδίας κακοδοξίας ἑλκόμενοι διελάλουν ἀλλήλοις·
»συνθώμεθα· καὶ γὰρ καὶ ἡμεῖς ἐκ τοῦ θεοῦ ἐσμεν· »εἷς γὰρ θεὸς 8
ἐξ οὗ τὰ πάντα«, καὶ »τὰ ἀρχαῖα παρῆλθεν, ἰδού, γέγονε τὰ
πάντα καινά. τὰ δὲ πάντα ἐκ τοῦ θεοῦ«. Ἐλογίζοντο δὲ καὶ
τὸ ἐν τῷ Ποιμένι γραφέν· »πρῶτον πάντων πίστευσον ὅτι εἷς
ἐστιν ὁ θεός, ὁ τὰ πάντα κτίσας καὶ καταρτίσας, καὶ ποιή- 9
σας ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι«. ἀλλ' οἱ ἐπίσκοποι, θεωρή-
σαντες τὴν κακουργίαν ἐκείνων καὶ τὴν τῆς ἀσεβείας κακοτεχνίαν,
λευκότερον εἰρήκασι τὸ ἐκ τοῦ θεοῦ καὶ ἔγραψαν ἐκ τῆς οὐσίας τοῦ
θεοῦ εἶναι τὸν υἱόν, ἵνα τὰ μὲν κτίσματα, διὰ τὸ μὴ ἀφ' ἑαυτῶν
χωρὶς αἰτίου εἶναι ἀλλ' ἀρχὴν ἔχειν τοῦ γίνεσθαι, λέγηται ἐκ τοῦ
θεοῦ, ὁ δὲ υἱὸς μόνος ἴδιος ἐκ τῆς τοῦ πατρὸς οὐσίας. τοῦτο γὰρ 10
ἴδιον μονογενοῦς καὶ ἀληθινοῦ λόγου τοῦ πατρός. καὶ περὶ μὲν τοῦ
γεγράφθαι ἐκ τῆς οὐσίας ἡ πρόφασις αὕτη.

3—S. 37, 14 Athanas. Epist. ad Afros 5—6 — **8** vgl. I Kor. 1, 24 — Joh. 17, 3 — **9 10** Hebr. 1, 3 — **12 13** I Kor. 8, 6 — **13/14** II Kor. 5, 17—18 — **15—17** Hermas, Mand. 1 — **22** Röm. 8, 32

A HN(n) GS(s) DL + FV(v) = z T W

1 *οἷς*] ὅσ Nsv | **3** *ἀθανασίον* Am | **5** *καὶ ποίημα* = Cass. Athan. > Lv | *τὸ*[2] > AAthan. | **6** *τὰς δὲ* = Athan] *τάσ τε* A | **9** *ὁ*[1] > ns | **10** *τοῦ πατρὸς* = Athan. > TCass. | **12** *ὁ θεὸς* s | **13/14** *τὰ πάντα καινά* ADVWAthan. Cod. Bas. Kor. *καινὰ τὰ πάντα* nsLF *καινά* TAthan. Cod. Par. | **15** *εἷς* = Cass. > T | **16** *καὶ καταρτίσας* = Athan. Herm. > A | **21** *χωρὶς αἰτίου εἶναι*] *χωρήσαι τὸ εἶναι* s | *χωρὶς* = Athan.] *ἢ χωρὶσ* n | *γίνεσθαι* AnGTW *γενέσθαι* SzAthan. | *λέγεται* T | **22** *ἴδιοσ* nGTAthan. *ἰδίωσ* (vielleicht aus *ἰδιοσ* A corr. Ac *proprius* Cass. *ἰδίωσ* SDv *ἀΐδιοσ* W > L | *ἐκ* AnszCass. > TWAthan. | **23** *λόγου* = Cass.] *γόνου* T | *τοῦ πρσ* A *πρσ* nszTW *πρὸς πατέρα* Athan.

»Πάλιν δὲ τῶν ἐπισκόπων ἐρωτώντων τοὺς δοκοῦντας ὀλίγους εἰ »λέγοιεν τὸν υἱὸν οὐ κτίσμα, ἀλλὰ δύναμιν σοφίαν τε μόνην τοῦ »πατρὸς καὶ εἰκόνα ἀΐδιόν τε καὶ ἀπαράλλακτον κατὰ πάντα τοῦ »πατρὸς καὶ θεὸν ἀληθινόν, κατελήφθησαν οἱ περὶ Εὐσέβιον δια- »νεύοντες ἀλλήλοις ὅτι· »καὶ ταῦτα φθάνει καὶ εἰς ἡμᾶς· καὶ γὰρ καὶ »ἡμεῖς »εἰκὼν καὶ δόξα θεοῦ« λεγόμεθα. καὶ περὶ ἡμῶν εἴρηται »»ἀεὶ γὰρ ἡμεῖς οἱ ζῶντες«· καὶ δυνάμεις πολλαί εἰσιν, καὶ **11** »»ἐξῆλθε μὲν πᾶσα ἡ δύναμις τοῦ θεοῦ ἐκ γῆς Αἰγύπτου«, »»ἡ δὲ κάμπη καὶ ἡ ἀκρὶς« λέγεται »δύναμις μεγάλη«, καὶ »»κύριος τῶν δυνάμεων μεθ' ἡμῶν, ἀντιλήπτωρ ἡμῶν ὁ »θεὸς Ἰακώβ«. ἀλλὰ καὶ τὸ ἰδίους ἡμᾶς εἶναι τοῦ θεοῦ ἔχομεν οὐχ »ἁπλῶς, ἀλλ' ὅτι καὶ ἀδελφοὺς ἡμᾶς ἐκάλεσεν. εἰ δὲ καὶ θεὸν **12** »ἀληθινὸν λέγουσι τὸν υἱόν, οὐ λυπεῖ ἡμᾶς· γενόμενος γὰρ ἀληθινός »ἐστιν«.

»Αὕτη τῶν Ἀρειανῶν ἡ διεφθαρμένη διάνοια. ἀλλὰ καὶ ἐν- »ταῦθα οἱ ἐπίσκοποι, θεωρήσαντες ἐκείνων τὸ δόλιον, συνήγαγον »ἐκ τῶν γραφῶν τὸ ἀπαύγασμα τήν τε πηγὴν καὶ ποταμὸν καὶ »χαρακτῆρα πρὸς τὴν ὑπόστασιν, καὶ τὸ »ἐν τῷ φωτί σου »ὀψόμεθα φῶς«, καὶ τὸ »ἐγὼ καὶ ὁ πατὴρ ἕν ἐσμεν«. καὶ λευκό- **13** »τερον λοιπὸν καὶ συντόμως ἔγραψαν ὁμοούσιον τῷ πατρὶ τὸν υἱόν. »τὰ γὰρ προειρημένα πάντα ταύτην ἔχει τὴν σημασίαν.

»Καὶ ὁ γογγυσμὸς δὲ αὐτῶν, ὅτι ἄγραφοί εἰσιν αἱ λέξεις, ἐλέγχεται **14** »παρ' αὐτῶν μάταιος· ἐξ ἀγράφων γὰρ ἀσεβήσαντες (ἄγραφα δὲ τὸ

2 3 I Kor. 1, 24. II Kor. 4, 4 — **4** Joh. 17, 3 — **6** I Kor. 11, 7 — **7** II Kor. 4, 11 — **8** Exod. 12, 41 — **9** Joel 2, 25 — **10/11** Psal. 45, 8 — **12** Matth. 12, 50. Mark. 3, 35 — **17—18** Hebr. 1, 3. Psal. 35, 10. 45, 5. 64, 10 — **18/19** Psal. 35, 10 — **19** Joh. 10, 30

A HN(n) GS(s) DL + FV(v) = z T W

1 nach *ὀλίγους* + *Ἀρειανοὺς* Steph., wohl nach Cass.: *qui Ariani esse putabantur* | **2** *τὸν υἱὸν — δύναμιν* = Cass. Athan.] *τὸν υἱὸν σοφίαν καὶ δύναμιν καὶ οὐ κτίσμα* n | *τε] καὶ* (vor *σοφίαν*) T *et* Cass. > nAthan. | **3** *τε καὶ* A *καὶ* TCass. > nszWAthan. | **7** *καὶ δυνάμεις* AnsTWAthan. *δυνάμεις δὲ* z | **7/8** *καὶ ἐξῆλθε μὲν* Az Cass. Athan. *καὶ ἐξῆλθεν* TW *ἐξῆλθε γάρ φησι* ns | **10** *ἀντιλήπτωρ — 11 Ἰακώβ* = Athan. > TCass. | **13** *ἀληθινός* AzTCass.WAthan. *ἀληθινὸς ἀληθινός* ns | **15** *ἡ τῶν Ἀρειανῶν* ∾ zW | *διεφθαρμένη* AnAthan. Cod. Par. *ἐφθαρμένη* szTWAthan. Cod. Bas. | **16** *ἐκείνων τὸ δόλιον* AHsTCass. Athan. *ἐκεῖνο τὸ δόλιον* NW *ἐκεῖνο τὸ λόγιον* z | **18** *πρὸς τὴν*] ob *πατρὸς* (*πρ̄ς*) *καὶ*? Jülicher | **19** *ὀψώμεθα* AGDFT, *videbimus* Cass. | **22** *δὲ* A^{c} | **23** *μάταιος* nszTCass. Athan. *ματαίως* AW | *δὲ* = Athan.] *γὰρ* T

»ἐξ οὐκ ὄντων καὶ τὸ ἦν ποτε ὅτε οὐκ ἦν), αἰτιῶνται διότι ἐξ »ἀγράφων μετ᾽ εὐσεβείας νοουμένων λέξεων κατεκρίθησαν. αὐτοὶ μὲν »γὰρ ὡς ἐκ κοπρίας εὑρόντες ἐλάλησαν ἀληθῶς ἀπὸ γῆς, οἱ δὲ ἐπί- »σκοποι, οὐχ ἑαυτοῖς εὑρόντες τὰς λέξεις ἀλλ᾽ ἐκ τῶν πατέρων ἔχον- »τες τὴν μαρτυρίαν, οὕτως ἔγραψαν. ἐπίσκοποι γὰρ ἀρχαῖοι, πρὸ ἐτῶν 15
»ἐγγύς που ἑκατὸν τριάκοντα, τῆς τε μεγάλης Ῥώμης καὶ τῆς »ἡμετέρας πόλεως, ἠτιάσαντο τοὺς ποίημα λέγοντας τὸν υἱὸν καὶ μὴ »ὁμοούσιον τῷ πατρί. καὶ τοῦτο ἐγίνωσκεν Εὐσέβιος ὁ γενόμενος »ἐπίσκοπος τῆς Καισαρείας, πρότερον μὲν συντρέχων τῇ Ἀρειανῇ »αἱρέσει, ὕστερον δὲ ὑπογράψας τῇ ἐν Νικαίᾳ συνόδῳ· ἔγραψε καὶ 16
»τοῖς ἰδίοις διαβεβαιούμενος ὅτι καὶ τῶν παλαιῶν τινας λογίους »καὶ ἐπιφανεῖς ἐπισκόπους καὶ συγγραφέας ἔγνωμεν ἐπὶ τῆς τοῦ »πατρὸς καὶ τοῦ υἱοῦ θεότητος τῷ τοῦ ὁμοουσίου χρησαμένους ὀνό- »ματι.«

Οὗτοι μὲν οὖν κατακρύψαντες τὴν νόσον (ἔδεισαν γὰρ τῶν ἐπι- 17
σκόπων τὸ πλῆθος) τοῖς ἐκτεθεῖσι συνέθεντο, τὴν προφητικὴν κατη- γορίαν ἐπισπασάμενοι. βοᾷ γὰρ καὶ πρὸς αὐτοὺς ὁ τῶν ὅλων θεός· »ὁ λαὸς οὗτος τοῖς χείλεσί με τιμᾷ, ἡ δὲ καρδία αὐτῶν πόρρω ἀπέχει ἀπ᾽ ἐμοῦ«. Θεωνᾶς δὲ καὶ Σεκοῦνδος, τοῦτο δρᾶσαι 18
μὴ βουληθέντες, παρὰ πάντων συμφώνως ἀπεκηρύχθησαν, ὡς τὴν

3 Joh. 3, 31. vgl. Jes. 8, 19. Luk. 14, 35 — **5—8** Athanas. De synodis 43—44. De sent. Dionysii 18 — **11—14** s. S. 52, 19 — **18/19** Matth. 15, 8. Jes. 29, 13

* **15**—S. 38, 3 Cass. II 7

A HN (n) GS (s) DL + FV (v) = z T [bis **14**] W

1 *αἰτιῶνται* = Cass. Athan. > z | *διότι* AT *ὅτι* Athan. *διότι τοῦτο* S *διὰ τοῦτο* HGzW *διὰ τοῦ* N *propterea* Cass. | **2** *ἀγράφων* = Cass. Athan.] *ἐγγράφων* n | *νοουμένων* = Athan.] *ἐννοουμένων* ns | **3** *εὑρόντες* AnsDTWLm *reperientes* Cass. Codd. LP *ὄντες* Lv Athan. | **4** *εὑρόντες* = Athan.] *εὑρηκότες* T *adinvenientes* Cass. | *τὰς λέξεις* = Cass. Athan. > s | **5** *ἀρχαῖοι* szT Cass. W Athan. *ἦσαν ἀρχαῖοι* An | *πρὸ ἐτῶν* ATW Athan. *πρὸ αὐτῶν* nsz *ante eos* Cass. | **5/6** *σημ. ὅτι καὶ πρὸ τοῦ γενέσθαι τὴν ἐν νικαίᾳ σύνοδον, ὁ μονογενὴς ῡς̄ καὶ λόγος τοῦ θεοῦ ὁμοούσιος τῷ πρι παρὰ τοῖς ἀρχαιοτέροις ἐπισκόποις ἐδογματίζετο* am Rand A | **6** *τε* ATW > nsz Cass. Athan. | **7** *πόλεως* szT Cass. W Athan. Cod. Bas. *πόλεως οἱ* An *πόλεως γράφοντες* Athan. Cod. Par. | **9** *Ἀρειανῇ* = Athan.] *ἀρειανικῇ* z | **10** *τῇ* AnT = Cass. *ἐν αὐτῇ τῇ* szW Athan. | *καὶ* A *δὲ καὶ* T Cass. *δὲ* L > nsDvW Athan. | **11** *ἰδίοις* ASTW Athan. *οἰκείοις* nGz | **12** *συγγρα- φεῖς* T | *ἔγνωμεν* szW Athan. *agnovisset* Cass. *εὕρομεν* AnT, s. S. 52, 20 | **13** *τοῦ*[1] A^s > sz Athan. | **18** *ἡ δὲ καρδία αὐτῶν* A Cass. Matth. Jes *τῇ δὲ καρδίᾳ* nszW

Ἀρείου βλασφημίαν τῆς εὐαγγελικῆς προτετιμηκότες διδασκαλίας. Αὖθις δὲ συνελθόντες εἰς τὸ συνέδριον περὶ τῆς ἐκκλησιαστικῆς πολιτείας νόμους ἔγραψαν εἴκοσι.

Ἐπειδὴ δὲ καὶ Μελίτιος τῆς ἐπισκοπικῆς χειροτονίας ἠξιωμένος 9
οὐ πρὸ πολλοῦ τῆς Ἀρείου μανίας, εἶτα ἐπί τισι παρανομίαις διελεγχθεὶς ὑπὸ τοῦ θειοτάτου Πέτρου τοῦ τῆς Ἀλεξανδρέων ἐπισκόπου, ὃς καὶ τοῦ μαρτυρίου τὸν στέφανον ἀνεδήσατο, καθηρέθη μέν, οὐκ ἔστερξε δὲ τὴν τῆς καθαιρέσεως ψῆφον τήν τε Θηβαΐδα καὶ τὴν πελάζουσαν Αἴγυπτον θορύβου καὶ ζάλης ἐνεπίμπλα, τυραννίδι κατὰ τῆς Ἀλεξάνδρου χρώμενος προεδρίας, ἔγραψαν πρὸς τὴν Ἀλεξανδρέων ἐκκλησίαν ἃ περὶ τῆς τούτου νεωτεροποιΐας ἐνομοθέτησαν. ἔστι δὲ ταῦτα·

»Συνοδικὴ ἐπιστολή. τῇ ἁγίᾳ καὶ μεγάλῃ, χάριτι τοῦ θεοῦ, Ἀλε- 2
»ξανδρέων ἐκκλησίᾳ καὶ τοῖς κατὰ τὴν Αἴγυπτον καὶ Λιβύην καὶ
»Πεντάπολιν ἀγαπητοῖς ἀδελφοῖς, οἱ ἐν Νικαίᾳ συναχθέντες καὶ τὴν
»μεγάλην καὶ ἁγίαν σύνοδον συγκροτήσαντες ἐπίσκοποι ἐν κυρίῳ
»χαίρειν.

»Ἐπειδὴ τῆς τοῦ θεοῦ χάριτος καὶ τοῦ θεοφιλεστάτου βασιλέως 3
»Κωνσταντίνου συναγαγόντος ἡμᾶς ἐκ διαφόρων ἐπαρχιῶν καὶ πόλεων
»ἡ μεγάλη καὶ ἁγία σύνοδος ἐν Νικαίᾳ συνεκροτήθη, ἐξ ἁπάσης τῆς
»ἱερᾶς συνόδου ἀναγκαῖον ἐφάνη καὶ πρὸς ὑμᾶς ἀποσταλῆναι γράμματα,
»ἵν' εἰδέναι ἔχοιτε τίνα μὲν ἐκινήθη καὶ ἐξητάσθη, τίνα δὲ ἔδοξε καὶ

4—**8** vgl. Theodoret. Haeret. Fabul. IV 7 PG 83, 425. Athanas. Apol. c. Arian. 59. Socrat. I 6, 37—38 — **13**—S. 42, 1 in Athanas. Handschriften Parisinus 474 Scorialensis Ω III 15 Basileensis 32 (ihre Übereinstimmung = Ω). Socrat. I 9, 1—14 [= T, Cass. II 12 Niceph. H. E. VIII 24]. Gelas. Cyzic. II 33 — **13**—S. 41, 9 lateinisch S. Leonis opera III 587 f (= *A*)

* **4—11** Gelas. Cyzic. II 33

A HN (n) GS (s) DL + FV (v) = z W [bis **1** *διδασκαλίας*]

1 *προτετιμηκότες* A *προτεθεικότες* nszW | **2** *εἰς* > v | **4** ϑ̄ am Rand Az | *μελίτιος* ALV Gel. *μελέτιος* nsDF | *τῆς*] *τισ* Dv Gel. | **8** *τὴν — ψῆφον* = Gel.] *τὴν καθαίρεσιν ὡσ ψῆφον* s | **9** *ἐνεμπίμπλα* S *ἐνεπίπλα* HD *ἐνεμπίπλα* A | *τυραννίδα* v | **10** *Ἀλεξάνδρου*] *ἀλεξανδρέων* nD | **11** ἃ übergeschrieben Ac **13** *ἐπιστολὴ συνοδική* ∾ s *συνοδικαὶ ἐπιστολαί* Lm > HV | **20 21** *ἐξ ἁπάσης τῆς ἱερᾶς συνόδου ἀναγκαῖον ἐφάνη Π ἐξ ἅπαντος ἀναγκαῖον ἐφάνη παρὰ τῆς ἱερᾶς συνόδου* Ω Socr. *A*

»ἐκρατύνθη. πρῶτον μὲν ἐξητάσθη τὰ κατὰ τὴν ἀσέβειαν Ἀρείου ἐπὶ 4
»τοῦ θεοφιλεστάτου βασιλέως ἡμῶν Κωνσταντίνου, καὶ παμψηφὶ
»ἔδοξεν ἀναθεματισθῆναι τὴν ἀσεβῆ αὐτοῦ δόξαν καὶ τὰ ῥήματα καὶ
»τὰ νοήματα αὐτοῦ τὰ βλάσφημα οἷς ἐχρῆτο βλασφημῶν τὸν υἱὸν τοῦ
5 »θεοῦ, λέγων ἐξ οὐκ ὄντων εἶναι καὶ πρὶν γεννηθῆναι μὴ εἶναι καὶ
»εἶναί ποτε ὅτε οὐκ ἦν, καὶ αὐτεξουσιότητι κακίας καὶ ἀρετῆς δεκτι-
»κὸν τὸν υἱὸν τοῦ θεοῦ. ταῦτα πάντα ἀνεθεμάτισεν ἡ ἁγία σύνοδος. 5
»οὐδὲ ὅσον ἀκοῦσαι τῆς ἀσεβοῦς δόξης καὶ τῆς ἀπονοίας καὶ τῶν
»βλασφήμων ῥημάτων ἀνασχομένη. καὶ τὰ μὲν κατ' ἐκεῖνον οἵου
10 »τέλους τετύχηκεν ἢ ἀκηκόατε ἢ ἀκούσεσθε, ἵνα μὴ δόξωμεν ἐπεμ-
»βαίνειν ἀνδρὶ δι' οἰκείαν ἁμαρτίαν ἄξια τὰ ἐπίχειρα κομισαμένῳ.
»τοσοῦτον δὲ ἴσχυσεν αὐτοῦ ἡ ἀσέβεια ὡς καὶ παραπολαῦσαι Θεωνᾶν 6
»τὸν ἀπὸ Μαρμαρικῆς καὶ Σεκοῦνδον τὸν ἀπὸ Πτολεμαΐδος· τῶν γὰρ
»αὐτῶν κἀκεῖνοι τετυχήκασιν.
15 »Ἀλλ' ἐπειδὴ ἡ τοῦ θεοῦ χάρις τῆς μὲν κακοδοξίας ἐκείνης καὶ
»τῆς βλασφημίας καὶ τῶν προσώπων τῶν τολμησάντων διάστασιν
»καὶ διαίρεσιν ποιήσασθαι τοῦ εἰρηνευομένου ἄνωθεν λαοῦ ἠλευθέ-
»ρωσε τὴν Αἴγυπτον, ἐλείπετο δὲ τὰ κατὰ τὴν προπέτειαν Μελιτίου
»καὶ τῶν ὑπ' αὐτοῦ χειροτονηθέντων, καὶ περὶ τούτου τὰ δόξαντα
20 »τῇ συνόδῳ ἐμφανίζομεν ὑμῖν. ἀγαπητοὶ ἀδελφοί. ἔδοξε μὲν οὖν 7

20—S. 41, 5 vgl. Sozomen. I 24

A HN (n) GS (s) DL + FV (v) = z

1 *πρῶτον μὲν ΠΛ πρῶτον μὲν οὖν ἁπάντων* Ω Socr. (Cod. T) Gel. | *ἀσέβειαν ἀρείου Π ἀσέβειαν καὶ τὴν (τὴν* > Gel. Socr. Cod. T) *παρανομίαν ἀρείου καὶ τῶν σὺν αὐτῷ* Ω Socr. Gel. *Λ* | *ἐπὶ Π ὑπὸ (ἐπὶ* Gel.) *παρουσία* Ω Socr. (Cod. T) Gel. *Λ* | **2** *βασιλέως ἡμῶν* nsDv Socr. Codd. AT *ἡμῶν βασιλέως* A Gel. *βασιλέως* LΩΛ | **4** *νοήματα Π* Socr. (Cod. A) Gel. *Λ ὀνόματα* Ω Socr. | **5** *λέγων* = Ω Socr. Gel. *Λ* > A | **6 7** *δεκτικὸν* = Ω Socr. Gel.] *δεκτικὸν εἶναι* A Socr. Cod. A | **7** nach *θεοῦ* + *λέγοντος καὶ κτίσμα ὀνομάζοντος καὶ ποίημα* Ω Socr. Cod. T + *λέγοντος καὶ κτίσμα* Gel. + *asserens creaturam esse et facturam Λ*; Lücke in Theodorets Urtext? | *ταῦτα πάντα* = Gel. *Λ*] *ταῦτα δὲ πάντα* A *ἅπαντα* Ω Socr. Cod. C *ἅπαντα ταῦτα* Socr. (*ἃ πάντα* Cod. T *haec igitur omnia* Cass.) | **10** *ἢ*[1] *Π πάντως ἢ* Ω Socr. Gel. *forsitan Λ* | **11** *ἁμαρτίαν* auf Rasur und *ἄξια* am Rand Ac | **12** *παραπολαῦσαι ΠΩ* Socr. Cod. Λ *παραπολέσαι* Gel. Socr. Codd. FCM Nic. *παραπολέσθαι* Cod. T, aber *ut . . . potirentur* Cass. Cod. L (*uterentur* Cod. P), *ut etiam cum eo poteretur Λ*, s. S. 31, 8 | **16 17** *διάστασιν καὶ διαίρεσιν* = Ω Socr. Gel.] *διαίρεσιν καὶ διάστασιν* A | **18** *τὰ Π τὸ* Ω Socr. Gel. | *μελιτίου* hier und S. 41, 2 und *μελίτιον* S. 40, 1 ALVΩ Socr. Gel. *μελετίου* und *μελέτιον* nsDF | **19** *τὰ περὶ τούτου* ∽ A | *τὰ δόξαντα Π τοῦ μέρους ἃ ἔδοξε* Ω Gel. Socr. (aber *ὃ τὰ δόξαντα* Socr. Cod. A) *quae statuta sunt Λ* | **20**—S. 40, 1 *μὲν* nach *Μελίτιον* ∽ Ω Socr. Gel. *Λ*

»Μελίτιον, φιλανθρωπότερον κινηθείσης τῆς συνόδου (κατὰ γὰρ τὸν »ἀκριβῆ λόγον οὐδεμιᾶς συγγνώμης ἄξιος ἦν), μένειν ἐν τῇ πόλει »ἑαυτοῦ καὶ μηδεμίαν ἐξουσίαν ἔχειν μήτε προχειρίζεσθαι μήτε χειρο»θετεῖν μήτε ἐν χώρᾳ ἢ πόλει τινὶ φαίνεσθαι ταύτης τῆς προθέσεως »ἕνεκεν, ψιλὸν δὲ τὸ ὄνομα τῆς τιμῆς κεκτῆσθαι· τοὺς δὲ ὑπ' αὐτοῦ »κατασταθέντας, μυστικωτέρᾳ χειροτονίᾳ βεβαιωθέντας, κοινωνηθῆναι »ἐπὶ τούτοις ἐφ' ᾧ τε ἔχειν μὲν αὐτοὺς καὶ λειτουργεῖν, δευτέρους δὲ »εἶναι ἐξ ἅπαντος τῶν ἐν ἑκάστῃ παροικίᾳ καὶ ἐκκλησίᾳ ἐξεταζομένων »ὑπὸ τὸν τιμιώτατον καὶ συλλειτουργὸν ἡμῶν Ἀλέξανδρον προκεχει»ροτονημένων· ὡς τούτοις μὲν μηδεμίαν ἐξουσίαν εἶναι τοὺς ἀρεσκο»μένους αὐτοῖς προχειρίζεσθαι ἢ ὑποβάλλειν ὄνομα ἢ ὅλως ποιεῖν τι »χωρὶς τῆς γνώμης τοῦ τῆς καθολικῆς καὶ ἀποστολικῆς ἐκκλησίας »ἐπισκόπου τῶν ὑπὸ Ἀλέξανδρον· τοὺς δὲ χάριτι θεοῦ καὶ εὐχαῖς 8
»ὑμετέραις ἐν μηδενὶ σχίσματι εὑρεθέντας, ἀλλ' ἀκηλιδώτους ἐν τῇ »καθολικῇ καὶ ἀποστολικῇ ἐκκλησίᾳ ὄντας, ἐξουσίαν ἔχειν καὶ προ»χειρίζεσθαι καὶ ὄνομα ἐπιλέγεσθαι τῶν ἀξίων τοῦ κλήρου καὶ ὅλως »πάντα ποιεῖν κατὰ νόμον καὶ θεσμὸν τὸν ἐκκλησιαστικόν. εἰ δέ 9
»τινα συμβαίη ἀναπαύσασθαι τῶν ἐν τῇ ἐκκλησίᾳ, τηνικαῦτα συνα»ναβαίνειν εἰς τὴν τιμὴν τοῦ τετελευτηκότος τοὺς ἄρτι προσλη»φθέντας, μόνον εἰ ἄξιοι φαίνοιντο καὶ ὁ λαὸς αἱροῖτο, συνεπιψηφί»ζοντος αὐτοῖς καὶ ἐπισφραγίζοντος τοῦ τῆς καθολικῆς Ἀλεξανδρείας

A HN(n) GS(s) DL+FV(v) = z

1 *συνόδου* = ΩSocr. Gel.] *ἁγίας συνόδου* n*Λ* | **2** *ἦν ἄξιος* ~ + *μελέτιον φαμὲν* n, ΩSocr. Gel. *Λ* wie im Text | **3** *αὐτοῦ* n | *μήτε*[2] = ΩSocr. Gel.] *μήτε δὲ* Lv | **3/4** *χειροθετεῖν* = ΩSocr.] *χειροτονεῖν* ASocr. Cod. A | **4** *πόλει τινὶ Π aliqua civitate Λ πόλει ἑτέρᾳ* ΩSocr. Gel. | *προθέσεως Π προφάσεως* ΩSocr. Gel., *huius rei causa Λ* | **7** *ἔχειν μὲν αὐτοὺς Π* = *Λ* (Cod. Veron.): *ut teneant quidem (et ministrent) ἔχειν μὲν αὐτοὺς τὴν τιμὴν* ΩSocr. Gel., und so gewiß im Urtext | **8** *τῶν Π πάντων τῶν* ΩSocr. Gel. *Λ* | **9** *ὑπὸ Π τῶν ὑπὸ* ΩSocr. Gel. | **9/10** *προκεχειροτονημένων Π*Socr. Cod. A *προκεχειρισμένων* ΩSocr. Gel. | **10/11** *ἀρεσκομένους Π*Socr. Cod. A *ἀρέσκοντας* ΩSocr. Gel. | **11 u. 16** *ὀνόματα* ΩSocr. Gel. | *ποι//εῖν* A | **12** *τοῦ* u. **13** *ἐπισκόπου* DLFΩSocr. *Λ τοῦ — ἐπισκόπου* in *τῶν — ἐπισκόπων* corr. V *τῶν — ἐπισκόπων* Ans Gel. Socr. Cod. A | **13** vor *τῶν ὑπὸ* interpungiert vor Corr. V = *Λ*: *qui vero sub Alexandro sunt,* nach *Ἀλέξανδρον* interpung. ΩSocr. Gel. | *ἀλεξάνδρου* F | *τοὺς δὲ* HSDL Gel. Socr. (*τοὺς γὰρ* Socr. Cod. T und Cass.) *τοὺς* ANGv (aus *τοῦ* corr. V) Ω | *καὶ* > V | **14** *σχήματι* sv | **17** *τὸν* As | **18** *τινα συμβαίη* AnGΩGel. Socr. Cod. T und Cass. *τινας συμβαίη* SSocr. *Λ συμβαίη τινὰ* L *συμβαίη τινά ποτε* Dv *ποτε* am Rand Ac | **18/19** *συναναβαίνειν Π προσαναβαίνειν* Scor. Par. Socr. Gel. *ἀναβαίνειν* Bas. *accedere Λ* | **21** *αὐτοῖς Π αὐτῷ* ΩSocr. Gel.

»ἐπισκόπου. τοῦτο δὲ τοῖς μὲν ἄλλοις ἅπασι συνεχωρήθη· ἐπὶ δὲ τοῦ 10
»Μελιτίου προσώπου οὐκέτι ταῦτα ἔδοξε διὰ τὴν ἀνέκαθεν αὐτοῦ
»ἀταξίαν καὶ διὰ τὸ πρόχειρον καὶ προπετὲς τῆς γνώμης, ἵνα μηδεμία
»ἐξουσία αὐθεντίας αὐτῷ δοθῇ, ἀνθρώπῳ δυναμένῳ πάλιν τὰς αὐτὰς
»ἀταξίας ποιῆσαι. ταῦτά ἐστι τὰ ἐξαίρετα καὶ διαφέροντα Αἰγύπτῳ 11
»καὶ τῇ ἁγιωτάτῃ ἐκκλησίᾳ Ἀλεξανδρείας. εἰ δέ τι ἄλλο ἐκανονίσθη
»ἢ ἐδογματίσθη, συμπαρόντος τοῦ κυρίου καὶ τιμιωτάτου [καὶ] συλλει-
»τουργοῦ καὶ ἀδελφοῦ ἡμῶν Ἀλεξάνδρου, αὐτὸς παρὼν ἀνοίσει, ἅτε
»δὴ καὶ κύριος καὶ κοινωνὸς τῶν γεγενημένων τυγχάνων.

»Εὐαγγελιζόμεθα δὲ ὑμᾶς καὶ περὶ τῆς συμφωνίας τοῦ ἁγιωτάτου 12
»ἡμῶν Πάσχα, ὅτι ταῖς ὑμετέραις εὐχαῖς κατωρθώθη καὶ τοῦτο τὸ
»μέρος ὥστε πάντας τοὺς τῆς Ἑῴας ἀδελφούς, τοὺς τὸ πρότερον μὴ
»ποιοῦντας σύμφωνα Ῥωμαίοις καὶ ὑμῖν καὶ πᾶσι τοῖς ἐξ ἀρχῆς φυ-
»λάττουσι τὸ Πάσχα, ἐκ τοῦ δεῦρο μεθ' ὑμῶν ἄγειν. χαίροντες οὖν 13
»ἐπὶ τοῖς κατορθώμασι καὶ ἐπὶ τῇ κοινῇ εἰρήνῃ καὶ συμφωνίᾳ καὶ ἐπὶ
»τῷ πᾶσαν αἵρεσιν ἐκκοπῆναι, ἀποδέξασθε μετὰ μείζονος τιμῆς καὶ
»πλείονος ἀγάπης τὸν συλλειτουργὸν ἡμῶν, ἐπίσκοπον δὲ ὑμῶν Ἀλέ-
»ξανδρον, τὸν εὐφράναντα ἡμᾶς τῇ παρουσίᾳ καὶ ἐν ταύτῃ τῇ ἡλικίᾳ
»τοσοῦτον πόνον ὑποστάντα ὑπὲρ τοῦ εἰρηνεῦσαι τὰ παρ' ὑμῖν.
»εὔχεσθε δὲ καὶ ὑπὲρ ἡμῶν ἁπάντων, ἵνα τὰ καλῶς ἔχειν δόξαντα
»βέβαια μένοι διὰ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, κατ' εὐδοκίαν
»γεγενημένα, ὥς γε πεπιστεύκαμεν, τοῦ θεοῦ καὶ πατρὸς ἐν πνεύματι

* **20**—S. 42, 2 Cass. II 12

A HN (n) GS (s) DL + FV (v) = z

2 *ταῦτα Π τὰ αὐτὰ* ΩSocr. Gel. > *Λ* | **4** *αὐθεντίας Π = auctoritatis Λ ἢ αὐθεντία* ΩSocr. Gel. | **5** *ποιῆσαι Π*Par. Bas. *ἐμποιῆσαι* Scor. Socr. Gel. | *τῷ αἰγύπτῳ* L | **7** *κυρίου* = ΩSocr. Gel.] *κυρίου μου* SLv *κυρίου ἡμῶν* G | *καὶ*[2] > HΩSocr. Gel. | **8** *ἀνοίσει ΠΛ ἀκριβέστερον ἀνοίσει* (+ *ταῦτα* Gel.) *πρὸς ὑμᾶς* ΩSocr. Gel. | **11** *ἡμῶν Π*Socr. Cod. A > ΩSocr. Gel. | *ταῖς* > nΩSocr. Gel. | **12** *ὥστε* = ΩSocr. Gel.] *ὡς* Sv | *τῇσ ἑώασ Π ἐν τῇ ἑῴα* ΩSocr. Gel. | *τοὺσ τὸ* — **13** *ἐξ ἀρχῆσ Π τοὺσ μετὰ τῶν ἰουδαίων τὸ* (*τὸ* > Cod. T) *πρότερον ποιοῦντασ, συμφώνουσ ῥωμαίοισ καὶ ὑμῖν καὶ πᾶσιν ἡμῖν τοῖσ ἐξ ἀρχαίου μεθ' ὑμῶν* Ω Gel. Socr. Cod. T | *τοὺς τὸ*] *τοῦτο* s *τούσ τε* v | *μὴ* > Dsv | **14** *μεθ' ὑμῶν Π μεθ' ἡμῶν* Socr. Cod. A > ΩSocr. Gel. | **16** vor *μετὰ* + *μὲν* ΩSocr. Gel. | **17** *ὑμῶν δὲ ἐπίσκοπον* ~ ΩSocr. Gel. | **19** *εἰρηνεῦσαι τὰ Π εἰρήνην γενέσθαι καὶ* (*καὶ* > Scor. Gel.) ΩSocr. Gel. | **20** *ὑπὲρ* AnDL Socr. *περὶ* svΩGel. Socr. Cod. T | **21** *μείνοι* A | **21**—S. 42, 2 ziemlich verschiedene Schlüsse bei ΩGel. und bei Socr.

»ἁγίῳ· ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν. ἡ τριὰς ὁμο»ούσιος καὶ ἀΐδιος.«

Ὁ μὲν δὴ θεῖος ἐκεῖνος τῶν ἀρχιερέων ὅμιλος ταύτην τῇ νόσῳ 14
Μελιτίου τὴν θεραπείαν προσήνεγκε. μεμένηκε δὲ ὅμως μέχρι καὶ
τήμερον τῆς ἐκείνου παραπληξίας τὰ λείψανα· καὶ ἔστιν ἐν ἐκείνοις
γε τοῖς χωρίοις μοναχῶν τινων συστήματα οὔτε τοῖς ὑγιαίνουσι πει-
θόμενα δόγμασι καὶ κατὰ τὴν πολιτείαν κενοῖς τισιν ἐπιτηδεύμασι
κεχρημένα, τῇ Σαμαρειτῶν καὶ Ἰουδαίων φρενοβλαβείᾳ συμβαίνοντα.
Ἐπέστειλε δὲ καὶ βασιλεὺς ὁ μέγας, τοὺς ἀφικέσθαι μὴ δυνηθέν-
τας τῶν ἐπισκόπων τὰ πεπραγμένα διδάσκων· καὶ προὔργον νενόμικα
καὶ ταύτην ἐνθεῖναι τῇ συγγραφῇ τὴν ἐπιστολήν, τῆς τοῦ γεγραφότος
ψυχῆς τὸ θεοφιλὲς σαφῶς ἐκδιδάσκουσαν.

»Κωνσταντῖνος Σεβαστὸς ταῖς ἐκκλησίαις. 10

»Πεῖραν λαβὼν ἐκ τῆς τῶν κοινῶν εὐπραξίας ὅση τῆς θείας δυνά-
»μεως πέφυκε χάρις, τοῦτον πρὸ πάντων ἔκρινα εἶναί μοι προσήκειν
»σκοπόν, ὅπως παρὰ τοῖς μακαριωτάτοις τῆς καθολικῆς ἐκκλησίας
»πλήθεσι πίστις μία καὶ εἰλικρινὴς ἀγάπη ὁμογνώμων τε περὶ τὸν
»παγκρατῆ θεὸν εὐσέβεια τηρῆται. ἀλλ᾽ ἐπειδὴ τοῦτο ἑτέρως οὐχ 2
»οἷόν τε ἦν ἀκλινῆ καὶ βεβαίαν τάξιν λαβεῖν, εἰ μή, εἰς ταὐτὸν πάν-
»των ὁμοῦ ἢ τῶν γοῦν πλειόνων ἐπισκόπων συνελθόντων, ἑκάστου
»τῶν προσηκόντων τῇ ἁγιωτάτῃ θρησκείᾳ διάκρισις γένοιτο, τούτου
»ἕνεκεν πλείστων ὅσων συναθροισθέντων (καὶ αὐτὸς δὲ καθάπερ εἷς

4—8 vgl. Theodoret. Haeret. Fabul. IV 7 PG 83, 425 B — **13**—S. 46, 10 bei Euseb. Vit. Const. III 17—20. Socrat. I 9, 31—46

* **13**—S. 47, 3 Gelas. Cyzic. II 36

A HN (n) GS (s) DL + FV (v) = z T [von **5** *καὶ* an]

1 *τῶν αἰώνων ἀμήν* > n | *ἡ τριὰς* — **2** *ἀΐδιος Π* = Cass. > *Ω*Socr. Gel. | **3** *ταύτη* AN | **4** *μελετίου* n *τῇ ἐκείνου* Dsv | *καὶ* > A | **6** *τινὰ* ns | **7** *κενοῖς* Anv *καινοῖς* sLT *καὶ ἐν οἷς* D, vgl. *τὰ καταγέλαστα* Haeret. Fabul. | **9** *δὲ καὶ* > T | **10** *διδάσκων· καὶ προὔργον*] *γινώσκειν· πρέπον γοῦν* T | **13** *τ̄* am Rand HSS | **14** *ὅση*] *ὅσοι* T | **15** *χάρις* = Gel. Eus. Socr.] *ἡ χάρις* SDLT | *τοῦτον πρὸ* nsDL Socr. Cod. M *τοῦτον τε πρὸ* ATSocr. Codd. FC *τούτων τε πρὸ* v *τοῦτον καὶ πρὸ* Gel. *τοῦτον πρό γε* Eus., ob *τοῦτόν γε πρὸ* zu lesen? | **18** *ἑτέρωσ Π* Gel. Socr. > Eus. | **20** *ἢ τῶν γοῦν* (*τῶν γοῦν* auf Rasur A) = Eus. Socr.] *ἤγουν τῶν* nGel. | *ἑκάστου* = Gel. Eus. Socr.] *ἑκάστου τε* An | **21** *θρησκείᾳ* = Gel. Eus. Socr.] *ἐκκλησία* TEus. Cod. V

»ἐξ ὑμῶν τυγχάνων συμπαρών, οὐ γὰρ ἀρνησαίμην ἄν, ἐφ᾽ ᾧ μάλιστα »χαίρω, συνθεράπων ὑμέτερος πεφυκέναι), ἄχρι τοσούτου ἅπαντα τῆς »προσηκούσης τετύχηκεν ἐξετάσεως, ἄχρις οὗ ἡ τῷ πάντων ἐφόρῳ »θεῷ ἀρέσκουσα γνώμη πρὸς τὴν τῆς ἑνότητος συμφωνίαν εἰς φῶς »προήχθη, ὡς μηδὲν ἔτι πρὸς διχόνοιαν ἢ πίστεως ἀμφισβήτησιν »ὑπολείπεσθαι.

»Ἔνθα καὶ περὶ τῆς ἁγιωτάτης τοῦ Πάσχα ἡμέρας γενομένης 3 »ζητήσεως, ἔδοξε κοινῇ γνώμῃ καλῶς ἔχειν ἐπὶ μιᾶς ἡμέρας πάντας »τοὺς ἁπανταχοῦ ἐπιτελεῖν. Τί γὰρ ἡμῖν κάλλιον, τί δὲ σεμνότερον »ὑπάρξαι δυνήσεται τοῦ τὴν ἑορτὴν ταύτην, παρ᾽ ἧς τὴν τῆς ἀθα- »νασίας εἰλήφαμεν ἐλπίδα, μιᾷ τάξει καὶ φανερῷ λόγῳ παρὰ πᾶσιν »ἀδιαπτώτως φυλάττεσθαι; καὶ πρῶτον μὲν ἀνάξιον ἔδοξεν εἶναι τὴν »ἁγιωτάτην ἐκείνην ἑορτὴν τῇ τῶν Ἰουδαίων ἑπομένους συνηθείᾳ »πληροῦν, οἳ τὰς ἑαυτῶν χεῖρας ἀθεμίτῳ πλημμελήματι χράναντες »εἰκότως τὰς ψυχὰς οἱ μιαροὶ τυφλώττουσιν. ἔξεστι γὰρ τοῦ ἐκείνων »ἔθνους ἀποβληθέντος ἀληθεστέρᾳ τάξει, ἣν ἐκ πρώτης τοῦ πάθους »ἡμέρας μέχρι τοῦ παρόντος ἐφυλάξαμεν, καὶ ἐπὶ τοὺς μέλλοντας »αἰῶνας τὴν τῆς ἐπιτηρήσεως ταύτης συμπλήρωσιν ἐγγίνεσθαι. μηδὲν 4 »τοίνυν ἔστω ἡμῖν κοινὸν μετὰ τοῦ ἐχθίστου τῶν Ἰουδαίων ὄχλου. »εἰλήφαμεν γὰρ παρὰ τοῦ σωτῆρος ἑτέραν ὁδόν· πρόκειται δρόμος »τῇ ἱερωτάτῃ ἡμῶν θρησκείᾳ καὶ νόμιμος καὶ πρέπων. τούτου συμ- »φώνως ἀντιλαμβανόμενοι, τῆς αἰσχρᾶς ἐκείνης ἑαυτοὺς συνειδήσεως »ἀποσπάσωμεν, ἀδελφοὶ τιμιώτατοι. ἔστι γὰρ ὡς ἀληθῶς ἀτοπώτα- 5 »τον ἐκείνους αὐχεῖν, ὡς ἄρα παρεκτὸς τῆς αὐτῶν διδασκαλίας ταῦτα »φυλάττειν οὐκ εἴημεν ἱκανοί. τί δὲ φρονεῖν ὀρθὸν ἐκεῖνοι δυνήσον-

A HN (n) GS (s) DL + FV (v) = z T

1 *τυγχάνων* = Gel. Socr. Codd. AM] *ἐτύγχανον* D Eus | **2** *ἄχρις ὅτου* DL und. *σ ὅ* auf Rasur, Ac | **3** *πάντων ἐφόρῳ* = Eus. Socr. Cod. A] *τῶν πάντων ἐφόρῳ* ND Socr. Codd. FCM *παντεφόρῳ* T Gel. | **4** *ἀρέσκουσα* = Gel. Eus. Socr.] *ἀρκοῦσα* An | *ἑνότητος* = Gel. Eus. Socr.] *θεότητοσ* n | **7** *ἁγιωτάτης τοῦ πάσχα ἡμέρασ* An *ἁγιωτάτης ἡμέρασ τοῦ πάσχα* sz *τοῦ πάσχα ἁγιωτάτης ἡμέρασ* T Gel. Eus. Socr. | **9** *ἁπανταχοῦ* = Eus. Socr.] *ἁπανταχῇ* T *ἁπανταχόσε* Gel. | *ἐπιτελεῖν* AT Gel. Eus. Socr. *τελεῖν* nsz | **10** *τοῦ* = Gel. Eus. Socr.] *ἧ τοῦ* AT | **11** *λόγῳ* = Gel. Eus. Socr.] *λογισμῷ* A | **12** *καὶ* > n | **14** *ἀθεμίτῳ* — **15** *εἰκότως* = Gel. Eus. Socr.] *ἀθεμίτωσ* A | **16** *ἔθνουσ* = Gel. Eus. Socr. Codd. FCM] *ἔθουσ* SL Eus. Cod. J | *ἐκ πρώτης* = Gel. Eus. Socr.] *ἐν καιρῷ τῆσ* An | **17** *ἡμέραν* GLv | **18** *ἐγγίνεσθαι* = Gel. Socr.] *γίνεσθαι* T *ἐκτείνεσθαι* Eus. | **19** *κοινὸν* = Gel. Eus. Socr. > sv | **20** *γὰρ* = Eus. nach *πρόκειται* ∞ Socr. > T Gel. | **21** *τῆσ ἱερωτάτησ — θρισκείασ* T | *νόμιμοσ καὶ πρέπων* AT Eus. *πρέπων καὶ νόμιμοσ* nsDL *πρέπον καὶ νόμιμον* v | **22** *συνειδήσεως* *συνηθείας* nach Z. 13? Jülicher

»ται, οἳ μετὰ τὴν κυριοκτονίαν ἐκείνην ἐκστάντες τῶν φρενῶν ἄγον»ται οὐ λογισμῷ τινι ἀλλ᾽ ὁρμῇ ἀκατασχέτῳ, ὅπου ἂν αὐτοὺς ἡ ἔμ»φυτος αὐτῶν ἀπάγῃ μανία; ἐκεῖθεν τοίνυν κἂν τούτῳ τῷ μέρει τὴν »ἀλήθειαν οὐχ ὁρῶσιν, ὡς ἀεὶ κατὰ τὸ πλεῖστον αὐτοὺς πλανωμένους »ἀντὶ τῆς προσηκούσης ἐπανορθώσεως ἐν τῷ αὐτῷ ἔτει δεύτερον τὸ »Πάσχα ἐπιτελεῖν. τίνος οὖν χάριν τούτοις ἑπόμεθα, οἳ δεινὴν πλάνην 6
»νοσεῖν ὡμολόγηνται; δεύτερον γὰρ τὸ Πάσχα ἐν ἑνὶ ἐνιαυτῷ οὐκ ἄν »ποτε ποιεῖν ἀνεξόμεθα. ἀλλ᾽ εἰ καὶ ταῦτα μὴ προὔκειτο, τὴν ὑμε»τέραν ἀγχίνοιαν ἐχρῆν καὶ διὰ σπουδῆς καὶ δι᾽ εὐχῆς ἔχειν πάντοτε
»ἐν μηδενὸς ὁμοιότητι τὸ καθαρὸν τῆς ὑμετέρας ψυχῆς κοινωνεῖν »δοκεῖν ἀνθρώπων ἔθεσι παγκάκων.

»Πρὸς τούτοις κἀκεῖνο πάρεστι συνορᾶν, ὡς ἐν τηλικούτῳ πράγ- 7
»ματι καὶ τοιαύτης θρησκείας ἑορτῇ διαφωνίαν ὑπάρχειν ἐστὶν ἀθέ»μιτον. μίαν γὰρ ἡμῖν τὴν τῆς ἡμετέρας ἐλευθερίας ἡμέραν, τουτέστι 8
»τὴν τοῦ ἁγιωτάτου πάθους, ὁ ἡμέτερος παρέδωκε σωτήρ, μίαν εἶναι »τὴν καθολικὴν αὐτοῦ ἐκκλησίαν βεβούληται· ἧς εἰ καὶ τὰ μάλιστα »εἰς πολλούς τε καὶ διαφόρους τόπους τὰ μέρη διῄρηται, ἀλλ᾽ ὅμως »ἐν ἑνὶ πνεύματι, τουτέστι τῷ θείῳ βουλήματι, θάλπεται. λογισάσθω 9
»δὲ ἡ τῆς ὑμετέρας ὁσιότητος ἀγχίνοια, ὅπως ἐστὶ δεινόν τε καὶ »ἀπρεπὲς κατὰ τὰς αὐτὰς ἡμέρας ἑτέρους μὲν ταῖς νηστείαις σχολά»ζειν, ἑτέρους δὲ συμπόσια συντελεῖν, καὶ μετὰ τὰς τοῦ Πάσχα ἡμέρας »ἄλλους μὲν ἐν ἑορταῖς καὶ ἀνέσεσιν ἐξετάζεσθαι, ἄλλους δὲ ταῖς »ὡρισμέναις ἐκδεδόσθαι νηστείαις. διὰ τοῦτο γοῦν τῆς προσηκούσης »ἐπανορθώσεως τυχεῖν καὶ πρὸς μίαν διατύπωσιν ἄγεσθαι τοῦτο ἡ
»θεία πρόνοια βούλεται, ὡς ἔγωγε ἅπαντας ἡγοῦμαι συνορᾶν.

Ὅθεν ἐπειδὴ τοῦτο οὕτως ἐπανορθοῦσθαι προσῆκεν, ὡς μηδὲν 10

A HN (n) GS (s) DL + FV (v) = z T

3 *ἀπάγῃ* = Socr. Cod. C] *ἀπάγει* A Socr. Cod. A *ἀπάγοι* Gel. *ἄγει* s *ἀγάγοι* T *ἀγάγῃ* Eus. Socr. | **8** *ποτε ποιεῖν* AT Gel. Eus. Socr. *ποιεῖν ποτε* nsz | *ἀνεξόμεθα* H *ἀνεξώμεθα* Socr., aber *ἀνεξόμεθα* Socr. Cod. C | *καὶ ταῦτα μὴ* nDL Gel. Eus. Socr. ///// *καὶ ταῦτα μὴ* A *μὴ καὶ ταῦτα* sV *μὴ καὶ ταῦτα μὴ* F *καὶ μὴ ταῦτα* T | **9** *δι᾽ εὐχῆς* T Eus. Socr. *εὐχῆς* Ansz | *πάντοτε ἔχειν* ∼ n | **10** *ὁμοιότητι* DT Gel. Eus. Socr. *ὁμοιώματι* AnsLv | *ὑμετέρας* nT Eus. *ἡμετέρας* sz > A | **11** *δοκεῖν* SDLVT Gel. Eus. *δοκεῖ* AF *ἢ δοκεῖν* Socr. > nG | **12** *κἀκεῖνο* T | **13** *τοιαύτης* AzT Gel. Eus. Cod. V Socr. *τοιαύτη* ns Eus. Codd. JMBA | **14** *μίαν γὰρ* am Rand Ac | *ἡμῖν* = Gel. Eus. Socr. > A | **15** *τὴν* > NL Gel. | *παραδέδωκε* L | **16** *ἧς εἰ καὶ τὰ* = Eus. Socr.] *ἧσ καὶ* n *εἰ καὶ τὰ* Gel. | **18** *ἐν ἑνὶ* Az Gel. *ἑνὶ* T Socr. *ἐν* ns Eus. HSS | *θείῳ*] *ὁσίῳ* T | **21** *συντελεῖν* = Eus.] *ἐκτελεῖν* T *τελεῖν* Socr. *ἐπιτελεῖν* Gel. Socr. Cod. A | **22** *ἐν* = Gel. Eus. > ALvT Socr. | *ἐξετάζεσθαι* (*ἐξετά* auf Rasur Ac) A

»μετὰ τῶν πατροκτόνων τε καὶ κυριοκτόνων ἐκείνων εἶναι κοινόν.
»ἔστι τε τάξις εὐπρεπής, ἣν ἅπασαι αἱ τῶν δυτικῶν τε καὶ μεσημ-
»βρινῶν καὶ ἀρκτῴων τῆς οἰκουμένης μερῶν παραφυλάττουσιν ἐκκλη-
»σίαι καί τινες τῶν κατὰ τὴν Ἑῴαν τόπων, ὧν ἕνεκεν ἐπὶ τοῦ
»παρόντος καλῶς ἔχειν ἅπαντες ἡγήσαντο. καὶ αὐτὸς δὲ τῇ ὑμετέρᾳ
»ἀγχινοίᾳ ἀρέσειν ὑπεσχόμην, ἵν' ὅπερ δὰν κατὰ τὴν Ῥωμαίων πόλιν
»Ἰταλίαν τε καὶ Ἀφρικὴν ἅπασαν, Αἴγυπτον, Σπανίας, Γαλλίας,
»Βρεττανίας, Λιβύας, ὅλην Ἑλλάδα, Ἀσιανήν τε διοίκησιν καὶ Πον-
»τικὴν καὶ Κιλικίαν μιᾷ καὶ συμφώνῳ φυλάττηται γνώμῃ, ἀσμένως
»τοῦτο καὶ ἡ ὑμετέρα προσδέξηται σύνεσις, λογιζομένη ὡς οὐ μόνον
»πλείων ἐστὶν ὁ τῶν κατὰ τοὺς προειρημένους τόπους ἐκκλησιῶν
»ἀριθμός, ἀλλὰ καὶ ὡς τοῦτο μάλιστα κοινῇ πάντας ὁσιώτατόν ἐστι
»βούλεσθαι, ὅπερ καὶ ὁ ἀκριβὴς λογισμὸς ἀπαιτεῖν δοκεῖ, καὶ οὐδεμίαν
»μετὰ τῆς Ἰουδαίων ἐπιορκίας ἔχειν κοινωνίαν. ἵνα δὲ τὸ κεφαλαιω- 11
»δέστατον συντόμως εἴπω, κοινῇ πάντων ἥρεσε κρίσει τὴν ἁγιωτάτην
»τοῦ Πάσχα ἑορτὴν μιᾷ καὶ τῇ αὐτῇ ἡμέρᾳ συντελεῖσθαι· οὐδὲ γὰρ
»πρέπει ἐν τοσαύτῃ ἁγιότητι εἶναί τινα διαφοράν, καὶ κάλλιον ἔπε-
»σθαι τῇ γνώμῃ ταύτῃ ἐν ᾗ οὐδεμία ἔσται ἀλλοτρίας πλάνης καὶ
»ἁμαρτήματος ἐπιμιξία.

»Τούτων οὕτως στοιχούντων, ἀσμένως δέχεσθε τὴν οὐράνιον 12
»χάριν καὶ θείαν ὡς ἀληθῶς ἐντολήν· πᾶν γὰρ ὅ τι δὰν ἐν τοῖς
»ἁγίοις τῶν ἐπισκόπων συνεδρίοις πράττηται, τοῦτο πρὸς τὴν θείαν

A HN (n) GS (s) DL + FV (v) = z T

1 *εἶναι κοινόν* An Eus. Socr. *κοινὸν εἶναι* s *εἶναι κοινωνόν* T *κοινὸν εἶναι ἡμῖν* L *κοινὸν ἡμῖν εἶναι* Dv *εἶνάι ἡμῖν* (*ἡμῖν* übergeschrieben) *κοινόν* Ac *ἡμῖν κοινόν* Gel. | **2** *ἔστι τε* = Socr.] *ἔστι δὲ* L Gel. Eus. *ἔστιν ἑτέρα* D | *τε*² > T Gel. | **3** *τῆς*] *τῶν τῆσ* A | **6** *ἀρέσειν* szT Eus. Socr. *ἀρέσκειν* An Gel. | *ὅπερ ἂν* nV | *τὴν* = Socr.] *τὴν τῶν* sL Eus. Codd. MBA Socr. Cod. A | nach *Ῥωμαίων* + *τε* T | *πόλιν* = Gel. Eus. Socr.] *πολιτείαν* n | **7** *τε* > DT | *Σπανίας* = Eus.] *ἱσπανίασ* A Socr. *σπανίαν* Gel. | **8** *βρετανίασ* DFT | *Λιβύας* = Gel. Eus.] *λιβύησ* NS *λιβύην* HGT Socr. | *ὅλην* = Eus. Socr.] *ὅλην τὴν* A | **8/9** *καὶ Ποντικὴν διοίκησιν* ~ T | **9** *φυλάττηται* = Socr. Codd. FCM] *φυλλάττεται* LFT Gel. Eus. HSS Socr. Cod. A | vor *γνώμῃ* + *τῇ* v | **11** *πλείων* AGT Eus. Codd. JMB Socr. Codd. AC | **13** *ὁ* > v | *ἀκριβὴσ* AnDT Gel. Eus. Socr. *εὐσεβὴσ* sLv | *καὶ*²] *τὸ* Gel. | **14** *κοινωνίαν ἔχειν ἐπιορκίασ* T | *ἔχειν* ANGT Gel. Eus. HSS Socr. Codd. AFC *ἔχει* HSz Socr. Cod. M | **14/15** *κεφαλαιωδέστερον* T Eus. Codd. JMBA Gel. | **17** *τινα* > T | **18** *ἔσται* AT Eus. Cod. V Socr. *ἐστὶν* nsz Gel. Eus. Codd. JMBA | **20** *δέξασθε* L *δέξασθαι* D | *οὐράνιον* = Gel.] *οὐρανίαν* T Eus. Cod. J Socr. *τοῦ θεοῦ* Eus. | **21** *δὰν* szTAc Gel. Eus. Socr. *ἂν* An

»βούλησιν ἔχει τὴν ἀναφοράν. διὸ πᾶσι τοῖς ἀγαπητοῖς ἡμῶν ἀδελ-
»φοῖς ἐμφανίσαντες τὰ προγεγραμμένα, ἤδη καὶ τὸν προειρημένον
»λόγον καὶ τὴν παρατήρησιν τῆς ἁγιωτάτης ἡμέρας ὑποδέχεσθαί τε
»καὶ διατάττειν ὀφείλετε, ἵνα ἐπειδὰν πρὸς τὴν πάλαι μοι ποθουμένην
»τῆς ὑμετέρας διαθέσεως ὄψιν ἀφίκωμαι, ἐν μιᾷ καὶ τῇ αὐτῇ ἡμέρᾳ
»τὴν ἁγίαν μεθ' ὑμῶν ἑορτὴν ἐπιτελέσαι δυνηθῶ καὶ πάντων ἕνεκεν
»μεθ' ὑμῶν εὐδοκήσω, συνορῶν τὴν διαβολικὴν ὠμότητα ὑπὸ τῆς
»θείας δυνάμεως διὰ τῶν ἡμετέρων πράξεων ἀνηρημένην, ἀκμαζούσης
»πανταχοῦ τῆς ἡμετέρας πίστεως καὶ εἰρήνης καὶ ὁμονοίας. ὁ θεὸς
»ὑμᾶς διαφυλάξει, ἀδελφοὶ ἀγαπητοί.«

Ταῦτα μὲν οὖν τοῖς ἀπολειφθεῖσιν ἐπέστειλε. τοὺς δὲ συνελη- **11**
λυθότας (ὀκτωκαίδεκα δὲ ἦσαν καὶ τριακόσιοι) πολλοῖς μὲν ἐφιλο-
φρονήσατο καὶ λόγοις καὶ δώροις, πολλὰς δὲ στιβάδας εὐτρεπισθῆναι
κελεύσας κατὰ ταὐτὸν εἱστίασεν ἅπαντας, τοὺς μὲν ἀξιωτέρους ὁμο-
τραπέζους λαβών, τοὺς δὲ ἄλλους διελὼν εἰς τὰς ἄλλας. θεασάμενος
δέ τινας τοὺς δεξιοὺς ὀφθαλμοὺς ἐκκεκομμένους καὶ μαθὼν ὡς τὸ
περὶ τὴν εὐσέβειαν ἑδραῖον τοῦ πάθους ἐγένετο πρόξενον, τὰ χείλη
τοῖς τραύμασι προσενήνοχεν. ἑλκύσειν ἐκεῖθεν τῷ φιλήματι τὴν
εὐλογίαν πιστεύων. πέρας δὲ τοῦ συμποσίου λαβόντος, ἕτερα πάλιν **2**
αὐτοῖς προσενήνοχε δῶρα. καὶ μέντοι καὶ γράμματα πρὸς τοὺς τῶν
ἐθνῶν προστατεύοντας δέδωκεν ἄρχοντας, καθ' ἑκάστην πόλιν χορη-

12—15 Euseb. Vit. Const. III 15. vgl. Sozomen. I 25, 1 — **16—19** vgl. Rufin. H. E. X 4. Socrat. I 11, 2

* **11**—S. 47, 3 Th. Ioannes, Mnemeia Hagiologika S. 215, 1 — **12—19** Georg. Mon. 504, 8 — **12**—S. 47, 6 Niceph. H. E. VIII 26

A HN (n) GS (s) DL + FV (v) = z T

1 *τὴν* AzT Gel. Eus. Socr. > ns | **3** vor *λόγον* + *τῆς καθολικῆς πίστεως* TGel. | vor *ἡμέρας* + *τοῦ πάσχα* TGel. | **4** *ὀφείλεται* AG | *ἵνα* = Gel. Eus. Socr. > A | **9** *ἡμετέρας II* Gel. Eus. HSS *ὑμετέρας* Socr. | **10** *διαφυλάξει* AT Eus. Cod. V Socr. Codd. FM *διαφυλάξοι* Gz Eus. Codd. JMBA Socr. Codd. AC *διαφυλάξειεν* n *φυλάξοι* S Gel. | *ἀδελφοὶ ἀγαπητοί* NT Gel. Eus. Socr. *ἀδελφοί μου ἀγαπητοί* H *ἀγαπητοὶ ἀδελφοί* A *ἀγαπητοί* sz | **11** *ια* am Rand HSS | *ταῦτα*] *ταύτην* T | *οὖν* = Gel. > A | *ἀπολειφθεῖσιν* = Gel.] *ἀποῦσιν* T* | **13** *δὲ*] *τε* T | **13 14** *εὐτρεπισθῆναι κελεύσας* = Gel. Mnem.] *εὐτρεπίσας* T* | **14** *κατ' αὐτὸν* n | *ἐστίασεν* NGF Gel. Georg. | **15** *ἄλλας II* Mnem. *ἄλλας τραπέζας* Gel. Georg. | **16** *τινας* = Gel. Georg. Mnem.] *ἐν αὐτοῖς παφνούτιον καί τινας ἄλλους* T* | *ὡς*] *ὅτι* T | **18** *ἑλκύσειν* = Gel. Georg. Mnem.] *ἑλκύσαι* DT

γεῖσθαι παρεγγυῶν ταῖς ἀειπαρθένοις καὶ χήραις καὶ τοῖς ἀφιερωμένοις τῇ θείᾳ λειτουργίᾳ ἐτήσια σιτηρέσια. φιλοτιμίᾳ μᾶλλον ἢ χρείᾳ ταῦτα μετρήσας. τούτων τὸ τριτημόριον μέχρι καὶ τήμερον χορηγεῖται. Ἰουλιανοῦ μὲν τοῦ δυσσεβοῦς πάντα καθάπαξ ἀφελομένου, τοῦ δὲ μετ᾽ ἐκεῖνον τὰ νῦν χορηγούμενα παρασχεθῆναι προστεταχότος. ὁ γὰρ λιμὸς ὀλίγην ἐποίει τότε τὴν εἰσφοράν. εἰ δὲ τοῦ νῦν χορηγουμένου τριπλάσιον ἦν τὸ τηνικαῦτα παρασχεθέν, ῥᾴδιον τὴν τοῦ βασιλέως μεγαλοψυχίαν τῷ βουλομένῳ καταμαθεῖν. 3

Οὐ μὴν δὲ οὐδὲ ἐκεῖνο δίκαιον ἡγοῦμαι παραδοῦναι σιγῇ· φιλαπεχθήμονες γὰρ ἄνδρες ἐγράψαντο τῶν ἐπισκόπων τινὰς καὶ τῷ βασιλεῖ τὰς ἐγγράφους κατηγορίας ἐπέδοσαν. ὁ δὲ πρὸ τῆς γεγενημένης ὁμονοίας ταύτας δεξάμενος, εἶτα δεσμὸν ἐπιθεὶς καὶ τῷ δακτυλίῳ σημηνάμενος, φυλαχθῆναι προσέταξεν. ἔπειτα τὴν σύμβασιν ἐργασάμενος, ταύτας κομίσας παρόντων αὐτῶν κατέκαυσεν, ὁμωμοκὼς ἢ μὴν μηδὲν τῶν ἐγγεγραμμένων ἀνεγνωκέναι. οὐ γὰρ ἔφη χρῆναι τῶν ἱερέων τὰ πλημμελήματα δῆλα γίνεσθαι τοῖς πολλοῖς, ἵνα μὴ σκανδάλου πρόφασιν ἐντεῦθεν λαμβάνοντες ἀδεῶς ἁμαρτάνωσιν. φασὶ δὲ αὐτὸν καὶ τόδε προσθεῖναι, ὡς εἰ αὐτόπτης ἐπισκόπου γάμον ἀλλότριον διορύττοντος γένοιτο, συγκαλύψαι ἂν τῇ πορφυρίδι τὸ παρανόμως γινόμενον, ὡς ἂν μὴ βλάψῃ τοὺς θεωμένους τῶν δρωμένων ἡ ὄψις. οὕτω παραινέσας καὶ τοσαύτης ἀξιώσας τοὺς ἱερέας τιμῆς, καταλαβεῖν ἕκαστον τὴν οἰκείαν παρηγγύησε ποίμνην. 4 5 6

4 vgl. Artemii Passio 22 PG 96, 1272 B. Sozomen. V 5, 2. Theodoret. H. E. IV 4 — **9—14** vgl. Rufin. H. E. X 2. Socrat. I 8, 18—19. Sozomen. I 17, 3—5

* **9—21** Gelas. Cyzic. II 8 — **9—23** Georg. Mon. 508, 4

A HN(n) GS(s) DL + FV(v) = z T [bis **8** *καταμαθεῖν* u. von **15** *οὐ γὰρ* bis **23** *ποίμνην*]

1 *ταῖς*] *τὰ ταῖσ* A > DTGel. | **3** *μετρήσας* = Gel.] *μερίσασ* s | *καὶ* > T | **4** *μὲν* > T | **6** *ἐποίει τότε*] *ἐποιεῖτο* z | **7** *ἦν* > T | **9** *ἐκεῖνο* Ls | *ἐκεῖνο* nach *δίκαιον* ~ v, nach *ἡγοῦμαι* ~ s | **11** *ὁ δὲ* = Gel. Georg.] *ὅσ* LV *ὅσ* /// (*σ* auf Rasur Ac) A | **12** *ταύτας* = Gel. Georg.] *ταῦτα* v | **13** *δακτύλῳ* sD | **14** *κομίσασ* AnsD Georg. *κομισάμενοσ* Lv | **15** *μηδὲ* A | *ἐγγεγραμμένων* nGel. *ἐν αὐταῖς γεγραμμένων* Georg. *γεγραμμένων* Asz | **17** *λαμβάνοντεσ* = Gel. Georg.] *λαβόντεσ* n | **17/18** *ἁμαρτάνουσιν* AGel. | **19** *γίνοιτο* A | nach *ἂν* + *αὐτὸν* T | **20** *βλάψαι* Lv Gel. Georg. Cod. P *βλάψαιε* Georg. | **21** *οὕτω*] *οὕτωσ αὐτοὺσ* T | **22** *καταλαβεῖν* = Georg.] *καταλαμβάνειν* A | *οἰκείαν*] *ἰδίαν* L | **22 23** *παρεγγύησε* A

Ἐγὼ δὲ τῆς τῶν Ἀρειανῶν ἕνεκα βδελυρίας, οἳ οὐ μόνον τῶν 7
κοινῶν ἡμῖν καταφρονοῦσι πατέρων ἀλλὰ καὶ τοὺς σφετέρους ἀρ-
νοῦνται, τὴν Εὐσεβίου τοῦ Καισαρέως ἐπιστολὴν ἣν περὶ τῆς πίστεως
ἔγραψεν ἐνθεῖναι βούλομαι τῇ συγγραφῇ, τῆς τούτων λύττης ἔλεγχον
ἔχουσαν ἐναργῆ. τοῦτον γὰρ γεραίροντες ὡς ὁμόφρονα, τοῖς ὑπὸ 8
τούτου γραφεῖσιν ἄντικρυς ἀντιλέγουσιν. γέγραφε δὲ τὴν ἐπιστολὴν
πρός τινας τὰ Ἀρείου φρονοῦντας, προδοσίαν, ὡς εἰκός, ἐγκαλοῦντας
αὐτῷ. δηλοῖ δὲ ἄμεινον τὰ γεγραμμένα τὸν τοῦ γεγραφότος σκοπόν.

»*Εὐσεβίου τοῦ Καισαρείας τῆς Παλαιστίνης ἐπισκόπου ἐπι-*
»*στολὴ ἣν ἀπὸ τῆς Νικαίας ἀπέστειλεν ὅτε ἡ μεγάλη σύνο-*
»*δος συνεκροτήθη.*

»*Τὰ περὶ τῆς ἐκκλησιαστικῆς πίστεως πραγματευθέντα κατὰ τὴν* 12
»*μεγάλην σύνοδον τὴν ἐν Νικαίᾳ συγκροτηθεῖσαν εἰκὸς μὲν ὑμᾶς καὶ*
»*ἄλλοθεν μεμαθηκέναι, τῆς φήμης προτρέχειν εἰωθυίας τὸν περὶ τῶν*
»*πραττομένων ἀκριβῆ λόγον. ἀλλ᾽ ἵνα μὴ ἐκ τοιαύτης ἀκοῆς τὰ τῆς*
»*ἀληθείας ἑτεροίως ὑμῖν ἀπαγγέλληται, ἀναγκαίως διεπεμψάμεθα ὑμῖν*
»*πρῶτον μὲν τὴν ὑφ᾽ ἡμῶν προταθεῖσαν περὶ τῆς πίστεως γραφήν,*
»*ἔπειτα τὴν δευτέραν, ἣν ταῖς ἡμετέραις φωναῖς προσθήκας ἐπιβα-*
»*λόντες ἐκδεδώκασι. τὸ μὲν οὖν παρ᾽ ἡμῶν γράμμα, ἐπὶ παρουσίᾳ* 2
»*τοῦ θεοφιλεστάτου ἡμῶν βασιλέως ἀναγνωσθὲν εὖ τε ἔχειν καὶ δο-*
»*κίμως ἀποφανθέν, τοῦτον ἔχει τὸν τρόπον·*

12—S. 54, 3 bei Athanas. Montfaucon I 238 [PG 20, 1536 f.]. Socrat. I 8, 35—54 [= T, Cass. II 11]. Gelas. Cyzic. II 34—35

* **6**—S. 50, 17 Niceph. H. E. VIII 22

A HN(n) GS(s) DL + FV(v) = z W [von **12** *Τὰ περὶ* an]

1 *Ἐγὼ δὲ*: *ιβ* am Rand F | *ἕνεκα* > A | **2** *ἡμῖν* nur in A | **3** *τῆς* > L | **5** *ἔχουσαν*] *οὖσαν* L ~~οὖσαν~~ *οὖσαν* A | **6** *συγγραφεῖσιν* Lv | **9** *εὐσεβίου* — **11** *συνεκροτήθη* n und (*ἐπιστολὴ* vor *Εὐσεβίου* ∽, *τοῦ* >, *ἐπέστειλεν*) sF *ἐπιστολὴ εὐσεβίου ἐπισκόπου καισαρείας περὶ τῆς* (+ *ἐκτεθείσης* D) *ἐν νικαίᾳ πίστεως* DL > AV | **12** *ιβ* am Rand AL | **13** *ὑμᾶς Π ὑμᾶς ἀγαπητοὶ* Athan. Socr. Gel. | **15** *πραττομένων* nszW Athan. Socr. Gel. *πεπραγμένων* A | *τὰ* A Athan. Socr. Gel. *τὸ* nszW | **17** *μὲν* An Athan. Socr. Gel. > szW | **18/19** *ἐπιβάλλοντες* ns *ἐπιβαλόντες* (*λ* auf Rasur Ac) A | **19** *παρ᾽ ἡμῶν μὲν οὖν* ∽ n, Athan. Socr. Gel. wie im Text | **20** *ἡμῶν βασιλέως* nDW Athan. Socr. Gel. *βασιλέως ἡμῶν* AsLv

»Ἡ ὑφ' ἡμῶν ἐκτεθεῖσα πίστις. καθὼς παρελάβομεν παρὰ τῶν 3
»πρὸ ἡμῶν ἐπισκόπων, καὶ ἐν τῇ πρώτῃ κατηχήσει καὶ ὅτε τὸ λου-
»τρὸν ἐλαμβάνομεν, καὶ καθὼς ἀπὸ τῶν θείων γραφῶν μεμαθήκαμεν.
»καὶ ὡς ἐν αὐτῷ τῷ πρεσβυτερίῳ καὶ ἐν αὐτῇ τῇ ἐπισκοπῇ ἐπιστεύ-
»ομέν τε καὶ ἐδιδάσκομεν, οὕτω καὶ νῦν πιστεύοντες τὴν ἡμετέραν
»πίστιν προσαναφέρομεν. ἔστι δὲ αὕτη·

»Πιστεύομεν εἰς ἕνα θεόν, πατέρα παντοκράτορα, τὸν τῶν ἁπάν- 4
»των ὁρατῶν τε καὶ ἀοράτων ποιητήν, καὶ εἰς ἕνα κύριον Ἰησοῦν
»Χριστόν, τὸν τοῦ θεοῦ λόγον, θεὸν ἐκ θεοῦ, φῶς ἐκ φωτός, ζωὴν
»ἐκ ζωῆς, υἱὸν μονογενῆ, πρωτότοκον πάσης κτίσεως, πρὸ πάντων
»τῶν αἰώνων ἐκ τοῦ πατρὸς γεγεννημένον, δι' οὗ καὶ ἐγένετο πάντα,
»τὸν διὰ τὴν ἡμετέραν σωτηρίαν σαρκωθέντα καὶ ἐν ἀνθρώποις
»πολιτευσάμενον καὶ παθόντα καὶ ἀναστάντα τῇ τρίτῃ ἡμέρᾳ καὶ
»ἀνελθόντα πρὸς τὸν πατέρα καὶ ἥξοντα πάλιν ἐν δόξῃ κρῖναι ζῶν-
»τας καὶ νεκρούς. πιστεύομεν καὶ εἰς ἓν πνεῦμα ἅγιον.

»Τούτων ἕκαστον εἶναι καὶ ὑπάρχειν πιστεύοντες, πατέρα, ἀλη- 5
»θινῶς πατέρα, καὶ υἱόν, ἀληθινῶς υἱόν, καὶ πνεῦμα ἅγιον, ἀληθινῶς
»πνεῦμα ἅγιον, καθὰ καὶ ὁ κύριος ἡμῶν ἀποστέλλων εἰς τὸ κήρυγμα
»τοὺς ἑαυτοῦ μαθητὰς εἶπεν· »πορευθέντες μαθητεύσατε πάντα
»τὰ ἔθνη, βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ πατρὸς καὶ
»τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος«, περὶ ὧν καὶ διαβεβαιούμεθα
»οὕτως ἔχειν καὶ οὕτως φρονεῖν, καὶ πάλαι οὕτως ἐσχηκέναι καὶ μέχρι
»θανάτου ὑπὲρ ταύτης συνίστασθαι τῆς πίστεως, ἀναθεματίζοντες
»πᾶσαν ἄθεον αἵρεσιν· ταῦτα ἀπὸ καρδίας καὶ ψυχῆς πεφρονηκέναι 6
ἐξ οὗπερ ἴσμεν ἑαυτούς, καὶ νῦν φρονεῖν τε καὶ λέγειν ἐξ ἀληθείας,

19—21 Matth. 28, 19

A HN (n) GS (s) D [D bis **15** *νεκρούς*] L + FV (v) = z W

1 *ἡ — πίστις Π* Gel. > Athan. Socr. | **2** *καὶ*[1] übergeschrieben Ac > H | *καὶ ὅτε*] *ὅτε καὶ* H *ὅτε* N | *τὸ* > sLv | **2/3** *λοιτρὸν*] *λίτρον* v *γρ. τὸ λίτρον* am Rand Ac | **3** *καὶ καθὼς* Athan. Cod. Par. Socr. Gel. *καθὼσ καὶ* n *καθὼσ* die übr. HSS | **4** *αὐτῷ Π* > Athan. Socr. Gel. | **6** nach *πίστιν* + *ὑμῖν* Athan. Socr. Gel. | **7** *πιστεύομεν* nsDWAthan. Socr. Gel. *πιστεύω* // A *πιστεύω* Lv | **10** *πάσησ* nszWAthan. Socr. Gel. *πάσησ τῆσ* A | **11** *πάντα*] *τὰ πάντα* WAthan. Socr. Gel. | **15** *ἓν* zAthan. Socr. Gel. übergeschrieben Ac *τὸ* W > Ans | **16** *καὶ* > L, *καὶ ὑπάρχειν* > v | **17** *καὶ πνεῦμα* nszWAthan. Socr. *πνεῦμα τε* A | **22** *πάλαι* Athan. Socr. Cod. A *etiam dudum* Cass. *πάλιν Π* Socr. Codd. FCMT | **23** *συνίστασθαι Π ἐνίστασθαι* Athan. Socr. Gel. | **24** *ψυχῆσ Π* nach *ψυχῆς* + *πάντοτε* Athan. + *πάντα* Socr. + *πάντωσ* Gel. | **25** *καὶ νῦν* AszWAthan. Socr. Gel. > n

»ἐπὶ τοῦ θεοῦ τοῦ παντοκράτορος καὶ τοῦ κυρίου ἡμῶν Ἰησοῦ
»Χριστοῦ μαρτυρόμεθα, δεικνύναι ἔχοντες καὶ δι᾽ ἀποδείξεως καὶ
»πείθειν ὑμᾶς ὅτι καὶ τοὺς παρεληλυθότας χρόνους οὕτως ἐπιστεύ-
»ομέν τε καὶ ἐκηρύσσομεν.

»Ταύτης ὑφ᾽ ἡμῶν ἐκτεθείσης τῆς πίστεως, οὐδεὶς παρῆν ἀντι- 7
»λογίας τόπος. ἀλλ᾽ αὐτός τε πρῶτος ὁ θεοφιλέστατος ἡμῶν βασι-
»λεὺς ὀρθότατα περιέχειν αὐτὴν ἐμαρτύρησεν, οὕτω τε καὶ ἑαυτὸν
»φρονεῖν συνωμολόγησε καὶ ταύτῃ τοὺς πάντας συγκατατίθεσθαι
»ὑπογράφειν τε τοῖς δόγμασι καὶ συμφωνεῖν τούτοις αὐτοῖς παρεκε-
»λεύετο, ἑνὸς μόνου προσεγγραφέντος ῥήματος τοῦ ὁμοουσίου· ὃ καὶ
»αὐτὸ ἡρμήνευσε λέγων ὅτι μὴ κατὰ σωμάτων πάθη λέγοιτο ὁμοού-
»σιος, οὔτε κατὰ διαίρεσιν οὔτε κατά τινα ἀποτομὴν ἐκ τοῦ πατρὸς
»ὑποστῆναι· μηδὲ γὰρ δύνασθαι τὴν ἄϋλον καὶ νοερὰν καὶ ἀσώματον
»φύσιν σωματικόν τι πάθος ὑφίστασθαι, θείοις δὲ καὶ ἀπορρήτοις
»λόγοις προσήκειν τὰ τοιαῦτα νοεῖν. καὶ ὁ μὲν σοφώτατος ἡμῶν
»καὶ εὐσεβέστατος βασιλεὺς τὰ τοιαῦτα διεφιλοσόφει, οἱ δὲ προφάσει
»τῆς τοῦ ὁμοουσίου προσθήκης τήνδε τὴν γραφὴν πεποιήκασιν.

»Ἡ ἐν τῇ συνόδῳ ὑπαγορευθεῖσα πίστις.

»Πιστεύομεν εἰς ἕνα θεὸν πατέρα παντοκράτορα, πάντων ὁρατῶν 8
»τε καὶ ἀοράτων ποιητήν, καὶ εἰς ἕνα κύριον Ἰησοῦν Χριστὸν τὸν
»υἱὸν τοῦ θεοῦ, γεννηθέντα ἐκ τοῦ πατρὸς μονογενῆ, τουτέστιν ἐκ
»τῆς οὐσίας τοῦ πατρός, θεὸν ἐκ θεοῦ, φῶς ἐκ φωτός, θεὸν ἀληθι-
»νὸν ἐκ θεοῦ ἀληθινοῦ, γεννηθέντα οὐ ποιηθέντα, ὁμοούσιον τῷ
»πατρί, δι᾽ οὗ τὰ πάντα ἐγένετο τά τε ἐν τῷ οὐρανῷ καὶ τὰ ἐν τῇ
»γῇ, τὸν δι᾽ ἡμᾶς τοὺς ἀνθρώπους καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν

A HN(n) GS(s) L + FV(v) = z W [bis **17** *πεποιήκασιν*]

2 *ἀποδείξεως Π ἀποδείξεων* Athan. Socr. Gel. | **5** *οὐδεὶς Π οὐδενὶ* Athan. Socr. Gel. | **6 7** *ἡμῶν βασιλεὺς* AnW Athan. Socr. Gel. *βασιλεὺς ἡμῶν* sz | **7** *ἑαυτὸν*] *αὐτὸν* szW | **9** *συμφωνεῖν* nsvWAthan. Socr. Gel. *συμφρονεῖν* AL | **10** *δ* AnW Athan. Socr. Gel. > sz | **11** *κατὰ* AnLW *κατὰ τὰ* sv *κατὰ τὰ τῶν* Socr. Gel. *κατὰ τῶν* Athan. | **12** *τοῦ*>A | **15** *προσήκειν* sz Athan. Gel. Socr. Codd. ACT Cass. *προσήκει* AnW | *τὰ τοιαῦτα* übergeschrieben A^{c} *ταῦτα* n, Athan. Socr. Gel. wie im Text | **16** *καὶ εὐσεβέστατος* AnW Athan. Gel. Socr. Cod. T = Cass. > sz | *τὰ τοιαῦτα Π τοιαῦτα* Socr. Cod. T *τὰ τοιάδε* Gel. *τοιάδε* Athan. Socr. Codd. AFCM | *ἐφιλοσόφει* Athan. Socr. Gel. | **18** *ἡ — πίστις* AnsF Athan. Gel. *ἡ ἐν νικαίᾳ ὑπὸ τῆς συνόδου ὑπ. πίστις* Socr. Codd. AC > LV Socr. Codd. FM(?)T | **21** *ἐκ τοῦ πρ̄ς̄ μονογενῆ* A Athan. Gel. *ἐκ πρ̄ς̄ ἀγεννήτου μονογενῆ* n *ἐκ πρ̄ς̄ ἀγεννήτου* sz *γρ. γεννηθέντα ἐκ πρ̄ς̄ ἀγεννήτου* am Rand A^{c} | **22** *φῶς* nsz Athan. Socr. Gel. *καὶ φῶς* A | **24** *τε* An Athan. Socr. Gel. > sz

»κατελθόντα καὶ σαρκωθέντα, ἐνανθρωπήσαντα, παθόντα καὶ ἀνα»στάντα τῇ τρίτῃ ἡμέρᾳ, ἀνελθόντα εἰς τοὺς οὐρανούς, ἐρχόμενον »κρῖναι ζῶντας καὶ νεκρούς· καὶ εἰς τὸ ἅγιον πνεῦμα, τοὺς δὲ λέγον»τας »ἦν ποτε ὅτε οὐκ ἦν« καὶ »πρὶν γεννηθῆναι οὐκ ἦν« καὶ ὅτι »ἐξ »οὐκ ὄντων ἐγένετο«, ἢ ἐξ ἑτέρας ὑποστάσεως ἢ οὐσίας φάσκοντας »εἶναι, τρεπτὸν ἢ ἀλλοιωτὸν τὸν υἱὸν τοῦ θεοῦ, ἀναθεματίζει ἡ ἁγία »καθολικὴ καὶ ἀποστολικὴ ἐκκλησία.

»Καὶ δὴ ταύτης τῆς γραφῆς ὑπ' αὐτῶν ὑπαγορευθείσης, ὅπως 9
»εἴρηται αὐτοῖς τὸ »ἐκ τῆς οὐσίας τοῦ πατρὸς« καὶ τὸ »τῷ πατρὶ ὁμο»ούσιον«, οὐκ ἀνεξέταστον αὐτοῖς καταλιμπάνομεν. ἐρωτήσεις τοι»γαροῦν καὶ ἀποκρίσεις ἐντεῦθεν ἀνεκινοῦντο, ἐβασάνιζέν τε ὁ λόγος »τὴν διάνοιαν τῶν εἰρημένων. καὶ δὴ τὸ ἐκ τῆς οὐσίας ὡμολογεῖτο »πρὸς αὐτῶν δηλωτικὸν εἶναι τοῦ ἐκ μὲν τοῦ πατρὸς εἶναι, οὐ μὴν »ὡς μέρος ὑπάρχειν τοῦ πατρός. ταύτῃ καὶ ἡμῖν ἐδόκει καλῶς ἔχειν 10
»συγκατατίθεσθαι τῇ διανοίᾳ, τῆς εὐσεβοῦς διδασκαλίας ὑπαγορευούσης »ἐκ τοῦ πατρὸς εἶναι τὸν υἱόν, οὐ μὴν μέρος τῆς οὐσίας αὐτοῦ τυγ»χάνειν. διόπερ τῇ διανοίᾳ καὶ αὐτοὶ συνετιθέμεθα, οὐδὲ τὴν φωνὴν »παραιτούμενοι, τοῦ τῆς εἰρήνης σκοποῦ πρὸ ὀφθαλμῶν ἡμῶν κει»μένου καὶ τοῦ μὴ τῆς ὀρθῆς ἐκπεσεῖν διανοίας.

»Κατὰ ταῦτα δὲ καὶ τὸ »γεννηθέντα καὶ οὐ ποιηθέντα« κατεδεξά- 11

* 8—S. 54, 10 Niceph. H. E. VIII 22

A HN(n) GS(s) D [D von 3 *καὶ εἰς τὸ* an] L + FV(v) = z W [von 8 an]

1 *ἐνανθρωπήσαντα* Asv Athan. Socr. Gel. *καὶ ἐνανθρωπήσαντα* n > L | *παθόντα* > L | **4** *ἦν*[1] = Athan. Socr. Gel.] *ὅτι ἦν* L *ὅτι* übergeschrieben Ac | **5** *φάσκοντες* AV | **6** *τρεπτὸν Π ἢ κτιστὸν ἢ τρεπτὸν* Athan. Socr. Gel. | **8** *δὴ* (*ἡ* auf Rasur Ac) A | **9** *αὐτοῖς* = Athan. Socr. Gel.] *αὖθις* (*θισ* auf Rasur Ac) A | *τὸ*[2] > L | **10** *αὐτοῖσ* A Athan Socr. Gel. *αὖθισ* nszW, alte Variante | *καταλιμπάνομεν* AnSDAthan. Socr. Codd. AFCM *κατελιμπάνομεν* GLW Socr. Cod. T *καταλαμβάνομεν* Gel. | *ἐρωτήσεισ Π ἐπερωτήσεις* Athan. Socr. Gel. | **11** *ἐκινοῦντο* v | *ἐβασάνιζέν τε ὁ λόγοσ τὴν διάνοιαν* n Athan. Socr. *ἐβασανίζετο ὁ λόγοσ τῆσ διανοίασ* in A, *το ὁ* und die zwei letzten *σ* auf Rasur Ac *καὶ ἐβασανίζετο ὁ λόγοσ τὴν διάνοιαν* Gel. *ἐβασανίζετο* (+ *δὲ* W) *ὁ λόγοσ τῆσ διανοίασ* szW, s. 54, 1 | **12** *ὡμολογεῖτο* szW Athan. Gel. u. (*ει* auf Rasur Ac) A *ὡμολόγητο* n Socr. | **13** *τοῦ — εἶναι* > L | **14** *ταύτῃ*] *αὐτῇ* s *αὕτη* F *ταύτῃ δὲ* Athan. Socr. Gel. | **16** *τῆσ οὐσίασ αὐτοῦ* An Socr. Gel. *αὐτοῦ τῆσ οὐσίασ* sLvW Athan. Socr. Cod. T *αὐτοῦ ἐκ τῆσ οὐσίασ* D | **17** *τῇ* = Athan. Socr. Gel.] *ταύτῃ τῇ* A | *αὐτοῖσ* AG | *συνετιθέμεθα* A Athan. Gel. *συντιθέμεθα* nszW Socr. (aber *consensimus* Cass.) | **20** *καὶ οὐ ποιηθέντα* = Athan. Socr. Gel. > A | **20**—S. 51, 1 *κατεδεξάμεθα* > n

»μεθα. ἐπειδὴ τὸ ποιηθὲν κοινὸν ἔφασκον εἶναι πρόσρημα τῶν λοι-
»πῶν κτισμάτων τῶν διὰ τοῦ υἱοῦ γενομένων, ὧν οὐδὲν ὅμοιον ἔχειν
»τὸν υἱόν· διὸ δὴ μὴ εἶναι αὐτὸν ποίημα τοῖς δι᾽ αὐτοῦ γενομένοις
»ἐμφερές, κρείττονος δὲ ἢ κατὰ πᾶν ποίημα τυγχάνειν οὐσίας, ἣν ἐκ
»τοῦ πατρὸς γεγεννῆσθαι τὰ θεῖα διδάσκει λόγια, τοῦ τρόπου τῆς
»γεννήσεως καὶ ἀνεκφράστου καὶ ἀνεπιλογίστου πάσῃ γενητῇ φύσει
»τυγχάνοντος.

»Οὕτως δὲ καὶ τὸ ὁμοούσιον εἶναι τοῦ πατρὸς τὸν υἱὸν ἐξεταζό- 12
»μενος ὁ λόγος συνίστησιν, οὐ κατὰ τὸν τῶν σωμάτων τρόπον οὐδὲ
»τοῖς θνητοῖς ζῴοις παραπλησίως· οὔτε γὰρ κατὰ διαίρεσιν τῆς οὐ-
»σίας οὔτε κατὰ ἀποτομήν, ἀλλ᾽ οὐδὲ κατά τι πάθος ἢ τροπὴν ἢ
»ἀλλοίωσιν τῆς τοῦ πατρὸς δυνάμεως· τούτων γὰρ ἁπάντων ἀλλό-
»τριον εἶναι τὴν ἀγέννητον τοῦ πατρὸς φύσιν· παραστατικὸν δ᾽ εἶναι 13
»τὸ ὁμοούσιον τῷ πατρὶ τοῦ μηδεμίαν ἐμφέρειαν πρὸς τὰ γενητὰ
»κτίσματα τὸν υἱὸν τοῦ θεοῦ φέρειν, μόνῳ δὲ τῷ πατρὶ τῷ γεγεννη-
»κότι κατὰ πάντα τρόπον ἀφωμοιῶσθαι καὶ μὴ εἶναι ἐξ ἑτέρας τινὸς
»ὑποστάσεώς τε καὶ οὐσίας ἀλλ᾽ ἐκ τοῦ πατρός. ᾧ καὶ αὐτῷ, τοῦτον
»ἑρμηνευθέντι τὸν τρόπον, καλῶς ἔχειν ἐφάνη συγκατατίθεσθαι, ἐπεὶ
»καὶ τῶν παλαιῶν λογίους τινὰς καὶ ἐπιφανεῖς ἐπισκόπους καὶ συγ-
»γραφέας ἔγνωμεν ἐπὶ τῆς τοῦ πατρὸς καὶ υἱοῦ θεολογίας τῷ τοῦ
»ὁμοουσίου συγχρησαμένους ὀνόματι. ταῦτα μὲν περὶ τῆς ἐκτεθείσης 14
»εἰρήσθω πίστεως· ἣ συνεφωνήσαμεν οἱ πάντες, οὐκ ἀνεξετάστως
»ἀλλὰ κατὰ τὰς ἀποδοθείσας διανοίας ἐπ᾽ αὐτοῦ τοῦ θεοφιλεστάτου

14—16 vgl. unten IV 8, 8 — **19—21** s. oben S. 37, 11—14

A HN(n) GS(s) DL + FV(v) = z W

1 *ποιηθὲν* nsWAthan. Socr. Gel. *ποιηθέντα* Az | **3** *δὴ μὴ* szWAthan. Socr. Gel. *μὴ ////* A *δὴ* über *μὴ* geschrieben Ac *μηδὲ* n | **5** *γεγεννῆσθαι* AD | *διδάσκει τὰ θεῖα* ∾ A Socr. Codd. AFCM, Athan. Gel. Socr. Cod. T wie im Text | **6** *γενητῇ* v Athan. Socr. Gel. *γεννητῇ* die übr. HSS | **9** *συνίστησιν* nWAthan. Socr. *συνίστη* sDLF *ἵστη* (*συν* übergeschrieben Ac) A *συνίστα* V | *τὸν τῶν* DLW Athan. Socr. Gel. v (aber *τῶν* Fs) und (*ὁ* auf Rasur Ac) A *τὸν* nS *τῶν* G | **10** *οὔτε* = Athan. Socr. Gel.] *οὐδὲ* sv | **11** *οὔτε*] *οὐδὲ* v | *ἀλλ᾽* > v | **13** *τὴν ἀγέννητον τοῦ πρ̄σ* n Socr. Gel. *τὴν ἀγέννητον τοῦ πρ̄σ* Athan. *τὴν ἀγέννητον πρ̄σ* W *τὴν τοῦ ἀγεννήτου //// πρσ* corr. Ac *τὴν ἀγεννήτου πρσ* sz | **14** *τοῦ* = Socr. Codd. AM] *τὸ* G Athan. Socr. Codd. FCT Gel. | *μήτε μίαν* A | **15** *μόνῳ* n Athan. Socr. Gel. *μόνον* die übr. HSS | **16** *ἀφωμοιῶσθαι* nsLV Athan. Socr. *ἀφωμοιοῦσθαι* DF *ἀφομοιοῦσθαι* W Gel. *ὅμοιον* A | **17** *τε* An Athan. Socr. Gel. > szW | *τοῦ* szW Athan. Socr. Gel.] *τῆσ τοῦ* An, s. S. 51, 16 | *ᾧ*] *ὁ* L > v | *αὐτὸ* L | **21** *συγχρησαμένονσ* nszW Athan. Cod. Par. Socr. *συγχρήσαμένονσ* A *χρησαμένονσ* L Gel.

»βασιλέως ἐξετασθείσας καὶ τοῖς εἰρημένοις λογισμοῖς συνομολογη-
»θείσας.

»Καὶ τὸν ἀναθεματισμὸν δὲ τὸν μετὰ τὴν πίστιν πρὸς αὐτῶν 15
»τεθέντα δεκτὸν εἶναι ἡγησάμεθα, διὰ τὸ ἀπείργειν ἀγράφοις χρῆσθαι
»φωναῖς, δι' ἃς σχεδὸν ἡ πᾶσα γέγονε σύγχυσις καὶ ἀκαταστασία τῆς
»ἐκκλησίας. μηδεμιᾶς γοῦν θεοπνεύστου γραφῆς τῷ »ἐξ οὐκ ὄντων«
»καὶ τῷ »ἦν ποτε ὅτε οὐκ ἦν« καὶ τοῖς ἑξῆς ἐπιλεγομένοις κεχρημένης,
»οὐκ εὔλογον ἐφάνη ταῦτα λέγειν καὶ διδάσκειν. ᾧ καὶ αὐτῷ καλῶς 16
»δόξαντι συνεθέμεθα, ἐπεὶ μηδὲ ἐν τῷ πρὸ τούτου χρόνῳ τούτοις
»εἰώθειμεν συγχρῆσθαι τοῖς ῥήμασιν.

»Ἔτι μὴν τὸ ἀναθεματίζεσθαι τὸ »πρὸ τοῦ γεννηθῆναι οὐκ ἦν«
»οὐκ ἄτοπον ἐνομίσθη, τῷ παρὰ πᾶσιν ὁμολογεῖσθαι εἶναι αὐτὸν υἱὸν
»τοῦ θεοῦ καὶ πρὸ τῆς κατὰ σάρκα γεννήσεως. Ἤδη δὲ ὁ θεοφιλέ- 17
»στατος ἡμῶν βασιλεὺς τῷ λόγῳ κατεσκεύαζε καὶ κατὰ τὴν ἔνθεον
»αὐτοῦ γέννησιν τὸ πρὸ πάντων αἰώνων εἶναι αὐτόν, ἐπεὶ καὶ πρὶν
»ἐνεργείᾳ γεννηθῆναι δυνάμει ἦν ἐν τῷ πατρὶ ἀγεννήτως, ὄντος τοῦ
»πατρὸς ἀεὶ πατρός, ὡς καὶ βασιλέως ἀεὶ καὶ σωτῆρος καὶ δυνάμει
»πάντα ὄντος, ἀεί τε καὶ κατὰ τὰ αὐτὰ καὶ ὡσαύτως ἔχοντος. ταῦτα 18
»ὑμῖν ἀναγκαίως διεπεμψάμεθα, ἀγαπητοί, τὰ κεκριμένα τῆς ἡμετέρας
»ἐξετάσεώς τε καὶ συγκαταθέσεως φανερὰ καθιστῶντες, ὡς εὐλόγως
»τότε μὲν καὶ μέχρις ὑστάτης ὥρας ἱστάμεθα, ὅθ' ἡμῖν τὰ ἑτεροίως
»γραφέντα προσέκοπτε, τότε δὲ ἀφιλονείκως τὰ μὴ λυποῦντα κατε-

15/16 vgl. unten IV 8, 11

A HN (n) GS (s) DL + FV (v) = z W

3 *αὐτὸν* ASL | **4** *ἐκτεθέντα* Athan. Socr. Gel. | *δεκτὸν Π ἄλυπον* Athan. Socr. Codd. AFCM Cass. aber *ἄλυτον* Cod. T und Gel. | *χρῆσθαι* ADL Athan. Socr. Codd. MT Gel. *χρήσασθαι* nsvW Socr. Codd. AFC | **5** *δι' ἃς* = Socr. Cod. T Gel.] *δι' ἃ* v *διὸ* Athan. | *ἡ* A Athan. Socr. Gel. > nszW | *γέγονε* nsz Athan. Socr. Gel. *γεγόνει* A *ἐγεγόνει* W | **6** *τῷ* — **7** *τῷ* n Athan. Cod. Bas. Socr. Codd. AT *τὸ* — *τὸ* AszW Athan. Cod. Par. Socr. Codd. FCM Gel. | **8** *ὦ* n Athan. Socr. Gel. ///// A > szW | **9** *πρὸ* ///// A | **10** *εἰώθειμεν* A (aber *ει* auf Rasur Ac) nDLW *εἰώθημεν* sF *εἰώθαμεν* VFc Athan. Socr. Gel. | *συγχρῆσθαι* AszW Athan. Socr. Cod. T Gel. *συγκεχρῆσθαι* n | **11** *τοῦ*] *τούτου* A | **12** *πᾶσιν* n Athan. Gel. *πᾶσι μὲν* AszW | *αὐτὸν*] *τὸν* L | **13** *τοῦ* übergeschrieben Ac > n | *κατὰ* LsFm | **19** *τὰ κεκριμένα Π τὸ κεκριμένον* Athan. Socr. Gel. so vielleicht zu schreiben, s. unten zu *φανερὰ* | **20** *τε* > SDL | *φανερὰ* HLVW *φανερὸν* NsDF *φανερὸν ὑμῖν* Athan. Socr. Gel. *φανερὰν* A | *καθιστῶντες* Az Athan. Socr. Gel. *καθιστάντες* nsW | *ὡς Π καὶ ὡς* Athan. Socr. Gel. | **21** *τότε* An Athan. Socr. Gel. *ποτὲ* szW | *ἱστάμεθα Π ἐνιστάμεθα* Athan. Socr. Gel. | **22** *τότε* AnW Athan. Socr. Gel. *ὅτε* sz

»δεξάμεθα, ὅθ' ἡμῖν εὐγνωμόνως τῶν λόγων ἐξετάζουσι τὴν διάνοιαν »ἐμφανῆ σύμπραξιν ἔχειν ἔδοξε τοῖς ὑφ' ἡμῶν αὐτῶν ἐν τῇ προεκτε»θείσῃ πίστει ὡμολογημένοις.«

Ὅτι μὲν οὖν οὐ καινή τις ἡ τοῦ ὁμοουσίου πρόσρησις οὐδὲ ὑπὸ **13** *τῶν τότε συναθροισθέντων πατέρων ἐξευρεθεῖσα, ἀλλ' ἄνωθεν ἐκ προγόνων εἰς ἐγγόνους καταγομένη, σαφῶς μεμαρτύρηκεν ὁ Εὐσέβιος· ὅτι δὲ καὶ ἅπαντες οἱ τηνικαῦτα συναθροισθέντες συμφώνως τὴν ἐκτεθεῖσαν κατεδέξαντο πίστιν, κἀνταῦθα ἔφη καὶ πάλιν ἐν ἑτέρῳ συγγράμματι μαρτυρεῖ, τοῦ μεγάλου Κωνσταντίνου τὴν πολιτείαν εὐφημίαις γεραίρων. Λέγει δὲ οὕτως·*

»Ὁ μὲν δὴ ταῦτ' εἰπὼν Ῥωμαίᾳ γλώττῃ, ὑφερμηνεύοντος ἑτέρου, **2** »παρεδίδου τὸν λόγον τοῖς τῆς συνόδου προέδροις. ἐντεῦθεν δ' οἱ »μὲν ἀρξάμενοι κατητιῶντο τοὺς πέλας, οἱ δ' ἀπελογοῦντό τε καὶ »ἀντεμέμφοντο. πλείστων δῆτα ὑφ' ἑκατέρου τάγματος προτεινο»μένων πολλῆς τε ἀμφιλογίας τὰ πρῶτα συνισταμένης, ἀνεξικάκως »ἐπηκροᾶτο ὁ βασιλεὺς τῶν πάντων σχολῇ τε εὐτόνῳ τὰς προτάσεις »ὑπεδέχετο, ἐν μέρει τε ἀντιλαμβανόμενος τῶν παρ' ἑκάστου τάγματος »λεγομένων, ἠρέμα συνῆγε τοὺς φιλονείκως ἐνισταμένους, πράως τε »ποιούμενος τὰς πρὸς ἕκαστον ὁμιλίας ἑλληνίζων τε τῇ φωνῇ, ὅτι »μηδὲ ταύτης ἀμαθῶς εἶχε, γλυκερός τις ἦν καὶ ἡδύς, τοὺς μὲν συμ»πείθων, τοὺς δὲ καταδυσωπῶν τῷ λόγῳ, τοὺς δ' εὖ λέγοντας ἐπαι»νῶν, πάντας δὲ εἰς ὁμόνοιαν ἐλαύνων, ἕως ὅτε ὁμογνώμονας καὶ

11—S. 55, 4 Euseb. Vit. Const. III 13—14. vgl. Sozomen. I 20, 1 — **14**—S. 55, 4 bei Socrat. I 8, 21—24. Gelas. Cyzic. II 28

* **21**—S. 55, 1 Georg. Mon. 508, 17

A HN (n) GS (s) DL + FV (v) = z W [bis **3** *ὡμολογημένοις*]

1 *ὅθ'*] *ὅθεν* L *οὕτως* v | *εὐγνωμόνως* = Athan. Socr. Gel.] *συγγνωμόνως* A | *τῶν λόγων εὐγνωμόνως* ∾ s | **2** *ἐμφανῆ σύμπραξιν* (*συμπραξίαν* z) *ἔχειν ἔδοξε Π ἐφάνη συντρέχειν* Athan. Socr. Gel. | **2/3** *προσεκτεθείσῃ πίστει ὁμολογουμένοις* s | **4** *ιγ* am Rand HSS | *οὖν* > S, übergeschrieben A^{c} | **6** *ἐγγόνους* s | **8** *τεθεῖσαν* s | **10** *εὐφημία* sz | **11** *εὐσεβίου* A^{m} | **12** *δ'* Az Eus. > ns | **13** *πέλας* nszEus. *τόπους πέλας* A | *ἀπολογοῦντο* A | **15** *συνισταμένης τὰ πρῶτα* L | **16** *ὁ* = Socr. Gel. > S Eus. | *τε* ANDL Eus. Socr. Gel. *μὲν* sv > mit leerem Raum H | **17** *ἑκάστου Π ἑκατέρου* Eus. Socr. Gel. | **18** *συνῆγε Π* Socr. Gel. *συνήγαγε* Eus. | *ἐνισταμένους* = Eus. Socr. Gel.] *συνισταμένους* v | **20** *τις* nszEus. Socr. Gel. *δέ τις* A | **22** *ἐλαύνων* nsz Eus. Socr. Gel. *ἤλαυνεν* A | *ἕως ὅτε* AnsD Gel. *εἰσότε* Lv *εἰσόθ'* Eus.

»ὁμοδόξους αὐτοὺς ἐπὶ τοῖς ἀμφισβητουμένοις ἅπασι κατεστήσατο, ὡς »ὁμόφωνον μὲν κρατῆσαι τὴν πίστιν, τῆς δὲ σωτηρίου ἑορτῆς τὸν »αὐτὸν παρὰ τοῖς πᾶσιν ὁμολογηθῆναι καιρόν. ἐκυροῦτο δὲ ἤδη καὶ »ἐν γραφῇ δι' ὑποσημειώσεως ἑκάστου τὰ κοινῇ δεδογμένα.«

Καὶ μετὰ βραχέα πάλιν καὶ ταῦτα προστέθεικεν· 3
»Οὕτω δὴ συνταξάμενος ἐπὶ τὰ σφῶν οἰκεῖα τοὺς πάντας ἐπανι»έναι ἠφίει. οἱ δὲ ἐπανήεσαν σὺν εὐφροσύνῃ, ἐκράτει τε λοιπὸν »παρὰ τοῖς πᾶσι μία γνώμη, παρ' αὐτῷ βασιλεῖ συμφωνηθεῖσα, συνα»πτομένων ὥσπερ ὑφ' ἑνὶ σώματι τῶν ἐκ μακροῦ διῃρημένων. χαίρων 4
»δῆτα βασιλεὺς ἐπὶ τῷ κατορθώματι τοῖς μὴ παρατυχοῦσι τῇ συνόδῳ »καρπὸν εὐθαλῆ δι' ἐπιστολῶν ἐδωρεῖτο, λαοῖς τε ἅπασι τοῖς τε κατ' »ἀγροὺς καὶ τοῖς ἀμφὶ τὰς πόλεις χρημάτων ἀφθόνους διαδόσεις »ποιεῖσθαι παρεκελεύετο, ὡδέ πη γεραίρων τὴν ἑορτὴν τῆς εἰκοσα»ετοῦς βασιλείας.«

Ἔδει μὲν οὖν τοὺς τὰ Ἀρείου φρονοῦντας, εἰ καὶ τοῖς ἄλλοις 5
πατράσιν ἀντιλέγειν οὐκ ἐνόμιζον δυσσεβές, τούτῳ γοῦν πιστεύειν
ὃν θαυμάζειν εἰώθασι, σύμφωνον γεγενῆσθαι τὴν ὁμολογίαν ἐκείνην
διδάσκοντι. ἐπειδὴ δὲ καὶ πρὸς τὰς τῶν οἰκείων πατέρων διαμά-
χονται δόξας, ἐχρῆν τοῦ Ἀρείου τὴν αἰσχίστην μεμαθηκότας καὶ
φρίκης γέμουσαν τελευτὴν φυγεῖν παντὶ σθένει τὴν ὑπ' ἐκείνου
τεχθεῖσαν ἀσέβειαν. ἐπειδὴ δὲ εἰκὸς μὴ πάντας εἰδέναι τοῦ θανάτου
τὸν τρόπον, ἐγὼ καὶ τοῦτον ὡς ἐγένετο διηγήσομαι.
Πλεῖστον οὗτος ἐν Ἀλεξανδρείᾳ διατρίψας χρόνον ἐπικωμάσαι **14**

6—14 Euseb. Vit. Const. III 21—22

* **6—14** Gelas. Cyzic. II 36

A HN(n) GS(s) DL + FV(v) = z

4 *ἐν γραφῇ δι'* S Eus. *ἐνγραφίδι* Gz *ἐγγραφίδι* A aber *ἰδι* auf Rasur Ac *ἐγγραφῇ* n *ἐγγράφως δι'* Socr. Gel. | **5** *καὶ*²] *κατὰ* A | **7** *ἐπανίεσαν* An | **7** *λοιπὸν* nsz Eus. Gel. *τὸ λοιπὸν* A | **8** *παρ' αὐτῷ* SDL Eus. Gel. /// *παρ' αὐτῷ* /// A *παρὰ τῷ* Gv *ἡ παρὰ τῷ* n | **9/10** *χαίρων δῆτα* ADL Eus. Gel. *χαίρων δὴ* sv *καὶ δὴ χαίρων* n | **10** *βασιλεὺς* AsDv Eus. *ὁ βασιλεὺς* nL Gel. | **11** *ἐπιστολῶν* nsv Eus. Gel. *ἐπιστολῆσ* ADL | *πᾶσι* A | **12/13** *ποιεῖσθαι διαδόσεις* ∾ A, Eus. Gel. wie im Text | **13** *παρεκελεύετο* A Eus. Gel. *διεκελεύετο* nsz | *ὡδ' ἐπιγεραίρων* v | *ἑορτὴν* > v und **14** nach *βασιλείας* + *ἀρχήν* V | **15** *ιδ* am Rand sF | *οὖν* > A | **18** *δὲ* > s | **19** *τοῦ* An] *γοῦν* sDv und, nach *Ἀρείου* ∾, L | **23** *ιδ* am Rand AnDL | vor *χρόνον* + *τὸν* A

πάλιν τοῖς ἐκκλησιαστικοῖς συλλόγοις ἐβούλετο, ἀρνούμενος τὴν ἀσέβειαν καὶ τὴν ἐκτεθεῖσαν ὑπὸ τῶν πατέρων ὁμολογίαν ὑπισχνούμενος δέχεσθαι. ὡς δὲ οὔτε τὸν θεῖον Ἀλέξανδρον ἔπεισεν, οὔτε μὴν 2
Ἀθανάσιον τὸν τῆς ἐκείνου καὶ προεδρίας καὶ εὐσεβείας διάδοχον, πάλιν διὰ τῆς Εὐσεβίου τοῦ Νικομηδέως σπουδῆς εἰς τὴν Κωνσταντινούπολιν ἔδραμεν. τὰ δ' ὑπ' ἐκείνου τυρευθέντα καὶ ὑπὸ τοῦ δικαίου ψηφισθέντα κριτοῦ, ἄμεινον ὁ πάντα ἄριστος Ἀθανάσιος ἐν τοῖς πρὸς Ἀπίωνα διηγήσατο γράμμασιν. ἐγὼ δὲ καὶ τοῦτο τὸ μέρος ἐντάξω τῇ συγγραφῇ.

»Ἐγὼ μὲν οὐ παρήμην ἐν τῇ Κωνσταντινουπόλει ὅτε τετελεύ- 3
»τηκεν ἐκεῖνος, Μακάριος δὲ ὁ πρεσβύτερος παρῆν κἀκείνου λέγοντος »ἤκουσα. ἐκέκλητο μὲν παρὰ Κωνσταντίνου τοῦ βασιλέως Ἄρειος ἐκ »σπουδῆς τῶν περὶ Εὐσέβιον. εἰσελθόντα δὲ τὸν Ἄρειον ἀνέκρινεν »ὁ βασιλεὺς εἰ τὴν πίστιν τῆς καθολικῆς ἐκκλησίας ἔχοι. αὐτός τε »οὖν ὤμοσε πιστεύειν ὀρθῶς καὶ ἔγγραφον ἐπιδέδωκε πίστεως, κρύψας »μὲν ἐφ' οἷς ἐξεβλήθη τῆς ἐκκλησίας ὑπὸ Ἀλεξάνδρου τοῦ ἐπισκόπου, »ὑποκρινόμενος δὲ τὰς ἀπὸ τῶν γραφῶν λέξεις. ὁμόσαντα τοίνυν 4
»αὐτὸν μὴ πεφρονηκέναι ἐφ' οἷς ἐξέβαλεν αὐτὸν Ἀλέξανδρος, ἀπέ»λυσεν εἰρηκώς· »εἰ ὀρθή σού ἐστιν ἡ πίστις, καλῶς ὤμοσας· εἰ δὲ »ἀσεβής ἐστιν ἡ πίστις σου καὶ ὤμοσας, ὁ θεὸς ἐκ τοῦ οὐρανοῦ κρίναι »τὰ κατὰ σέ«. οὕτω δὴ οὖν αὐτὸν ἐξελθόντα παρὰ τοῦ βασιλέως »ἠθέλησαν εἰσαγαγεῖν εἰς τὴν ἐκκλησίαν οἱ περὶ Εὐσέβιον τῇ συνήθει »αὐτῶν βίᾳ. ἀλλ' ὁ τῆς Κωνσταντινουπόλεως ἐπίσκοπος, ὁ μακα- 5

3—6 vgl. Socrat. I 37, 1—3. Sozomen. II 18, 2. II 29, 1. Rufin. H. E. X 12 (S. 978, 1—3) und 13 — **5**—S. 58, 12 vgl. Theodoret. Haeret. Fabul. IV 1 PG 83, 413 D f. — **10**—S. 58, 12 Athanas. Epist. ad Serapionem 2—4

* **7**—S. 57, 18 Nicetas Thesaur. V 11 PG 139, 1372 A

A HN (n) GS (s) DL + FV (v) = z

3 *οὔτε*[1]] *οὐδὲ* nsv | nach *θεῖον* + *ἐκεῖνον* A | **4** *καὶ*[1] > A | nach *προεδρίας* + *καὶ ἀνδρείας* Gaisford aus Versehen | **8** *ἀπίωνα Π ἀππίωνα* Cod. Nicet. *Σεραπίωνα* Athan. | **10** *μὲν* AnsD Athan. Nicet. *μὲν οὖν* Lv *οὖν* übergeschrieben Ac | **13** *τῶν*] *τὸν* AD | *εἰσελθόντα* — **14** *βασιλεὺς* > V | *τὸν Ἄρειον* AnsDFAthan. *αὐτὸν* LAc Cod. Nicet. | **14** *ἔχοι* AnsDL Cod Nicet. *ἔχει* v Athan. | **16** *οἷς* auf Rasur Ac | **17** *ὑποκρινόμενος* Nsv Athan. *ὑποκρινάμενος* AHDL Cod. Nicet., aber in A scheint *α* aus *ο* corr. von Ac | **19** *ἐστιν ἡ πίστις* = Athan.] *ἡ πίστις ἐστὶν* A, *β* und *α* von Ac | *καλῶς* — **20** *σου* am Rand Ac | **20** *οὐρανοῦ Π* Cod. Nicet. *ὅρκου* Athan. | **22** vor *εἰς* + *αὐτὸν* A, fehlt in Athan. | **23** *ὁ*[2] übergeschrieben Ac

›ρίτης Ἀλέξανδρος, ἀντέλεγε φάσκων μὴ δεῖν εἰς κοινωνίαν δεχθῆναι
›τὸν τῆς αἱρέσεως εὑρετήν. καὶ λοιπὸν οἱ περὶ Εὐσέβιον ἠπείλησαν
›ὅτι· »ὥσπερ μὴ θελόντων ὑμῶν ἐποιήσαμεν αὐτὸν κληθῆναι παρὰ
›βασιλέως, οὕτως αὔριον, κἂν μὴ κατὰ γνώμην σου τυγχάνῃ, συνα-
›χθήσεται Ἄρειος μεθ' ἡμῶν ἐν τῇ ἐκκλησίᾳ ταύτῃ«. Σάββατον δὲ
›ἦν ὅτε ταῦτα ἔλεγεν.

›Ὁ τοίνυν ἐπίσκοπος Ἀλέξανδρος, ἀκούσας ταῦτα καὶ πάνυ λυπη- 6
›θεὶς εἰσελθὼν εἰς τὴν ἐκκλησίαν, τὰς χεῖρας ἄρας πρὸς τὸν θεὸν
›ἀπωδύρετο, καὶ ῥίψας ἑαυτὸν ἐπὶ πρόσωπον ἐν τῷ ἱερατείῳ, κείμενος
›ἐπὶ τοῦ ἐδάφους ηὔχετο. παρῆν δὲ καὶ Μακάριος εὐχόμενος σὺν
›αὐτῷ καὶ ἀκούων τῆς φωνῆς αὐτοῦ. παρεκάλει δὲ δύο ταῦτα λέγων· 7
›»εἰ Ἄρειος αὔριον συνάγεται, ἀπόλυσον ἐμὲ τὸν δοῦλόν σου καὶ μὴ
›συναπολέσῃς εὐσεβῆ μετὰ ἀσεβοῦς· εἰ δὲ φείδῃ τῆς ἐκκλησίας σου
›(οἶδα δὲ ὅτι φείδῃ), ἔπιδε ἐπὶ τὰ ῥήματα τῶν περὶ Εὐσέβιον καὶ μὴ
›δῷς εἰς ἀφανισμὸν καὶ ὄνειδος τὴν κληρονομίαν σου καὶ ἄρον
›Ἄρειον, ἵνα μὴ εἰσελθόντος αὐτοῦ εἰς τὴν ἐκκλησίαν δόξῃ καὶ ἡ
›αἵρεσις συνεισέρχεσθαι αὐτῷ καὶ λοιπὸν ἡ ἀσέβεια νομισθῇ ὡς εὐσέ-
›βεια«. ταῦτα εὐξάμενος, ὁ ἐπίσκοπος ἀνεχώρησε πάνυ φροντίζων.
›καὶ γέγονέ τι θαυμαστὸν καὶ παράδοξον. τῶν γὰρ περὶ Εὐσέβιον 8
›ἀπειλησάντων, ὁ μὲν ἐπίσκοπος προσηύξατο, ὁ δὲ Ἄρειος ἐθάρρει
›τοῖς περὶ Εὐσέβιον· πολλά τε φλυαρῶν εἰσῆλθεν εἰς καθέδρας, ὡς
›διὰ χρείαν τῆς γαστρός, καὶ ἐξαίφνης, κατὰ τὸ γεγραμμένον,
›»πρηνὴς γενόμενος ἐλάκησε μέσος«, καὶ πεσὼν εὐθὺς ἀπέψυξεν
›ἀμφοτέρων τε τῆς κοινωνίας καὶ τοῦ ζῆν ἀπεστερήθη.

14 f Joel 2, 17. vgl. Judith 4, 12 — **23** Act. 1, 18
* **21**—S. 58, 4 Georg. Mon. 534, 15

A HN(n) GS(s) DL + FV(v) = z

1 *ἀντέλεγε φάσκων* AszAthan. *ἀντέφασκε* n | **3** *παρὰ*] *παρὰ τοῦ* DL | **4** *τυγχάνει* AL | **6** *ἔλεγεν* AnsL *ἐλέγετο* V Cod. Nicet. *ἔλεγον* DF Athan., wohl richtig | **7** *Ἀλέξανδρος ἐπίσκοπος* ∼ + *κωνσταντινουπόλεως* n, Athan. wie im Text | **8** *τὰς*] *καὶ τὰσ* n *τάσ τε* Athan. | *πρὸς τὸν θεὸν ἄρας* ∼ n *ἐκτείνας πρὸς τὸν θεὸν* Athan. | **9** *ἀπωδύρετο* nszAthan. *ἀπωδύρατο* A | **10** *ὁ μακάριοσ* n | **11** *τῆσ φωνῆσ αὐτοῦ ἀκούων* n *ἀκούσας τῆς φωνῆς αὐτοῦ* Athan. | **12** *μὴ, ἡ* auf Rasur A | **14** *φείδῃ* nDLAthan. *φείδῃ τῆσ ἐκκλησίασ* Asv, aber *τῆσ ἐκκλησίασ* gestrichen in A | *περὶ* nsDv Cod. Nicet. Athan. *περὶ τὸν* AL | **15** *δὸς* s | **17** *καὶ λοιπὸν* ADL Athan. *λοιπὸν καὶ* sv *καὶ λοιπὸν καὶ* n | *νομισθῇ* Asz Athan. *συνεισέλθῃ αὐτῷ* n | **18** *ἀνεχώρησε* — **20** *ἐπίσκοπος* > D | **19** *θαυμαστὸν καὶ* Athan. *θαῦμα καὶ* Ns *θαῦμα* ALv *θαῦμα φρικτὸν καὶ* H | **21** *καθέδραν* s *θάκας* Athan. | **22** *ἐξαίφνησ* nsz Athan. Georg. *εὐθέωσ* A | **23** *γενάμενοσ* A | *ἐλάκισε* ns

»Τὸ μὲν οὖν τέλος τοῦ Ἀρείου τοιοῦτον γέγονε. καὶ οἱ περὶ 9
»Εὐσέβιον μεγάλως αἰσχυνθέντες ἔθαψαν τὸν ὁμόφρονα ἑαυτῶν· ὁ δὲ
»μακαρίτης Ἀλέξανδρος χαιρούσης τῆς ἐκκλησίας τὴν σύναξιν ἐπετέ-
»λεσεν ἐν εὐσεβείᾳ καὶ ὀρθοδοξίᾳ, σὺν πᾶσι τοῖς ἀδελφοῖς εὐχόμενος
»καὶ δοξάζων μεγάλως τὸν θεόν, οὐχ ὡς ἐπιχαίρων τῷ θανάτῳ, μὴ
»γένοιτο· πᾶσι γὰρ »ἀπόκειται τοῖς ἀνθρώποις ἅπαξ ἀποθα-
»νεῖν«, ἀλλ' ὅτι τοῦτο ὑπὲρ τὰς ἀνθρώπων κρίσεις ἐδείχθη. αὐτὸς 10
»γὰρ ὁ κύριος, δικάσας ταῖς ἀπειλαῖς τῶν περὶ Εὐσέβιον καὶ τῇ εὐχῇ
»Ἀλεξάνδρου, κατέκρινε τὴν Ἀρειανὴν αἵρεσιν, δείξας αὐτὴν ἀναξίαν
»οὖσαν τῆς ἐκκλησιαστικῆς κοινωνίας καὶ πᾶσι φανερώσας ὅτι, κἂν
»παρὰ βασιλέως καὶ πάντων ἀνθρώπων ἔχῃ τὴν μαρτυρίαν καὶ τὴν
»προστασίαν, ἀλλὰ παρ' αὐτῆς τῆς ἀληθείας κατεκρίθη.«

Τοιαῦτα τῶν πονηρῶν σπερμάτων ὁ Ἄρειος δρεψάμενος δράγ- 11
ματα καὶ τῶν ἐσομένων κολαστηρίων ἰδὼν τὰ προαύλια, τῆς οἰκείας
ἀσεβείας διὰ τῆς τιμωρίας κατηγόρει.

Ἐγὼ δὲ ἐπὶ τὴν τῆς βασιλικῆς εὐσεβείας διήγησιν τρέψομαι. 12
πᾶσι γὰρ τοῖς ὑπὸ τὴν Ῥωμαίων τελοῦσιν ἡγεμονίαν ἐπέστειλε δή-
μοις, τῆς μὲν προτέρας αὐτοὺς ἐξαπάτης ἀπαλλαγῆναι παρεγγυῶν,
τὴν δὲ τοῦ σωτῆρος ἡμῶν μεταμαθεῖν διδασκαλίαν προτρέπων καὶ
ἐπὶ ταύτην ἅπαντας τὴν ἀλήθειαν ξεναγῶν. τοὺς δέ γε κατὰ πόλιν
ἐπισκόπους ἐπὶ τὰς τῶν ἐκκλησιῶν οἰκοδομίας διήγειρεν, οὐ γράμμασι
μόνοις ἐπὶ τοῦτο προτρέπων, ἀλλὰ καὶ χρήματα φιλοτίμως δωρού-
μενος καὶ τὰ τῆς οἰκοδομίας δαπανήματα χορηγῶν. δηλοῖ δὲ καὶ
τὰ γραφέντα, τοῦτον ἔχοντα τὸν τρόπον·

67 Hebr. 9, 27 — **17—24** vgl. Euseb. Vit. Const. II 45

* **17—23** Niceph. H. E. VIII 26 — **17**—S. 65, 21 Gelas. Cyzic. III 2—7

A HN(n) GS(s) DL + FV(v) = z T [von **17** *πᾶσι* an]

2 *ὁμόφρονα Π* aber auf Rasur A *συνομότην* Athan. | **3** *σύνταξιν* L | **4** *συμπᾶσι* DL | **5** *μεγάλως τὸν θεόν* A Athan. *τὸν θεὸν μεγάλως* nsz | **8** *ταῖς ἀπειλαῖς δικάσας* n, Athan. wie im Text | **11** *καὶ*[1] auf Rasur A | *ἔχῃ, η* auf Rasur A | *μαρτυρίαν καὶ τὴν* > D Athan. | **12** *παρ' αὐτῆς* nsz Athan. *παρὰ* A | *ἀληθείας*] *ἐκκλησίας* Athan. | **13** *ιε* am Rand F | **14** nach *τῶν* + *μὲν* A | *ἰδὼν* übergeschrieben Ac | **15** *διὰ τῆς τιμωρίας* am Rand Ac | **16** *Ἐγὼ*: *ιε* am Rand sDL | **17** *τὴν* nsz Gel. *τῶν* AT | **18** *ἐξαπάτης* nach *παρεγγυῶν* ∽ T | **19** *μεταμαθεῖν* = Gel.] *μαθεῖν* n | **20** *ἐπὶ* — **21** *οἰκοδομίας* teils auf Rasur und teils am Rand Ac | *ξεναγωγῶν* DF | **22** *μόνοις* Az Gel. *μόνον* nsT

»*Νικητὴς Κωνσταντῖνος Μέγιστος Σεβαστὸς Εὐσεβίῳ.* 15
Ἕως τοῦ παρόντος χρόνου τῆς ἀνοσίου βουλήσεως καὶ τυραννί-
»δος τοὺς ὑπηρέτας τοῦ σωτῆρος θεοῦ διωκούσης, πεπίστευκα καὶ
»ἀκριβῶς ἐμαυτὸν πέπεικα πασῶν τῶν ἐκκλησιῶν τὰ ἔργα ἢ ὑπὸ
»ἀμελείας διεφθάρθαι ἢ φόβῳ τῆς ἐπικειμένης ἀδικίας ἐλάττονα τῆς
»ἀξίας γεγενῆσθαι, ἀδελφὲ προσφιλέστατε. νυνὶ δὲ τῆς ἐλευθερίας
»ἀποδοθείσης καὶ τοῦ δράκοντος ἐκείνου ἀπὸ τῆς τῶν κοινῶν διοι-
»κήσεως θεοῦ τοῦ μεγίστου προνοίᾳ ἡμετέρᾳ δὲ ὑπηρεσίᾳ διωχθέντος,
»ἡγοῦμαι καὶ πᾶσι φανερὰν γεγενῆσθαι τὴν θείαν δύναμιν, καὶ τοὺς
»ἢ φόβῳ ἢ ἀπιστίᾳ ἢ ἁμαρτήμασί τισι περιπεσόντας ἐπιγνόντας τε
»τὸν ὄντως ὄντα ἥξειν ἐπὶ τὴν ἀληθῆ καὶ ὀρθὴν τοῦ βίου κατά-
»στασιν. ὅσων τοίνυν ἢ αὐτὸς προϊστασαι ἐκκλησιῶν ἢ ἄλλους τοὺς 2
»κατὰ τόπον προϊσταμένους ἐπισκόπους πρεσβυτέρους τε ἢ διακόνους
»οἶσθα, ὑπόμνησον σπουδάζειν περὶ τὰ ἔργα τῶν ἐκκλησιῶν, ἢ ἐπαν-
»ορθοῦσθαι τὰ ὄντα ἢ εἰς μείζονα αὔξειν ἢ ἔνθα ἂν ἡ χρεία ἀπαιτῇ
»καινὰ ποιεῖν. αἰτήσεις δὲ καὶ αὐτὸς καὶ διὰ σοῦ οἱ λοιποὶ τὰ ἀναγ-
»καῖα παρά τε τῶν ἡγεμονευόντων καὶ τῆς ἐπαρχικῆς τάξεως. τού-
»τοις γὰρ ἐπεστάλη πάσῃ σπουδῇ ἐξυπηρετήσασθαι τοῖς ὑπὸ τῆς σῆς
»ὁσιότητος λεγομένοις. ὁ θεὸς διαφυλάξει σε, ἀδελφὲ ἀγαπητέ.«

Ταῦτα μὲν οὖν περὶ τῆς τῶν ἐκκλησιῶν οἰκοδομίας πρὸς τοὺς 3
καθ' ἑκάστην ἐπαρχίαν ἐπισκόπους ἐπέστειλεν. ὁποῖα δὲ καὶ περὶ
τῆς τῶν ἱερῶν βιβλίων κατασκευῆς πρὸς Εὐσέβιον ἔγραψε τὸν Πα-
λαιστῖνον ἐξ αὐτῶν τῶν γραμμάτων καταμαθεῖν εὐπετές.

1—S. 60, 23 bei Socrat. I 9, 46 f. — **1—19** bei Euseb. Vit. Const. II 46

* **1**—S. 60, 23 Niceph. H. E. VIII 27

A HN(n) GS(s) DL + FV(v) = z T W

1 ιε̄ am Rand A | *μέγιστος κωνσταντῖνος* A, Gel. Socr. Eus. wie im Text | **2** *βουλήσεως, ης* auf Rasur Ac | **3** *σωτῆρος θεοῦ* W Socr. Eus. Cod. V *σῶρς χῡ* A *σῶς* ns Eus. übr. Codd. *θεοῦ* zT *θεοῦ καὶ σωτῆρος ἡμῶν* Gel. | **5** *ἀδικίας Π* aber in A auf Rasur Ac *ἐνεργείας* Gel. Socr. Eus. | *ἐλάττονα* nszTW Socr. Eus. *ἔλαττον* A | **8** *διωχθέντος* AzTW Gel. Socr. Eus. Cod. V *ἐκδιωχθέντος* ns Eus. Codd. JMBA | **9** *καὶ πᾶσι* = Socr. Eus.] *πᾶσι* A Gel. | *φανερὰν* = Gel. Socr. Eus.] *φανερὸν* AG | **10** *ἢ*[3] *Π* Gel. Socr. > Eus. | *τισι* = Gel. Socr. Eus. > AW | **11** *τὸν ὄντως ὄντα Π τὸν ὄντως ὄντα θεὸν* Gel. Socr. *τὸ ὄντως ὂν* Eus. | **12** *ὅσῶ* A *ὅσον* T | *προϊστασθαι* L | **13** *ἢ* = Gel. Socr. Eus.] *καὶ* A | **14** *οἶσθα* ' A | **15** *ἀπαιτεῖ* AGT | **16** *καινὰ ποιεῖν*] *καὶ ἀναποιεῖν* T | **18** *γὰρ* > T | **19** *διαφυλάξει* HGLvT *διαφυλάξῃ* S *διαφυλάξοι* NW Socr. *διαφυλάττοι* D *διαφυλάξαι* A | **20** ιε̄ am Rand LF | *οἰκοδομίας* Ansz Gel. *οἰκοδομῆς* TW Socr. | **22** *βίβλων* T | **23** *εὐπετές* = Socr.] *εὐπρεπέσ* T *εὐχερέσ* am Rand Fc, Gel.

»*Νικητὴς Κωνσταντῖνος Μέγιστος Σεβαστὸς Εὐσεβίῳ.* **16**

»*Κατὰ τὴν ἐπώνυμον ἡμῖν πόλιν, τῆς τοῦ σωτῆρος θεοῦ συν-*
»*αιρομένης προνοίας, μέγιστον πλῆθος ἀνθρώπων τῇ ἁγιωτάτῃ ἐκ-*
»*κλησίᾳ ἀνατέθεικεν ἑαυτό. ὡς πάντων ἐκεῖσε πολλὴν λαβόντων*
»*αὔξησιν σφόδρα ἄξιον καταφαίνεσθαι καὶ ἐκκλησίας ἐν αὐτῇ κατα-*
»*σκευασθῆναι πλείους. τοιγάρτοι δέδεξο προθυμότατα τὸ δόξαν τῇ* **2**
»*ἡμετέρᾳ προαιρέσει. πρέπον γὰρ κατεφάνη δηλῶσαι τοῦτο τῇ σῇ*
»*συνέσει, ὅπως ἂν πεντήκοντα σωμάτια ἐν διφθέραις ἐγκατασκεύοις*
»*εὐανάγνωστά τε καὶ πρὸς τὴν χρῆσιν εὐπαρακόμιστα ὑπὸ τεχνιτῶν*
»*καλλιγράφων καὶ ἀκριβῶς τὴν τέχνην ἐπισταμένων γραφῆναι κελεύ-*
»*σειας, τῶν θείων δηλαδὴ γραφῶν, ὧν μάλιστα τήν τε ἐπισκευὴν*
»*καὶ τὴν χρῆσιν τῷ τῆς ἐκκλησίας λόγῳ ἀναγκαίαν εἶναι γινώσκεις.*
»*ἀπέσταλται δὲ γράμματα παρὰ τῆς ἡμετέρας ἡμερότητος πρὸς τὸν* **3**
»*τῆς διοικήσεως καθολικόν, ὅπως ἂν πάντα τὰ πρὸς τὴν ἐπισκευὴν*
»*αὐτῶν ἐπιτήδεια παρασχεῖν φροντίσειεν. ἵνα γὰρ ὡς τάχιστα τὰ*
»*γραφέντα σωμάτια κατασκευασθείη, τῆς σῆς ἐπιμελείας ἔργον τοῦτο*
»*γενήσεται. καὶ γὰρ δύο δημοσίων ὀχημάτων ἐξουσίαν εἰς διακομιδὴν*
»*ἐκ τῆς αὐθεντίας τοῦ γράμματος ἡμῶν τούτου λαβεῖν σε προσήκει.*
»*οὕτω γὰρ ἂν μάλιστα τὰ καλῶς γραφέντα καὶ μέχρι τῶν ἡμετέρων* **4**
»*ὄψεων ῥᾷστα διακομισθείη, ἑνὸς δηλαδὴ τοῦτο πληροῦντος τῶν ἐκ*
»*τῆς σῆς ἐκκλησίας διακόνων, ὃς ἐπειδὰν ἀφίκηται πρὸς ἡμᾶς, τῆς*
»*ἡμετέρας πειραθήσεται φιλανθρωπίας. ὁ θεός σε διαφυλάξει, ἀδελφὲ*
»*ἀγαπητέ.«*

1—23 bei Euseb. Vit. Const. IV 36

* **1**—S. 61, 14 Cass. II 16 (aber vielleicht 1—23 = Socrat.)

A HN(n) G DL + FV(v) = z T W

1 ιε̄ am Rand A | *Μέγιστος* > A | *Σεβαστὸς* > T, *pius* Cass. | **2** *ἡμῖν* Anz Socr. Eus. *ἡμῶν* sTWGel. | *τῆς* > A | **2/3** *συναιρουμένης* AG | **4** *ἑαυτῶ* ANTW | **6** *δέδεξο* = Gel. Eus.] *δέδοξο* s > Socr. Codd. Cass. | **7** *πρέπον γὰρ κατεφάνη* nVW Eus. *πρέπον κατεφάνη* sDLF Socr. Codd. (aber *καὶ πρέπον κατεφάνη* Cod. A) und (mit *τοῦτο* vor *κατεφάνη* ∼) Gel. *decuit* Cass. *ὃ καὶ πρέπον κατεφάνη* A *κατεφάνη δὲ πρέπον* T | *δηλῶσαι τοῦτο* AnszW Socr. *τοῦτο δηλῶσαι* T Eus. | **8** *ἐνκατασκεύοις* A | **9** *εὔγνωστά* v | *καὶ πρὸς — εὐπαρακόμιστα* = Gel. Socr.] *καὶ πρὸς — εὐμετακόμιστα* Eus. > A | **11** *τε* = Gel. Eus. > AW Socr. | **12** *τῶν τ. ἐ. λόγων* AW | **14** *ἂν πάντα Π* Socr.] *ἅπαντα* Gel. Eus. Codd. | **15** *γὰρ ὡς*] *ὡσ γὰρ* A *ὡσ δὲ* T, *ut enim* Cass. | **15/16** *γραφέντα τὰ* ∼ T | **16/17** *τοῦτο γενήσεται* ATWGel. Socr. Eus. *γενήσεται τοῦτο* nsz | **19** *ἂν* > T | *τὰ* = Socr. Eus. > AW Gel.

Ἱκανὰ μὲν οὖν καὶ ταῦτα τεκμηριῶσαι. μᾶλλον δὲ διδάξαι σαφῶς, 5
ὅπως ὁ πανεύφημος βασιλεὺς πᾶσαν εἰς τὰ θεῖα μετατέθεικε τὴν
σπουδήν.

Προσθήσω δὲ ὅμως τοῖς εἰρημένοις τὰ περὶ τὸν σωτήριον αὐτῷ
τάφον κατωρθωμένα. μαθὼν γὰρ ὡς οἱ κορυβαντιῶντες καὶ περὶ
τὴν τῶν εἰδώλων θεραπείαν βεβακχευμένοι τὸν μὲν δεσποτικὸν κατέ-
χωσαν τάφον, λήθῃ παραδοῦναι φιλονεικοῦντες τῆς σωτηρίας τὴν
μνήμην, ἐπὶ τούτῳ δὲ νεὼν τῆς ἀκολάστου δαίμονος ἐδομήσαντο,
ταῖς παρθενικαῖς ὠδῖσιν ἐπιτωθάζοντες, καταλυθῆναι μὲν προσέταξε
τὸ μυσαρὸν οἰκοδόμημα, τὸν δὲ χοῦν ἐκεῖνον τὸν ἐναγέσι μολυνθέντα
θυσίαις ἐκφορηθῆναι καὶ πόρρω που ῥιφῆναι τοῦ ἄστεος, εἶτα νεὼν
οἰκοδομηθῆναι μέγιστόν τε καὶ κάλλιστον. δηλοῖ δὲ ταῦτα σαφέ- 6
στερον ἡ ἐπιστολὴ ἣν πρὸς τὸν πρόεδρον τῆς ἐκκλησίας ἐκείνης
ἐπέστειλεν. Μακάριος δὲ ἦν οὗτος, οὗ καὶ πρόσθεν ἐμνήσθημεν, ὃς
καὶ τῆς μεγάλης κεκοινωνήκει συνόδου καὶ τὴν Ἀρείου σὺν τοῖς ἄλλοις
κατηγωνίσατο βλασφημίαν.

»Νικητὴς Κωνσταντῖνος Μέγιστος Σεβαστὸς Μακαρίῳ. 17

»Τοσαύτη τοῦ σωτῆρος ἡμῶν ἐστιν ἡ χάρις ὡς μηδεμίαν λόγων
»χορηγίαν τοῦ παρόντος θαύματος ἀξίαν εἶναι δοκεῖν. τὸ γὰρ γνώ-
»ρισμα τοῦ ἁγιωτάτου ἐκείνου πάθους ὑπὸ τῇ γῇ πάλαι κρυπτόμενον
»τοσαύταις ἐτῶν περιόδοις λαθεῖν, ἄχρις οὗ διὰ τῆς τοῦ κοινοῦ πάν-
»των ἐχθροῦ ἀναιρέσεως ἐλευθερωθεῖσι τοῖς ἑαυτοῦ θεράπουσιν ἀνα-
»λάμπειν ἔμελλε, πᾶσαν ἔκπληξιν ὡς ἀληθῶς ὑπερβαίνει. εἰ γὰρ 2
»πάντες οἱ διὰ πάσης τῆς οἰκουμένης εἶναι δοκοῦντες σοφοὶ εἰς ἓν

5—14 vgl. Euseb. Vit. Const. III 25—27 — **14** oben S. 7, 21. 27, 14 — **17—S.** 63, 19 bei Socrat. I 9, 56—63. Euseb. Vit. Const. III 30—32

* **1—S.** 63, 19 Niceph. H. E. VIII 28

A HN(n) GS(s) DL + FV(v) = z T [von **5** *μαθὼν* an] W [von **17** an]

1 ιξ̄ am Rand sLv | **2** *μετατέθεικε* nsz Gel. *μετέθηκε* A | **6** *τὴν* > A | **8** *ἐπὶ τούτοις* A | nach *ἐδομήσαντο* + *ἀφροδίτης* TNic. *id est Veneris* Cass. + *Ἀφροδίτης* vor *ἐδομήσαντο* Gel.; vgl. Eus.: *Ἀφροδίτης ἀκολάστῳ δαίμονι* III 26, s. aber unten III 21, 7 | **9** *προσέταξε* = Gel. *praecepit* Cass.] *ἔταξεν* L *εἶπε* T | **10** *μυσερὸν* NS | **11** *ἐκπεφορηθῆναι* A | **14** *ἐπέστειλεν* AszT Gel. *ἀπέστειλεν* n Nic. | **16** nach *βλασφημίαν* + *ἔστι δὲ αὕτη* n | **17** ιξ̄ am Rand A | *σεβαστὸς* nszTW Gel. Socr. Eus. > A | **18** *ἡ χάρις ἐστὶν* ∾ s | **20** *ἐκείνου πάθους*] *πάθους ἐκείνου* N *πάθους* H | **21** *λαθεῖν* szW Socr. Eus. *ἔλαθεν* nT *λαθεῖν* (*ει* aus *ε* corr. Ac) A | **22** *ἐχθροῦ* übergeschrieben Ac | **23** *ὑπερβαίνει* AszW Socr. Eus. *ὑπερβαῖνον* nT

καὶ τὸ αὐτὸ συνελθόντες ἄξιόν τι τοῦ πράγματος ἐθέλωσιν εἰπεῖν,
οὐδ' ἂν πρὸς τὸ βραχύτατον ἁμιλληθῆναι δυνήσονται. ἐπὶ τοσοῦτον
πᾶσαν ἀνθρωπίνου λογισμοῦ χωρητικὴν φύσιν ἡ τοῦ θαύματος
τούτου πίστις ὑπερβαίνει ὅσῳ τῶν ἀνθρωπίνων τὰ οὐράνια συνέ-
στηκεν εἶναι δυνατώτερα. διὰ τοῦτο γοῦν οὗτος ἀεὶ καὶ πρῶτος καὶ 3
μόνος ἐστί μοι σκοπός, ἵν' ὥσπερ ἑαυτὴν ὁσημέραι καινοτέροις θαύ-
μασιν ἡ τῆς ἀληθείας πίστις ἐπιδείκνυσιν, οὕτως καὶ αἱ ψυχαὶ πάν-
των ἡμῶν περὶ τὸν ἅγιον νόμον σωφροσύνῃ καὶ ὁμογνώμονι προ-
θυμίᾳ σπουδαιότεραι γίγνωνται. ὅπερ ἐπειδὴ πᾶσιν εἶναι νομίζω 4
φανερόν, ἐκεῖνο μάλιστά σε πεπεῖσθαι βούλομαι, ὡς ἄρα πάντων
μοι μᾶλλον μέλει ὅπως τὸν ἱερὸν ἐκεῖνον τόπον, ὃν θεοῦ προστάγ-
ματι αἰσχίστης εἰδώλου προσθήκης ὥσπερ τινὸς ἐπικειμένου βάρους
ἐκούφισα, ἅγιον μὲν ἐξ ἀρχῆς θεοῦ κρίσει γεγενημένον, ἁγιώτερον
δὲ ἀποφανθέντα ἀφ' οὗ τὴν τοῦ σωτηρίου πάθους πίστιν εἰς φῶς
προήγαγεν, οἰκοδομημάτων κάλλει κοσμήσωμεν.

Προσήκει τοίνυν τὴν σὴν ἀγχίνοιαν οὕτως διατάξαι τε καὶ 5
ἑκάστου τῶν ἀναγκαίων ποιήσασθαι πρόνοιαν, ὡς οὐ μόνον βασιλι-
κὴν τῶν πανταχοῦ βελτίονα, ἀλλὰ καὶ τὰ λοιπὰ τοιαῦτα γενέσθαι
ὡς πάντα τὰ ἐφ' ἑκάστης καλλιστεύοντα πόλεως ὑπὸ τοῦ κτίσματος
τούτου νικᾶσθαι. καὶ περὶ τῆς τῶν τοίχων ἐγέρσεώς τε καὶ καλ- 6
λιεργίας Δρακιλλιανῷ τῷ ἡμετέρῳ φίλῳ, τῷ διέποντι τῶν λαμπρο-

A HN (n) GS (s) DL + FV (v) = z T W

1 τι] τε T | πράγματος = Gel. Socr. Eus] προστάγματος A | ἐθέλωσιν AGLF Eus. ἐὰν θέλωσιν D ἔλθωσιν W Socr. Codd. AFCM ἐθέλουσιν nSVT Gel. ἐθελήσουσιν Eus. Cod. A | **2** τὸ ATW Gel. Socr. Eus. > nsz | ἐπὶ τοσοῦτον Ansz Eus. HSS ἐπὶ τοσούτῳ TW Socr. Codd. FCM ἐπεὶ τοσούτου Socr. Cod. A ἐπείπερ τοσοῦτον Gel. ἐπεὶ τοσούτῳ Val. | **4** ὅσῳ nTW Socr. Eus. ὅσων ADLF ὅσον GV | **7/8** πάντων ἡμῶν = Gel. Socr. Eus.] ἡμῶν πάντων A | **8** nach σωφροσύνῃ + πάσῃ nur Eus. | **9** γίγνονται AT γίνονται sF | **11** μέλλει ANDLV | **12** αἰσχίστης, ης auf Rasur Ac | **13** ἀρχῆς = Gel. Socr. Eus.] ἀρχῆς τινος T | θεοῦ = Gel. Socr. Eus.] θεοῦ καὶ A | **15** προήγαγεν = Gel. Socr. Eus.] προήγαγον T προ //ήγαγεν A προσήγαγεν L Socr. Cod. A | **16** διατάξαι τε nszW Gel. Socr. Eus. διατάξασθαι T διατάξαι τέ (αι τέ auf Rasur Ac) A | **17** ἀναγκαίων ποι auf Rasur ήσασθαι πρόνοιαν ὡσ am Rand Ac | μόνον //// A | **18** βελτίονα, να auf Rasur Ac | **20** περὶ τῆσ ADLTW Gel. Socr. Codd. FM περὶ nsv Socr. Codd. AC περὶ μὲν τῆς Eus. | ἐγέρσεώς = Gel. Eus.] ἐργασίασ W Socr. | **20/21** καλλιεργίας = Gel. Socr. Eus.] καλλιεργασίασ sT | **21** δρακυλλιανῶ T Δρακιλιανῷ Gel. Eus. | **21—S.** 63, 1 τῶν λαμπροτάτων ἐπάρχων μέρη ANsz τὰ λαμ. ἐπάρχων μέρη H τῶν λαμ. ἐπάρχων τὰ μέρη TW Socr. μέρη τῶν λαμ. ἐπαρχιῶν Gel. τὰ τῶν ἐπαρχιῶν μέρη Eus.

»τάτων ἐπάρχων μέρη, καὶ τῷ τῆς ἐπαρχίας ἄρχοντι παρ' ἡμῶν »ἐγκεχειρίσθαι τὴν φροντίδα γίνωσκε. κεκέλευσται γὰρ ὑπὸ τῆς ἐμῆς 7
»εὐσεβείας καὶ τεχνίτας καὶ ἐργάτας καὶ πάντα ὅσα περὶ τὴν οἰκο-
»δομὴν ἀναγκαῖα τυγχάνειν παρὰ τῆς σῆς καταμάθοιεν ἀγχινοίας,
»παραχρῆμα διὰ τῆς ἐκείνων προνοίας ἀποσταλῆναι. περὶ δὲ τῶν
»κιόνων εἴτ' οὖν μαρμάρων, ἃ δ' ἂν νομίσειας εἶναι τιμιώτερά τε καὶ
»χρησιμώτερα, αὐτὸς συνόψεως γενομένης πρὸς ἡμᾶς γράψαι σπούδα-
»σον, ἵν' ὅσων δ' ἂν καὶ ὁποίων χρείαν εἶναι διὰ τοῦ σοῦ γράμματος
»ἐπιγνῶμεν, ταῦτα πανταχόθεν μετενεχθῆναι δυνηθῇ· τὸν γὰρ τοῦ
»κόσμου θαυμασιώτερον τόπον κατ' ἀξίαν φαιδρύνεσθαι δίκαιον.

»Τὴν δὲ τῆς βασιλικῆς καμάραν, πότερον λακωναρίαν ἢ διά τινος 8
»ἑτέρας ἐργασίας γενέσθαι δοκεῖ, παρὰ σοῦ γνῶναι βούλομαι (εἰ γὰρ
»λακωναρία μέλλοι εἶναι, δυνήσεται καὶ χρυσῷ καλλωπισθῆναι τὸ
»λειπόμενον), ἵνα ἡ σὴ ὁσιότης τοῖς προειρημένοις δικασταῖς ἧ τάχος
»γνωρισθῆναι ποιήσῃ ὅσων τε καὶ ἐργατῶν καὶ τεχνιτῶν καὶ ἀναλω-
»μάτων χρεία· ἃ καὶ πρὸς ἐμὲ εὐθέως ἀνενεγκεῖν σπούδασον, οὐ μόνον
»περὶ τῶν μαρμάρων τε καὶ κιόνων, ἀλλὰ καὶ περὶ τῶν λακω-
»ναριῶν, εἴ γε τοῦτο κάλλιον ἐπικρίνειας. ὁ θεός σε διαφυλάξει,
»ἀδελφὲ ἀγαπητέ.«

Τούτοις τοῖς γράμμασιν οὐκ ἄλλος τις διηκόνησεν ἀλλ' αὐτὴ τοῦ 18
βασιλέως ἡ μήτηρ, ἡ καλλίπαις ἐκείνη καὶ παρὰ πάντων ᾀδομένη
τῶν εὐσεβῶν, ἡ τὸν μέγαν τοῦτον φωστῆρα τεκοῦσα καὶ τὴν τῆς
εὐσεβείας αὐτῷ προσενεγκοῦσα τροφήν. αὕτη τῶν τῆς ὁδοιπορίας

A HN (n) GS (s) DL + FV (v) = z T W [bis **19** *ἀγαπητέ*]

2 *ἐγχ*ε*ιρίσθαι* A | *ἐμῆς* = Gel. Socr. Eus.] *ἡμετέρας* A | **4** *τυγχάνειν* nSDFT Socr. Eus. *τυγχάνει* AGL Socr. Cod. A *τυγχάνοι* // V *τυγχάνει εἰ* W *τυγχάνει ἃ* Gel. | *καταμάθοιεν* = Gel. Socr. Eus.] *καταμάθοιμεν* A *μάθοιεν* W | **6** *εἴτ' οὖν* An Eus. *ἤτουν* sz Eus. Cod. V *ἤγουν* W *ἢ τῶν* T Gel. Socr. | *νομίσειας* = Gel. Eus.] *νομίσῃς* A Socr., aber *νομήσειασ* Socr. Cod. A | **7** *αὐτὸσ* T Socr. Eus. Codd. VJ *αὐτοῖσ* Ansz *αὐτῆσ* W Eus. Codd. MBA > Gel. | **13 14** *καλλωπισθῆναι τὸ λειπόμενον·* so der Punkt nach *λειπόμενον* HSS Gel. Eus. Codd. VB und Socr. Codd. FC, s. Revue archéologique 1909, 42 f | **14** *ἢ τάχοσ* szW Socr. Eus. *τάχοσ* n *διὰ τάχουσ* T *τὸ τάχος* Gel. > A | **15** *τε* > T | *καὶ*[1] > W Eus. | **16** *ἃ* AnszW *ἅτινα* Gel. > T Socr. Eus. | *σπούδασον* = Gel. Socr.] *σπουδάσῃ* T Eus. | **18** *τοῦτο* = Gel. Socr. Eus.] *καὶ τοῦτο* A | *ἐπικρίνειας* = Gel. Socr. Eus. Cod. J] *ἐπικρίνοισ* A | *σε* > T | *διαφυλάξει* HSzT *διαφυλάξοι* NW Socr. Eus. Codd. JMBA *διαφυλάξῃ* AG Eus. Cod. V | **20** *ιῃ* am Rand HSS | **22** *μέγα* A in *μέγαν* corr. Ac | **23** *τῶν* — S. 64, 1 *πόνων* = Gel.] *τοῦ πόνου* T

πόνων ἀνασχομένη καὶ τοῦ γήρως οὐ λογισαμένη τὰ πάθη· πρὸ γὰρ ὀλίγου τῆς τελευτῆς τὴν ἀποδημίαν ταύτην ἐστείλατο, ὀγδοηκοντοῦτις δὲ τὸ τέρμα τοῦ βίου κατείληφεν. ἐπειδὴ δὲ τὸ χωρίον εἶδεν **2** ἐκεῖνο τὸ τῆς κοινῆς σωτηρίας τὰ πάθη δεξάμενον, εὐθὺς μὲν τὸν μυσαρὸν ἐκεῖνον νεὼν καταλυθῆναι καὶ τὸν χοῦν ἐκφορηθῆναι προσέταξε. δήλου δὲ τοῦ κεκρυμμένου τάφου γεγενημένου, ὤφθησαν τρεῖς παρὰ τὸ μνῆμα τὸ δεσποτικὸν κατακεχωσμένοι σταυροί. καὶ **3** ὅτι μὲν εἷς ἐκ τούτων ὁ τοῦ δεσπότου καὶ σωτῆρος ἡμῶν ἐτύγχανεν ὤν, οἱ δ' ἕτεροι τῶν σὺν αὐτῷ προσηλωθέντων λῃστῶν, ἀναμφισβητήτως ἐπίστευον ἅπαντες· ἠγνόουν δὲ ὅμως τὸν τῷ δεσποτικῷ πελάσαντα σώματι καὶ τοῦ τιμίου αἵματος τὴν λιβάδα δεξάμενον. ἀλλ' ὁ σοφώτατος ἐκεῖνος καὶ θεῖος ὄντως Μακάριος ὁ τῆς πόλεως **4** πρόεδρος τοιῷδε πόρῳ τὴν ἀπορίαν διέλυσε. γυναικὶ γὰρ περιφανεῖ, νόσῳ κατεχομένῃ μακρᾷ, ἕκαστον τῶν σταυρῶν ἐκείνων μετὰ προσευχῆς σπουδαίας προσενεγκὼν ἔγνω τοῦ σωτηρίου σταυροῦ τὴν δύναμιν. παραυτίκα γὰρ οὗτος τῷ γυναίῳ πελάσας τὴν χαλεπὴν ἐκείνην ἐξήλασε νόσον καὶ τὴν ἄνθρωπον ἀπέφηνεν ὑγιᾶ.

Οὕτω δὴ τοῦ βασιλέως ἡ μήτηρ μαθοῦσα τὸ ποθούμενον, τῶν **5** μὲν ἥλων τὰ μὲν εἰς τὸ βασιλικὸν ἐνέβαλε κράνος, τῆς τοῦ παιδὸς κεφαλῆς προμηθουμένη, ἵνα τὰ τῶν πολεμίων ἀποκρούηται βέλη· τὰ δὲ τῷ τοῦ ἵππου ἀνέμιξε χαλινῷ, καὶ ἀσφάλειαν μηχανωμένη τῷ βασιλεῖ καὶ παλαιᾷ προφητείᾳ πέρας ἐπιτιθεῖσα. πόρρωθεν γὰρ Ζαχαρίας ὁ προφήτης ἐβόα· »καὶ ἔσται τὸ ἐπὶ τοῦ χαλινοῦ

3—S. 65, 4 vgl. Rufin. H. E. X 7. Sozomen. II 1, 2—3 u. 7—10. Socrat. I 17, 3—9 — **4**—**6** oben 61, 9—11 — **23**—S. 65, 1 Zachar. 14, 20

* **18**—S. 65, 6 Cass. II 18

A HN(n) GS(s) DL + FV(v) = z T [bis **2** ἐστείλατο]

1 τοῦ — πάθη] τὸ γῆρας οὐ λογισαμένη τῇ ἀγάπῃ T*, Gel. wie im Text | **2** ἐστείλατο szT Gel. und (στειλ. auf Rasur Ac) A ἐποιήσατο n | **3** τοῦ βίου τὸ τέρμα ∾ A Gel. | ἐπειδὴ δὲ ns Gel. ἐπειδὴ z ἐπεὶ δὲ A | **3/4** εἶδεν ἐκεῖνο AsD Gel. ἐκεῖνο εἶδεν nLv | **5** ἐκεῖνον = Gel. > n | καὶ τὸν χοῦν ἐκφορηθῆναι am Rand Ac > S | **6** τάφου γεγενημένου am Rand Ac | **7** κατακεχωσμένοι ALv κατεχωσμένοι s κατεχώμενοι D > n | **8** καὶ σρσ̄ ἡμῶν sz Gel. ἡμῶν καὶ σρ̄σ̄ A καὶ σρσ ἡμῶν ιῦ χῦ n | **9** ὢν übergeschrieben Ac | **11** πελάσαντι A | **12** ἐκεῖνος καὶ θεῖος ὄντως = Gel. > A | **15** σπουδαίασ Az σπουδαίωσ ns | σωτηρίου σταυροῦ Gel. σ̄ρ̄ίου nsz μυστηρίου A | **16** γυναικείω A | ἐκείνην > A | **17** ὑγιῆ ns | **18** τὸ] τὸν z | **19** μὲν¹ > A | ἐνέβαλε = Gel.] ἔβαλε n | **20** τὰ¹ = Gel. > s | **23** ἐβόα = Gel.] βοᾶ A, *clamaverat* Cass. | ἐπὶ τοῦ χαλινοῦ Az Gel. Cass. ἐπὶ τῷ χαλινῷ τοῦ ἵππου n ἐπὶ τὸν χαλινὸν τοῦ ἵππον Zachar. Sozom. ἐπὶ τῷ χαλινῷ τοῦ βασιλέως s

ἅγιον τῷ κυρίῳ παντοκράτορι«. τοῦ δὲ σωτηρίου σταυροῦ 6
μοῖραν μέν τινα τοῖς βασιλείοις ἀπένειμε, τῷ δὲ λοιπῷ θήκην ἐξ
ὕλης ἀργύρου ποιησαμένη τῷ τῆς πόλεως δέδωκεν ἐπισκόπῳ, φυλάτ-
τειν παρεγγυήσασα ταῖς ἔπειτα γενεαῖς τὰ τῆς σωτηρίας μνημόσυνα.
πάντοθεν δὲ δὴ παντοδαπῆς ὕλης τεχνίτας ἀγείρασα τοὺς μείστους 7
ἐκείνους καὶ λαμπροτάτους νεὼς ἐδομήσατο. τὸ δὲ τούτων κάλλος
καὶ μέγεθος ἐκφράσαι περιττὸν ἄγαν ὑπείληφα. πάντων ὡς ἔπος
εἰπεῖν τῶν φιλοθέων ἐκεῖσε θεόντων καὶ θεωμένων τῶν ἔργων τὴν
πολυτέλειαν.

Πεποίηκε δὲ καὶ ἕτερον μνήμης ἄξιον ἡ πανεύφημος ἐκείνη καὶ 8
ἀξιάγαστος βασιλίς. τὰς γὰρ διὰ βίου τὴν παρθενίαν ἀσκούσας συνα-
γείρασα πάσας καὶ ἐπὶ στιβάδων πολλῶν κατακλίνασα, αὐτὴ θερα-
παινίδος ἔργον ἐπλήρου, διακονοῦσα καὶ ὄψα παρατιθεῖσα καὶ κύ-
λικας ὀρέγουσα καὶ οἰνοχοοῦσα καὶ πρόχουν ἐπὶ λέβητος φέρουσα καὶ
ὕδωρ ταῖς ἐκείνων χερσὶν ἐπιχέουσα. ταῦτα καὶ τὰ τούτοις ὅμοια 9
δράσασα ἐπανῆλθε μὲν πρὸς τὸν παῖδα, μετ' εὐθυμίας δὲ εἰς τὸν
ἕτερον μετέστη βίον, πλεῖστα τῷ παιδὶ περὶ τῆς εὐσεβοῦς πολιτείας
ἐντειλαμένη καὶ ταῖς ἐξιτηρίοις αὐτὸν ἐπικλύσασα εὐλογίαις. ἐκείνη
μὲν οὖν καὶ μετὰ τὴν τελευτὴν τιμῆς τετύχηκεν ὁποίας τυχεῖν
ἐχρῆν τὴν οὕτως ἐπιμελῶς καὶ θερμῶς τὸν τῶν ὅλων τεθερα-
πευκυῖαν θεόν.

Οἱ δὲ τῆς Ἀρείου συμμορίας τῶν παμπονήρων οὐκ ἐπελάθοντο
βουλευμάτων. τούτου γὰρ δὴ ἕνεκα τῇ τῆς πίστεως ὁμολογίᾳ συνέ- 19

5/6 vgl. Sozomen. II 2, 1. Socrat. I 17, 10—11 — **10—15** vgl. Rufin. H. E. X 8, S. 970, 26. Sozomen. II 2, 2. Socrat. I 17, 12 — **17—21** vgl. Sozomen. II 2, 4—5

* **11—15** Georg. Mon. 502, 2 — **12—18** Cass. II 18 — **17—21** Niceph. H. E. VIII 31 — **22**—S. 69, 12 Cass. II 22

A HN (n) GS (s) DL + FV (v) = z

1 *σωτηρίου* = Gel. Cass.] *σ̄ρ̄σ̄ ἡμῶν τοῦ. ἡμῶν* gestrichen, A | **2** *τοῖς — 3 ἀργύρου* = Gel. Cass. > s | *τῷ δὲ λοιπῷ* = Gel.] *τὸ δὲ λοιπὸν* n | **3** *ἀργύρου ἀργυρίου* A *ἀργυρᾶς* Gel. | **5** *δὴ* > nsGel. | *παντοδαπῆς ὕλης τεχνίτας* = Gel.] *παντοδαπὴν ὕλην τοῖσ τεχνίταισ* A | **6** *ἐδωμήσατο* A | **8** *θεομένων* A | **11** *τὴν* AnDGel. Georg. > sLv | **11/12** *συναγείρασα πάσας καὶ* = Gel. > A | **12** *κατακλίνασα* nSzGel. *κατακλίνουσα* Georg. *ἀνακλίνασα* AG, vgl. 74, 28. 75, 8 | **12/13** *θεραπαινίδοσ* AnzGel. *θεραπαίνησ* sGeorg. | **14** *πρόχουν* sGel. | **18** *ἐξητηρίοισ* A | **19** *καὶ* = Gel. Nic. > A | *τετύχηκεν* = Gel.] *ἔτυχεν* A | **22** *Οἱ δὲ*: *ιϑ* am Rand HSS | **23** *ἕνεκα* sz | *τῇ — ὁμολογίᾳ* ADL *in confessione* Cass. *τασ — ὁμολογίασ* nsv

θεντο ταῖς χερσὶν ὡς ἂν τὰ κώδια περικείμενοι τὰ τῶν λύκων ἐργάσαιντο. ὁ μὲν γὰρ θεῖος ἐκεῖνος Ἀλέξανδρος, ὁ τῇ προσευχῇ κατακοντίσας τὸν Ἄρειον (τὸν Βυζάντιον λέγω, οὕτω γὰρ ἡ Κωνσταντινούπολις κατ' ἐκεῖνον ὠνομάζετο τὸν καιρόν), εἰς τὸν ἀμείνω μετετέθη βίον· Εὐσέβιος δὲ ὁ τῆς δυσσεβείας συνήγορος, μικρὰ φρον- 2
τίσας ὧν πρὸ βραχέος μετὰ τῶν ἄλλων ἀρχιερέων συνέγραψεν ὅρων, παραυτίκα τὴν Νικομήδειαν καταλιπὼν τὸν τῆς Κωνσταντινουπόλεως ἥρπασε θρόνον, ἄντικρυς τοῦ κανόνος ἐπισκόπους ὁμοῦ καὶ πρεσβυτέρους ἀπαγορεύοντος ἐξ ἑτέρας εἰς ἑτέραν μὴ μεταβαίνειν πόλιν. θαυ- 3
μαστὸν δὲ οὐδὲν τοὺς οὕτω κατὰ τῆς τοῦ μονογενοῦς μανέντας θεότητος ἀδεῶς τοὺς ἄλλους παραβῆναι νόμους. οὐ νῦν δὲ τοῦτο πρῶτον κεκαινοτόμηκεν, ἀλλὰ καὶ ἤδη πρότερον ταὐτὸ τοῦτο τετόλμηκεν. τὴν Βηρυτὸν γὰρ πάλαι πεπιστευμένος, εἰς τὴν Νικομήδειαν μετεπήδησε· καὶ ταύτης δὲ μετὰ τὴν σύνοδον διὰ τὸ τῆς δυσσεβείας προφανὲς ἐξηλάθη, καὶ σὺν αὐτῷ Θεογόνιος ὁ Νικαίας. καὶ τοῦτο δῆλον βασιλεὺς Κωνσταντῖνος διὰ γραμμάτων πεποίηκεν. 4
ἐγὼ δὲ τὸ τέλος τῆς ἐπιστολῆς ἐνθήσω τῇ συγγραφῇ· ἐπέστειλε δὲ ταῦτα Νικομηδεῦσι.

»Τίς ἐστιν ὁ ταῦτα διδάξας οὕτως ἄκακον πλῆθος; Εὐσέβιος 20
»δηλαδὴ ὁ τῆς τυραννικῆς ὠμότητος συμμύστης. ὅτι γὰρ πανταχοῦ »τοῦ τυράννου γεγένηται πρόσφυξ, πολλαχόθεν ἐστὶ συνορᾶν. τοῦτο »μὲν γὰρ αἱ τῶν ἐπισκόπων σφαγαὶ διαμαρτύρονται, ἀλλὰ τῶν ἀληθῶς »ἐπισκόπων· τοῦτο δὲ ἡ χαλεπωτάτη τῶν Χριστιανῶν ἐκδίωξις διαρ- »ρήδην βοᾷ. οὐδὲν γὰρ περὶ τῶν εἰς ἐμὲ γεγενημένων ὕβρεων νῦν 2

1 vgl. Matth. 7, 15 — **2—8** vgl. Philostorg. II 10 — **8** Can. Nicaen. 15 (Mansi II 673—6) — **19**–S. 69, 12 in Athanas.-HSS Parisinus 474 Scorial. Ω III 15 Basil. 32 (ihre Übereinstimmung = Ω). bei Gelas. Cyzic. ed. Commelin S. 59, 21 (Mansi II 941) = Gel. und I 10 (Commelin S. 9, 26) = Gel.[1] lat. Übersetzung Baronius Ann. 329, 14 [Parisinus 1682] = Λ — **19** vgl. Röm. 16, 17 f (s. auch S. 67, 12)?

A HN (n) GS (s) DL + FV (v) = z T [von **19** an]

3 ὁ βυζάντιος A | **6** βραχέως AG | συνέγραψεν ἀρχιερέων ~ A **9** μὴ> L u. mit leerem Raum H | **11** τοῦτο > s | **11/12** πρῶτον τοῦτο ~ L **12** κεκαινοτόμητο A, *hanc noritatem fecit* Cass. | ταὐτὸ] αὐτὸ A | **15** θέογνις LV *Theognius* Cass. Cod. L | **16** vor βασιλεὺς + ὁ n | vor διὰ + δεύτερον A, Cass. wie im Text | **19** am Rand ⁜ HSS | **20/21** πανταχοῦ τοῦ τυράννου = Cass. Ω Gel. Gel.[1] *ubique tyranni* Cod. Λ] πανταχοῦ τῶν ἁγίων A | **21** γεγένηται = Ω Gel. Gel.[1]] ἐγένετο T | **22** vor τῶν[1] + πανταχοῦ T, Cass. Ω Gel. Gel.[1] Λ wie im Text | **24** γεγενημένων] διαγεγενημένων T

›ἐρῶ, δι᾽ ὧν ὅτε μάλιστα αἱ τῶν ἐναντίων μερῶν ἐπραγματεύσαντο
›συνδρομαί, οὗτος καὶ ὀφθαλμοὺς κατασκόπους ἔπεμπε κατ᾽ ἐμοῦ καὶ
›μόνον οὐκ ἐνόπλους τῷ τυράννῳ συνεισέφερεν ὑπουργίας. μηδέ μέ
›τις οἰέσθω εἶναι πρὸς τὴν τούτων ἀπόδειξιν ἀπαράσκευον. ἔλεγχος
›γάρ ἐστιν ἀκριβής, ὅτι τοὺς πρεσβυτέρους καὶ τοὺς διακόνους τοὺς
›Εὐσεβίῳ παρεπομένους φανερῶς ὑπ᾽ ἐμοῦ συνειλῆφθαι συνέστηκεν.
›ἀλλὰ ταῦτα μὲν παρίημι· ἃ νῦν οὐκ ἀγανακτήσεως ἕνεκεν, ἀλλ᾽ εἰς 3
›ἐκείνων αἰσχύνην ὑπ᾽ ἐμοῦ προενήνεκται. ἐκεῖνο μόνον δέδια, ἐκεῖνο
›διαλογίζομαι, ὅτι ὑμᾶς ὁρῶ πρὸς τὴν τοῦ ἐγκλήματος καλεῖσθαι
›κοινωνίαν. διὰ γὰρ τῆς Εὐσεβίου ἀγωγῆς τε καὶ διαστροφῆς συν-
›είδησιν τῆς ἀληθείας κεχωρισμένην εἰλήφατε. ἀλλ᾽ ἔστιν οὐ βραδεῖα
›θεραπεία, εἴ γε ἐπίσκοπον πιστόν τε καὶ ἀκέραιον νῦν γοῦν λαβόντες
›πρὸς τὸν θεὸν ἀπίδητε· ὅπερ ἐπὶ τοῦ παρόντος ἐν ὑμῖν ἐστιν καὶ 4
›πάλαι ἐχρῆν τῆς ὑμετέρας κρίσεως ἠρτῆσθαι, εἰ μὴ ὁ προειρημένος
›Εὐσέβιος δίνῃ τῶν συλλαμβανομένων αὐτῷ ἐνταῦθα ἐληλύθει καὶ
›τὴν τῆς τάξεως ὀρθότητα ἀναισχύντως συνεπεπράχει.
›Ἀλλ᾽ ἐπειδὴ περὶ αὐτοῦ τοῦ Εὐσεβίου πρὸς τὴν ὑμετέραν ἀγά- 5

3 f vgl. Socrat. I 9, 65

A HN(n) GS(s) DL + FV(v) = z T

1 ὅτε] ὅτι *Π*Gel., aber *quando* Cass. = ὅτε *Ω* Gel.[1] *cum Λ* | αἱ = *Ω* Gel. Gel.[1]] ἐκ L > A | ἐπραγματεύσαντο = *Ω* Gel.] ἐπραγματεύθησαν L ἐπραγματεύοντο Gel.[1] | **2** ἔπεμπε = Gel.[1]] ἔπεμψε nT ὑπέπεμπε *Ω* Gel. *submittebat Λ habebat* Cass. | **3** συνεισέφερεν = *Ω* Gel. Gel.[1]] εἰσέφερεν A | **8** προσενήνεκται T ἐκεῖνο μόνον δέδια ἐκεῖνο = Cass. *Ω* Gel. Gel.[1] und (*illud*[1] + *autem*) *Λ*] ἐκεῖνο δὲ μόνον T | **8/9** ἐκεῖνο διαλογίζομαι ὅτι /.// teils auf Rasur u. teils am Rand Ac **9** ὁρῶ = Cass. *Ω* Gel. Gel.[1] *Λ*] ὁρῶ καὶ T | τοῦ > T | **12** θεραπεία AnsT*Ω* Gel. Gel.[1] ἡ θεραπεία z | εἴ γε] οἵ γε v | **13** καὶ AT*Ω* Gel. *Λ* ὅπερ καὶ z und ὅπερ übergeschrieben Ac ὃ καὶ ns Gel.[1], *quod utique ad praesens in robis est studet* (*istud et*?) *dudum oportuerat in vestro pendere iudicio* Cass. Codd. LP **14** πάλαι] πάλιν (ιν auf Rasur Ac) A | εἰ μὴ = Cass. *Ω* Gel. Gel.[1] *Λ* > A | **15** δίνῃ τῶν συλλαμβανομένων αὐτῷ Parm.] δηνῶσ (ῶσ auf Rasur Ac) τῶν (+ τότε übergeschrieben Ac) συλλαμβανομένων αὐτῶ A *cum turbulenta multitudine* = σὺν δείνῃ oder δίνῃ] *eorum qui eum sequebantur Λ* δεῖνη (δεῖν ἢ Scor.) τῶν συναγομένων αὐτῷ *Ω* δεινῇ τῶν (τῶν > Gel.) τότε συλλαβομένων αὐτῶ (+ προαιρέσει Gel.[1]) T Gel. Gel.[1] δεινῶσ τῶν τότε (τότε] τε ns) συλλαβομένων αὐτῶ nsz *pessima consciorum suorum tuitione* Cass. | ἐνταῦθα > N | ἐνταῦθα ἐληλύθει > mit leerem Raum H | ἐλήλυθε s | **16** συνεπεπράχει = *Ω* Gel. Gel.[1]] συνεπεπράχθει (-θι S) s *confudisset* Cass. *conturbasset Λ* συνετεταράχει Balforeus, vgl. App. zu 78, 21 | **17** ἐπειδὴ] ἐπειδήπερ T | αὐτοῦ τοῦ nsz*Ω* Gel. *ipse Λ* αὐτοῦ τούτου AT τοῦ αὐτοῦ Gel.[1], *de memorato Eusebio* Cass.

»πην ὀλίγα προσῆκε φράσαι, μέμνηται ἡ ὑμετέρα ἀνεξικακία ἐπὶ τῆς »Νικαέων πόλεως γεγενῆσθαι σύνοδον, ᾗ καὶ αὐτὸς ἐγὼ πρεπόντως »τῇ τῆς ἐμῆς συνειδήσεως λατρείᾳ παρήμην, οὐδὲν ἕτερον βουλό»μενος ἢ ὁμόνοιαν ἅπασιν ἐργάσασθαι καὶ πρό γε πάντων ἐλέγξαι »τε καὶ ἀποσείσασθαι τὸ πρᾶγμα τοῦτο, ὃ τὴν μὲν ἀρχὴν εἰλήφει »διὰ τῆς Ἀρείου τοῦ Ἀλεξανδρέως ἀπονοίας, ἰσχυροποίητο δὲ παρα»χρῆμα διὰ τῆς Εὐσεβίου ἀτόπου τε καὶ ὀλεθρίας σπουδῆς. ἀλλ᾽ αὐτὸς 6
»οὗτος Εὐσέβιος, προσφιλέστατοι καὶ τιμιώτατοι, μεθ᾽ ὅσης νομίζετε »συνδρομῆς, ἅτε δὴ ὑπὸ τῆς συνειδήσεως αὐτῆς ἡττώμενος, μεθ᾽ ὅσης »δὲ αἰσχύνης τῇ πανταχόθεν ἐληλεγμένῃ ψευδολογίᾳ συνίστατο, ὑπο»πέμπων μέν μοι διαφόρους τοὺς ἀξιοῦντας ὑπὲρ αὐτοῦ, ἐξαιτούμενος »δὲ παρ᾽ ἐμοῦ συμμαχίαν τινὰ ὅπως μὴ ἐπὶ τοσούτῳ ἐλεγχθεὶς πλημ»μελήματι τῆς ὑπαρχούσης αὐτῷ τιμῆς ἐκβάλλοιτο. μάρτυς ἐστί μοι 7
»τούτου ὁ θεὸς αὐτός, ὃς ἐμοί τε καὶ ὑμῖν φιλαγάθως ἐπιμένοι, ἐπεὶ »καὶ ἐμὲ ἐκεῖνος περιέτρεψε καὶ ἀπρεπῶς ὑφήρπασεν, ὃ καὶ ὑμεῖς ἐπι»γνώσεσθε. πάντα μὲν γὰρ ἐπράχθη τότε καθὼς αὐτὸς ἐπόθει, πᾶν 8
»ὁτιοῦν κακὸν ἐπὶ τῆς ἑαυτοῦ διανοίας ἀποκρυπτόμενος.

»Ἀλλὰ πρώην, ἵνα τὰ λοιπὰ τῆς τούτου σκαιότητος παρῶ, τί »μάλιστα μετὰ Θεογονίου, ὃν τῆς ἀνοίας ἔχει κοινωνόν, διεπράξατο, »ἀκούσατε, παρακαλῶ. Ἀλεξανδρέας τινὰς τῆς ἡμετέρας πίστεως »ἀναχωρήσαντας ἐνταῦθα κεκελεύκειν ἀποσταλῆναι. ἐπειδὴ διὰ τῆς »τούτων ὑπηρεσίας ὁ τῆς διχονοίας ἠγείρετο πυρσός. ἀλλ᾽ οὗτοι οἱ 9

22—S. 69, 12 vgl. Sozomen. II 21, 8. I 21, 5

A HN (n) GS (s) DL + FV (v) = z T

1 nach *φράσαι* + *μακροθύμως ἀκούσατε* Gel.[1], *loqui decet* + *audite* Cass., Ω Gel. *Λ* wie im Text | **4** *πρό γε* AnT (expung. in A) *πρὸ* DΩ Gel. Gel.[1] = Cass. *Λ* > sLv | **6** *τοῦ*] *τῆσ τοῦ* T | *ἰσχυροποίητο* nGT *ἰσχυροποίοιτο* A *ἰσχυροποιεῖτο* SzΩ Gel. Gel.[1] | **7** *ὀλεθρίου* T | **8** *οὗτοσ* szTΩ Gel. Gel.[1] *οὗτοσ ὁ* An *νομίζετε* nSzΩ Gel.[1] *putatis* Cass. *Λ νομίζεται* AGT Gel. | **10** *ἐληλεγμένῃ* T, Ω Gel. Gel.[1] wie im Text | **11** *μοι*] *τοι* T | **13** *ἐστί μοι* AT Cass. Ω Gel. Gel.[1] *μοί ἐστι* sz*Λ μού ἐστι* n | **14** *ὃς*] *ὡσ* s | *φιλάγαθος* Ausgaben | **15/16** *ἐπιγνώσεσθε ΠΩ* Gel. *ἐπέγνωτε καὶ ἐπιγνώσεσθε* Gel.[1] *nostis* Cass. *cognoscitis Λ* | **16** *αὐτὸς*] *καὶ αὐτὸσ* n | *ἐπόθει* = Cass. Ω Gel. Gel.[1] *Λ*] *ἐπεπόθει* s *ἐφάνη ποθῶν* T | **17** *ἐπὶ τῆς ἑαυτοῦ διανοίας* = Cass. Ω Gel. Gel.[1] *Λ*] *ἐν ἑαυτῷ* T | **18** *τούτου* = Ω Gel. Gel.[1]] *αὐτοῦ* n | *σκαιότητος τούτου* ∾ T | *παρῶ τί*] *παρόντι* v | **19** *θεογονίου* AnsDF *θεογνίου* LTΩ Gel. Gel.[1] *Theognio Λ θεύγνιδοσ* V | **21** *κεκέλευσιν* G *κελεύσειν* S | *ἐπειδή* = Cass. Ω Gel. Gel.[1] *Λ*] *ἐπειδὴ δὲ* A | **22** *ἠγείρετο* ATΩ Gel. Gel.[1] *διηγείρετο* nsz

»καλοί τε καὶ ἀγαθοὶ ἐπίσκοποι, οὓς ἅπαξ ἡ τῆς συνόδου ἀλήθεια »πρὸς μετάνοιαν τετηρήκει, οὐ μόνον ἐκείνους ἐδέξαντο καὶ παρ' »ἑαυτοῖς ἠσφαλίσαντο, ἀλλὰ καὶ ἐκοινώνησαν αὐτοῖς τῆς τῶν τρόπων »κακοηθείας. διὸ τοῦτο περὶ τοὺς ἀχαρίστους τούτους ἔκρινα πρᾶξαι· »ἁρπαγέντας γὰρ αὐτοὺς ἐκέλευσα ὡς πορρωτάτω ἐξορισθῆναι. νῦν **10**
»ὑμέτερόν ἐστιν πρὸς τὸν θεὸν ἐκείνῃ τῇ πίστει βλέπειν ἣ πάντοτε καὶ »γεγενῆσθαι συνέστηκε καὶ εἶναι πρέπει, καὶ διαπράξασθαι οὕτως⟨ὡς⟩ »ἐπισκόπους ἁγνούς τε καὶ ὀρθοδόξους καὶ φιλανθρώπους ἔχοντες »χαίρομεν. εἴ τις δὲ πρὸς μνήμην τῶν λυμεώνων ἐκείνων ἢ πρὸς »ἔπαινον ἀπρονοήτως ἐξαφθῆναι τολμήσει, παραχρῆμα τῆς ἰδίας »τόλμης διὰ τῆς τοῦ θεράποντος τοῦ θεοῦ, τουτέστιν ἐμοῦ, ἐνεργείας »ἀνασταλήσεται· ὁ θεὸς ὑμᾶς διαφυλάξει, ἀδελφοὶ ἀγαπητοί.«

Τότε μὲν οὖν οὗτοι καὶ καθηρέθησαν καὶ τῶν πόλεων ἐξηλά- **11**
θησαν, καὶ τὴν μὲν Νικομήδειαν Ἀμφίων ἐπιστεύθη, τὴν δὲ Νίκαιαν
Χρῆστος. ἀλλὰ πάλιν ταῖς ἐξ ἔθους χρησάμενοι μηχαναῖς καὶ τὴν
βασιλέως φιλανθρωπίαν ἐφόδιον ἐξαπάτης εὑρόντες, ἀνεπάλαισάν τε
καὶ τὴν προτέραν δυναστείαν ἀπέλαβον.

13—17 vgl. Sozomen. I 21, 5. II 16, 2. Socrat. I 14, 1. Gelas. Cyzic. III 12 (in fine). Athanas. Apol. c. Arian. 7

* **13**—S. 70, 11 Cass. II 23

A HN(n) GS(s) DL + FV(v) = z T [bis **16** εὑρόντες]

1 ἅπαξ ἡ τῆς συνόδου ἀλήθεια L Ω Gel. Gel.[1] τῆσ συνόδου /// ἀλήθεια A ἅπαξ ἡ über τῆσ geschrieben Ac ἅπαξ τῆσ συνόδου ἡ (ἡ > v) ἀλήθεια vT *semel* (*simul* Cass.) *concilii veritas* Cass. Λ ἅπαξ τῇ (ἅπαντα N) τῆσ συνόδου ἀληθεία nsD **2** τετηρήκει = Cass. Ω Gel. Λ] τετηρήκειν nGD ἐτετηρήκει Gel.[1] | **3** ἑαυτοῖς] αὐτοὺσ L | **4** διὸ τοῦτο HSΩ Gel. = *quapropter hoc* Cass. διὰ τοῦτο ANGzT Gel.[1] *propter quod* Λ | τούτουσ nsvTΩ Gel. Gel.[1] = Cass. τοῦτο D und, nach ἔκρινα ∽, L, τοῦτο //// ἔκρινα πρᾶξαι A (die Ziffern von Ac), *circa istos ingratos* + *hoc* Λ, danach: διὰ τοῦτο . . . τούτουσ τοῦτο Val. | **5** γὰρ > T | **7** πρέπει A διαπράξασθαι οὕτωσ ὡς⟩ Val.] διαπράξασθαι οὕτωσ· (so nach οὕτωσ interpung.) ΠΩ Gel. διαπρ. οὕτωσ + ἵνα Gel.[1] διαπράξασθε οὕτωσ + παρακαλῶ ἵνα D, *sic peragere ut . . . gaudeamus* Λ *agere. episcopos enim* Cass., der weder οὕτωσ noch ὡς übersetzt | **8** ὀρθοδόξουσ //// A | ἔχοντεσ AzT Cass. Ω Gel. Gel.[1] Λ > ns **10** τολμήσῃ A | **10/11** παραχρῆμα τῆς ἰδίας τόλμης > T | **12** διαφυλάξοι A Gel.[1] διαφυλάξαι T φυλάξοι Gel. | **13** κᾱ am Rand sz | οὖν = Cass. > DT καὶ[1] = Cass. > AL | **14** μὲν > s | **15** ἀλλὰ = Cass.] ἀλλὰ + καὶ L u. übergeschrieben Ac | **16** ἀνεπάλεσάν τε AG

Ὁ δὲ Εὐσέβιος, ὡς ἤδη ἔφην, καὶ τὴν Κωνσταντινουπόλεως ἡγε- 21
μονίαν κατέσχε τυραννικῶς. οὕτω δὲ τῆς πλείονος ἐπιλαβόμενος
δυναστείας καὶ θαμὰ παρὰ βασιλέως φοιτῶν καὶ τὴν παρρησίαν ἐκ
τῆς συχνοτέρας συνουσίας λαβών, τὰς κατὰ τῶν τῆς ἀληθείας προ-
μάχων κατεσκεύασε μηχανάς. καὶ πρῶτον ἰμείρεσθαι τῆς τῶν Ἱερο- 2
σολύμων θέας σκηψάμενος, καὶ ταύτῃ τὸν βασιλέα βουκολήσας ὡς τὸ
πολυθρύλητον τῆς οἰκοδομίας ἔργον ὀψόμενος, μετὰ πλείστης ἐκεῖθεν
ἀπῆρε τιμῆς, τοῦ βασιλέως αὐτῷ καὶ ὀχήματα καὶ τὴν ἄλλην ἀπο-
νείμαντος θεραπείαν. συναπῆρε δὲ αὐτῷ καὶ Θεογόνιος ὁ Νικαίας, 3
κοινωνὸς ὤν, ὡς καὶ πρόσθεν εἰρήκαμεν, τῶν πονηρῶν βουλευ-
μάτων.

Ἀφικόμενοι δὲ εἰς τὴν Ἀντιόχειαν καὶ τὸ τῆς φιλίας περιθέμενοι
προσωπεῖον, θεραπείας ἀπήλαυσαν ὅτι μάλιστα πλείστης· ὁ γὰρ τῆς
ἀληθείας πρόμαχος ὁ μέγας Εὐστάθιος πᾶσαν αὐτοῖς ἀδελφικὴν φιλο-
φροσύνην προσήνεγκεν. ἐπειδὴ δὲ τοὺς ἱεροὺς κατέλαβον τόπους καὶ 4
τοὺς ὁμόφρονας ἐθεάσαντο, Εὐσέβιόν τε τὸν Καισαρείας καὶ τὸν
Σκυθοπολίτην Πατρόφιλον καὶ τὸν Λύδδης Ἀέτιον καὶ τὸν Λαοδι-
κείας Θεόδοτον καὶ τοὺς ἄλλους ὅσοι τὴν λώβην εἰσεδέξαντο τὴν
Ἀρείου, ἐμήνυσάν τε τὸ τυρευόμενον καὶ σὺν αὐτοῖς τὴν Ἀντιόχου
κατέλαβον. καὶ τὸ μὲν πρόσχημα τῆς τῶν ἄλλων ἐπιδημίας προ- 5

1 oben S. 66, 7f — **2—5** vgl. Socrat. I 23, 1 — **5**—S. 72, 3 vgl. Synax. 480, 25 — **5**—S. 72, 21 vgl. Nicetas Thesaur. V 9 PG 139, 1369 D — **10** oben S. 33, 1. 68, 19

* **2**—S. 72, 21 Gelas. Cyzic. III 16 — **5**—S. 72, 21 Polydeukes 298, 7. Theophan. 28, 9 — **12**—S. 72, 21 Cass. II 24

A HN (n) GS (s) DL + FV (v) = z T [von **5** *ἰμείρεσθαι* an]

1 *κα* am Rand A | **1/2** *κατέσχεν ἡγεμονίαν* ns | **2** *οὕτος* ns | **3** *θαμὰ παρὰ* L und (*θαμὰ* auf Rasur Ac) A *συχνὰ παρὰ* D *frequenter ad* Cass. *ἔγγυσ* nsv, vgl. unten II 3, 6 | **6** *σκεψάμενος* DT | **7** *ἔργον* übergeschrieben Ac | *ἐκεῖθεν*] *ἐκείνησ* s | **9** *συναπῆρε* — **11** *βουλευμάτων* > T* | *Θεόγνιος* L Gel. *Theognius* Cass. Cod. L *Θέογνις* V Synax. | **12** *ἀφικόμενος* T* | *τὸ* As | *περιθέμενος* T* | **13** *ἀπέλαυσαν* Lv *ἀπήλαυσεν* T* | nach *γὰρ* + *θεῖος* T* **14** *αὐτῶ* T* | **15** *προσήνεγκεν, εγκεν* auf Rasur, Ac | nach *δὲ* + *καὶ* T* *κατελάβετο* — **16** *ἐθεάσατο* T* | **16** *τε* > T | nach *Καισαρείας* + *Θεόγνιον τὸν νικαίασ* T*, Cass. wie im Text | **18** *Θεόδωτον* AT | *εἰσεδέξαντο* T //// *ἐδέξαντο* A *ἐδέξαντο* nsz | **19** *ἐμήνυσάν* — *αὐτοῖς*] *συνελάλησέν τε μετ' αὐτῶν κατὰ τοῦ τῆσ ἀληθείασ διδασκάλου εὐσταθίου καὶ ὁμοθυμαδὸν* T*, Cass. wie im Text | *τε τὸ* nsD /// *τὸ* A *τὸ* Lv | *τετυρευμένον* v *quod cogitaverant* Cass. *τυρευθὲν* Gel. **20** *πρόσσχημα* Av

πόμπιος ἦν τιμή· τὸ δὲ καττυόμενον, ὁ κατὰ τῆς εὐσεβείας πόλεμος. γύναιον γὰρ ἑταιρικὸν τὴν ὥραν ἀπεμπολοῦν μισθωσάμενοι καὶ τὴν γλῶτταν αὐτοῖς ἀποδόσθαι πείσαντες, συνῆλθον εἰς τὸ συνέδριον. εἶτα τοὺς ἄλλους ἅπαντας ἔξω γενέσθαι κελεύσαντες, τὸ τρισάθλιον εἰσήγαγον γύναιον. ἡ δὲ παιδίον ὑπότιτθον ὑποδεικνῦσα, ἐκ τῆς 6
Εὐσταθίου συνουσίας ἔλεγε τοῦτο καὶ συνειληφέναι καὶ τετοκέναι καὶ ἀναίδην ἐβόα. ὁ δὲ τῆς συκοφαντίας τὸ προφανὲς ἐπιστάμενος, εἴ τινα ἔχοι τούτου συνίστορα, ἄγειν εἰς μέσον ἐκέλευσεν. ἐκείνης 7
δὲ μηδένα ἔχειν μάρτυρα τῆς κατηγορίας λεγούσης, ὅρκον προὔτειναν οἱ δικαιότατοι δικασταί, καίτοι τοῦ νόμου διαρρήδην βοῶντος ἐπὶ δύο καὶ τριῶν μαρτύρων εἶναι βέβαια τὰ λεγόμενα, καὶ ἄντικρυς τοῦ ἀποστόλου κελεύοντος μηδὲ κατὰ πρεσβυτέρου γινομένην γραφὴν δίχα δύο ἢ τριῶν μαρτύρων προσδέχεσθαι. ἀλλὰ τῶν θείων οὗτοι 8
νόμων καταφρονήσαντες ἀμάρτυρον κατ' ἀνδρὸς τοσούτου κατηγορίαν ἐδέξαντο. ἐπειδὴ δὲ οἷς εἶπεν ἐκείνη τὸν ὅρκον προστέθεικε, βοῶσα ἦ μὴν Εὐσταθίου τὸ βρέφος εἶναι, ὡς κατὰ μοιχοῦ λοιπὸν οἱ φιλαλήθεις τὴν ψῆφον ἐξήνεγκαν. τῶν δὲ ἄλλων ἀρχιερέων (παρῆσαν 9
γὰρ οὐκ ὀλίγοι καὶ τῶν ἀποστολικῶν ὑπερμαχοῦντες δογμάτων καὶ τὰ τυρευθέντα παντάπασιν ἀγνοοῦντες) προφανῶς ἀντιλεγόντων καὶ τὸν μέγαν Εὐστάθιον τὴν ψῆφον ἐκείνην τὴν παράνομον δέξασθαι κωλυόντων, πρὸς βασιλέα τὴν ταχίστην οἱ τὸ δρᾶμα συντεθεικότες

2—S. 72, 3 vgl. Philostorg. II 7 — **10/11** vgl. Deut. 19, 15. 17, 6. Matth. 18, 16 — **12/13** 1 Tim. 5, 19 — **16/17** vgl. Sozomen. II 19, 1. Socrat. I 24, 1. Hieronym. Adv. Rufin. 3, 42

* **2**—S. 72, 21 Niceph. H. E. VIII 45

A HN (n) GS (s) DL + FV (v) = z T

3 *ἀποδόσθαι* ADLT *ἀπο////δόσθαι* H *ἀποδίδοσθαι* Nsv | *συνέδριον* = Gel. Cass.] *ταὐτό* T* | **4** *κελεύσαντες γενέσθαι* ∾ T | **5** *ἤγαγον* T, *introduxere* Cass. | *ὑποτίτθιον* DLAc | **6** *καὶ συνειληφέναι καὶ τετοκέναι* = Gel. Nic. Cass.] *εἶναι* T, den Text belegen auch Polyd. Synax. | *εἰληφέναι* A, *συν* über *εἰ* geschrieben Ac | **7** *ἀναίδην* ANvT Nic. *ἀναίδειν* G *ἀνέδην* HSDL Gel. *impudentem* Cass. | **8** *ἔχοι* = Gel. Nic.] *ἔχει* T | *ἐκέλευσεν* = Cass.] *ἐπίτρεπεν sic* T *ἐκέλευεν* Gel. | **9** *ἔχειν* ADLT Gel. Nic. *se habere* Cass. *σχεῖν* nsv | *λεγούσης τῆς κατηγορίας* T | **10** *ἀδικώτατοι* T, *iustissimi* Cass. | **12** *μηδὲ*] *μὴ δεῖν* S Gel. *πρεσβυτέρου* = Gel. Nic. Cass.] *πρεσβυτέρων* T | **13** *ἢ* nT Gel. Nic. Tim. *aut* Cass. *καὶ* Asz | **13/14** *νόμων οὗτοι* ∾ T | **14** *τοσούτου* = Gel. Nic.] *τοιούτου* T *talem* Cass. | **15** *ἐπειδὴ* = Gel.] *ἐπεὶ* Av | **17** *ἐξήνεγκαν* — **20** *ψῆφον* > T **18** *γὰρ* > z | **20/21** *δέξασθαι κωλυόντων* = Cass.] *προβῆναι ποιήσαντες* T* | **21** *πρὸς*] *πρὸς τὸν* n

ἀπῆλθον, καὶ πείσαντες αὐτὸν ὡς ἀληθὴς ἡ γραφὴ καὶ δικαία τῆς καθαιρέσεως ἡ ψῆφος, ὡς μοιχὸν ὁμοῦ καὶ τύραννον ἐξελαθῆναι παρασκευάζουσι τὸν τῆς εὐσεβείας καὶ σωφροσύνης ἀγωνιστήν.

Καὶ ἐκεῖνος μὲν διὰ τῆς Θρᾴκης εἰς Ἰλλυρικὴν πόλιν ἀπήχθη. 22
οὗτοι δὲ πρῶτον μὲν ἀντ' αὐτοῦ χειροτονοῦσιν Εὐλάλιον. τούτου δὲ ὀλίγον ἐπιβιώσαντος χρόνον, Εὐσέβιον μεταθεῖναι τὸν Παλαιστῖνον ἠθέλησαν. ἐπειδὴ δὲ καὶ αὐτὸς ἔφυγε τὴν μετάθεσιν καὶ βασιλεὺς διεκώλυσεν, Εὐφρόνιον προεβάλοντο. καὶ τούτου δὲ τελευτήσαντος (ἐνιαυτὸν γὰρ καὶ μῆνας ὀλίγους μετὰ τὴν χειροτονίαν ἐβίω), Φλακίτῳ τῆς ἐκκλησίας ἐκείνης τὴν προεδρίαν παρέδοσαν. πάντες δὲ ὁμοίως 2
τὴν Ἀρείου λώβην εἶχον ἐγκεκρυμμένην. διά τοι τοῦτο πλεῖστοι τῶν εὐσεβεῖν προαιρουμένων καὶ τῶν ἱερωμένων καὶ τῶν πολλῶν, τοὺς ἐκκλησιαστικοὺς καταλελοιπότες συλλόγους, πρὸς ἑαυτοὺς συνηθροίζοντο. Εὐσταθιανοὺς δὲ τούτους ὠνόμαζον ἅπαντες, ἐπειδὴ μετὰ
τὴν ἔξοδον τὴν ἐκείνου συνέστησαν. τὸ μέντοι τρισάθλιον ἐκεῖνο 3
γύναιον, νόσῳ χαλεπωτάτῃ καὶ μακροτάτῃ περιπεσόν, ἐξέφηνε τὴν ἐπιβουλὴν καὶ τὴν τραγῳδίαν ἐγύμνωσεν, οὐ δύο καὶ τρεῖς ἀλλὰ παμπόλλους τῶν ἱερέων τὰ τυρευθέντα διδάξασα. ἔφη γὰρ ἐπὶ χρήμασι τὴν συκοφαντίαν ἐκείνην τετολμηκέναι, τὸν μέντοι ὅρκον μὴ πάμπαν εἶναι ψευδῆ· Εὐσταθίου γάρ τινος χαλκέως γεγενῆσθαι τὸ βρέφος. ταῦτα μὲν οὖν ἐν Ἀντιοχείᾳ παρὰ τῆς βελτίστης ἐτολμήθη συμμορίας.

6—8 vgl. Euseb. Vit. Const. III 59—61 — **8—10** vgl. Sozomen. III 20, 4 — **17** vgl. zu S. 71, 10/11

* **15—21** Synax. 481, 3

A HN (n) GS (s) DL + FV (v) = z T [bis **14** *συνηθροίζοντο*]

1 nach *αὐτὸν* + *ἐπίστευσ[.]ν ὑμῖν ὡσ ἱερεῦσ[..] ἀνίεροι καὶ φωνεῖσ* T*, Gel. Cass. wie im Text | *δικαίωσ* T* | **2** nach *ψῆφος* + *ἐξεφωνήθη* T*, Gel. Cass. wie im Text | **3** *τῆσ σωφροσύνησ καὶ τῆσ ἀληθείασ* n, Gel. Nic. Cass. wie im Text | **4** *κβ* am Rand HSS | *κἀκεῖνοσ* nsz | **7** *ἐπειδὴ δὲ*] *ἐπεὶ δὲ* n *ἐξέφυγε* n | **8** *προεβάλοντο* = Gel. *fecerunt* Cass.] *προεβάλλοντο* nDL | **9** *καὶ μῆνας ὀλίγουσ* = Gel. Cass.] *πρὸσ μησὶν ξ* T, vgl. Philostorg. III 15: *μετὰ μῆνας ξ* (von Paulinos, der auf Eustathios vor Eulalios folgte) | *φλακίτω* Lv Gel. Nic. Theophan. am Rand Ac *flacito* Cass. Codd. LP *φιλακίτω* D *φαλκίτω* NG *φαλκιωτῶ* S *φαλκίω* H *πλακίτω* T *Πλάκητοσ* Sozom. *πλακεντίω* A | **10** *ἐκείνησ* As | *προέδοσαν* V *ἔδοσαν* s, *tradidere* Cass. | **12** *καὶ τῶν πολλῶν* > T | **15** *τὴν*[2] As > S | **16** *καὶ μακροτάτῃ* Ans Gel. > z Nic. Polyd. Synax., *passionem crudelissimi languoris incurrens* Cass. | **18** *παμπολλοὺσ* (παμ Ac) A | **19** vor *τὸν* + *καὶ* A, *καὶ* fehlt bei Gel. Cass.

Παρὰ δὲ Ἰνδοῖς κατὰ τοῦτον ἀνέτειλε τὸν χρόνον τῆς θεογνω- **23**
σίας τὸ φῶς. τῆς γὰρ τοῦ βασιλέως ἀνδρίας καὶ εὐσεβείας πανταχοῦ
θρυλουμένης καὶ τῶν ἐν κύκλῳ βαρβάρων τὴν εἰρήνην αἱρεῖσθαι
πρὸ τοῦ πολέμου τῇ πείρᾳ μεμαθηκότων, ἀδεῶς ἀλλήλοις ἅπαντες
ἐπεμίγνυντο. καὶ πολλοὶ μὲν ἱστορίας χάριν, πολλοὶ δὲ ἐμπορίας, **2**
τὰς μακρὰς ἀποδημίας ἐστέλλοντο. τότε τις Τύριος τῆς θύραθεν
φιλοσοφίας μετέχων, τὴν ἐσχάτην Ἰνδίαν ἱστορῆσαι ποθήσας, σὺν
δύο μειρακίοις ἀδελφιδοῖς ἐξεδήμησεν· ὧν ἐπόθησε δὲ τυχών, ναυ-
τιλίᾳ χρώμενος ἐπανήει. ὑδρείας δὲ χάριν εἴς τινα λιμένα τοῦ **3**
σκάφους προσορμισθέντος, βάρβαροι προσπεσόντες τοὺς μὲν κατη-
κόντισαν, τοὺς δὲ ἐξηνδραπόδισαν. καὶ ἐκεῖνος μὲν τοῖς τεθνεῶσι
συνηριθμήθη, τὰ δὲ μειράκια προσήχθη τῷ βασιλεῖ. τούτων ὁ μὲν
Αἰδέσιος, ὁ δὲ Φρουμέντιος ὠνομάζετο. πεῖραν δὲ τούτων τῷ χρόνῳ **4**
λαβὼν ὁ τῆς γῆς ἐκείνης κρατῶν καὶ ἀγχίνους ἰδών, τῆς οἰκίας ἐπι-
μελεῖσθαι προσέταξεν. εἰ δέ τις ἀπιστεῖ τοῖς λεγομένοις, τὰ κατὰ
τὸν Ἰωσὴφ καὶ τῆς Αἰγύπτου τὴν βασιλείαν σκοπησάτω, πρὸς δὲ
τούτοις καὶ τοῦ προφήτου ἀναμιμνησκέσθω Δανιὴλ καὶ τῶν τριῶν
ἐκείνων τῆς εὐσεβείας ἀγωνιστῶν· καὶ γὰρ ἐκεῖνοι δορυάλωτοι γε-
νόμενοι τὴν Βαβυλωνίων ἡγεμονίαν παρέλαβον. τοῦ δὲ βασιλέως **5**
τετελευτηκότος, τῷ παιδὶ τῷ ἐκείνου συνῆσαν πλείονος τιμῆς ἀπο-
λαύοντες, εὐσεβείᾳ δὲ συντεθραμμένοι τοὺς αὐτόσε τῶν ἐμπόρων
ἀφικνουμένους κατὰ τὸ Ῥωμαίων ἔθος συναγείρεσθαί τε καὶ τὰς
θείας ἐπιτελεῖν λειτουργίας προέτρεπον.

Χρόνου δὲ συχνοῦ διελθόντος, προσίασι τῷ βασιλεῖ καὶ τῆς **6**

1—15 vgl. Sozomen. II 24, 5—11. Rufin. H. E. X 9—10. Gelas. Cyzic. III 9. Socrat. I 19. Acta SS. Octobris XII 268 — **19**—S. 74, 16 Sozomen. Rufin. Gelas. Socrat. Acta SS. ebds.

* **6**—S. 74, 16 Synax. 267, 11 — **11**—S. 74, 16 Polydeukes 306, 3

A HN (n) GS (s) DL + FV (v) = z

1 $\overline{κγ}$ am Rand HSS | **4** *ἀλλήλοισ* am Rand Ac | **4/5** *ἐπεμίγνυντο ἅπαντες* ∼ L | **8** *ἐπεπόθησεν* s | **8/9** *ναντιλλεία* A | **10** *βάρβαροι προσπεσόντες* > n | **10/11** *κατηκόντισαν* nszSynax. am Rand Ac *κατεπόντησαν* A | **12** *προσηνέχθη* n. *προσήχθησαν* Cod. Polyd. | **13** *Αἰδέσιος* = Cod. Polyd. Synax.] *ἐδέσιοσ* A **14** *οἰκείασ* An **18/19** *δοριάλωτοι γενόμενοι τὴν* übergeschrieben Ac | *δοριάλωτοι* Lv | **19** nach *τὴν* + *τῶν* A | *βαβυλωνίαν* s | **21** *δὲ*] *τε* v *αὐτόσε* ns *αὐτόθι* z und (*θι* auf Rasur Ac) A *ἐκεῖσε* Synax. | *τῶν* — **22** *κατὰ* am Rand Ac **22** *τὸ*] *τῶν* AD | *ἔθοσ* nSLvSynax. *ἔθνοσ* AGD | **23** *προέτρεπον* z

εὐνοίας ἀπαιτοῦσι μισθὸν τὴν εἰς τὴν ἐνεγκοῦσαν ἐπάνοδον· τούτου δὲ τυχόντες εἰς τὴν Ῥωμαίων ἀφίκοντο γῆν. καὶ ὁ μὲν Αἰδέσιος 7
τὴν Τύρον κατέλαβεν. ὁ δὲ Φρουμέντιος τὴν περὶ τὰ θεῖα σπουδὴν
τῆς τῶν γεγεννηκότων προτετίμηκε θέας καὶ τὴν Ἀλεξάνδρου κατα-
λαβὼν πόλιν τὸν τῆς ἐκκλησίας ἐδίδαξε πρόεδρον, ὡς Ἰνδοὶ λίαν
ποθοῦσι τὸ νοερὸν εἰσδέξασθαι φῶς. Ἀθανάσιος δὲ τηνικαῦτα τῆς 8
ἐκκλησίας ἐκείνης κατεῖχε τοὺς οἴακας· ὃς τῶν διηγημάτων ἐκείνων
ἀκούσας· »καὶ τίς σου«, ἔφη, »ἄμεινον καὶ τῆς ἀγνοίας τὴν ἀχλὺν ἀπο-
σκεδάσει τοῦ ἔθνους καὶ τοῦ θείου κηρύγματος αὐτοῖς ἀποίσει τὴν
αἴγλην;« ταῦτα εἰπὼν καὶ τῆς ἀρχιερατικῆς αὐτῷ χάριτος μεταδούς,
εἰς τὴν τοῦ ἔθνους ἐξέπεμψε γεωργίαν. ὁ δὲ καὶ τὴν πατρίδα κατα- 9
λιπὼν καὶ τοῦ μεγίστου πελάγους καταφρονήσας, κατέλαβε μὲν τὸ
ἀγεώργητον ἔθνος, ἐγεώργησε δὲ προθύμως συνεργὸν ἔχων τὴν
θεόσδοτον χάριν. ἀποστολικαῖς γὰρ κεχρημένος θαυματουργίαις τοὺς
ἀντιλέγειν τοῖς λόγοις πειρωμένους ἐθήρευε, καὶ ἡ τερατουργία μαρ-
τυροῦσα τοῖς λεγομένοις παμπόλλους καθ' ἑκάστην ἡμέραν ἐζώγρει.

Ἰνδῶν μὲν οὖν ὁ Φρουμέντιος πρὸς θεογνωσίαν ἐγένετο ποδηγός. 24
Ἴβηρας δὲ κατὰ τὸν αὐτὸν χρόνον γυνὴ δορυάλωτος πρὸς τὴν ἀλή-
θειαν ἐξενάγησεν. αὕτη γὰρ προσευχῇ μὲν ἐχρῆτο διηνεκεῖ, εὐνὴ δὲ
ἦν αὐτῇ καὶ στρωμνὴ μαλακὴ σάκκος ἐπὶ τοῦ δαπέδου καθηπλωμέ-
νος, τρυφὴν δὲ ἄκραν τὴν νηστείαν ἐνόμιζεν. οὗτος ὁ πόνος τῶν
ἀποστολικῶν αὐτῇ μεταδέδωκε χαρισμάτων. ἐπειδὴ γὰρ οἱ βάρβαροι 2
τῆς ἰατρικῆς σπανίζοντες ἐπιστήμης εἰώθασιν ἀρρωστοῦντες πρὸς
ἀλλήλους φοιτᾶν, καὶ παρὰ τῶν ἤδη νενοσηκότων καὶ τῆς ἀρρωστίας
ἀπαλλαγέντων μανθάνειν τῆς ὑγείας τὸν τρόπον, ἀφίκετό τις γυνὴ
πρὸς τὴν ἀξιέπαινον ἄνθρωπον παιδίον ἀρρωστοῦν ἔχουσα καὶ μαθεῖν
τὸ πρακτέον ἀντιβολοῦσα. ἡ δὲ τοῦτο λαβοῦσα καὶ εἰς τὴν εὐνὴν 3
κατακλίνασα, ἱκέτευε τὸν τῶν ὅλων δημιουργὸν νεῦσαι καὶ λῦσαι τὴν

18—S. 76, 13 vgl. Socrat. I 20. Sozomen. II 7. Rufin. H. E. X 11. Gelas. Cyzic. III 10

* **18**—S. 76, 13 Polydeukes 306, 20. Synax. 167, 25

A HN (n) GS (s) DL + FV (v) = z

1 *ἐπενεγκοῦσαν* A | **2** *ἐδέσιος* A | **5** *πόλιν* As | **7** *ἐκείνων* > z **8** *τῆς ἀγνοίας τὴν* = Synax.] *τὴν τῆς ἀγνοίας* A | **12** *μὲν* As | **14** *θεόσδοτον* = Synax.] *θεύδοτον* A | **15** *ἐθήρευσεν* Ns | **17** *οὖν* > A | **18** *Ἴβηρας*: *κδ* am Rand HSS | *δοριάλωτος* z | **21/22** *αὐτῇ τῶν ἀποστολικῶν* ∾ nsz **26** *ἄρρωστον* ns | **27** *ἡ δὲ τοῦτο λαβοῦσα* am Rand Ac | **28** *ἀνακλίνασα* n Synax. *ἀνακλίνουσα* Cod. Polyd. | *λῦσαι* A

νόσον· ὁ δὲ τὴν ἱκετείαν δεξάμενος παρέσχε τὴν ὑγείαν. ἐντεῦθεν ἡ θαυμασία γυνὴ πολυθρύλητος γέγονεν. οὐδὲ γὰρ τὴν τοῦ βασιλέως 4
ὁμόζυγα τὸ γεγενημένον διέλαθε, παραυτίκα δὲ αὐτὴν μετεπέμψατο· ὑπό τινος γὰρ καὶ αὐτὴ χαλεποῦ κατείχετο πάθους. ἡ δὲ μετρίῳ
5 κεχρημένη φρονήματι τῆς βασιλίδος τὴν αἴτησιν οὐκ ἐδέξατο· ἀλλ' ὑπὸ τῆς χρείας ἐκείνη βιαζομένη τὴν βασιλικὴν ἀξίαν εἰς νοῦν λαβεῖν οὐκ ἠθέλησεν, ἀλλ' αὐτὴ πρὸς τὴν δορυάλωτον ἔδραμεν. ἡ δὲ πάλιν 5
ἐπὶ τῆς εὐτελοῦς εὐνῆς αὐτὴν κατακλίνασα φάρμακον ἀλεξίκακον προσενήνοχε τῷ πάθει τὴν προσευχήν. ἡ δὲ βασιλὶς τῆς θεραπείας
10 μισθὸν προσεκόμιζεν ὃν ἐνόμιζεν ἀξιόκτητον, χρυσὸν καὶ ἄργυρον καὶ χιτῶνας καὶ ἀμπεχόνας καὶ ὅσα τῆς βασιλικῆς ἐστι δῶρα φιλοτιμίας. ἡ δὲ θεία γυνὴ τούτων ἔφη μὴ δεῖσθαι, μέγαν δὲ ἡγεῖσθαι 6
μισθὸν τὴν τῆς εὐσεβείας ἐπίγνωσιν· καὶ προσέφερεν, ὡς ἐνῆν, τὰ θεῖα παιδεύματα, καὶ θεῖον ἀνεγείρει παρεγγυᾷ νεὼν τῷ σεσωκότι
15 Χριστῷ. τούτων ἐκείνη ἀκούσασα κατέλαβε τὰ βασίλεια. καὶ παραυ- 7
τίκα μὲν ἐξέπληξε τὸν ὁμόζυγα τῷ συντόμῳ τῆς θεραπείας· εἶτα τοῦ θεοῦ τῆς αἰχμαλώτου τὴν δύναμιν ἐδήλου καὶ παρεκάλει τοῦτον μόνον εἰδέναι θεὸν καὶ νεὼν αὐτῷ κατασκευάσαι καὶ ἅπαν εἰς τὴν τούτου θεραπείαν μεταθεῖναι τὸ ἔθνος. ὁ δὲ τὸ μὲν εἰς τὴν ὁμόζυγα
20 θαῦμα γεγενημένον εὐφήμει, τὸν δὲ νεὼν οὐκ ἤθελε δείμασθαι.

Ὀλίγου δὲ διελθόντος χρόνου, αὐτὸς μὲν εἰς θήραν ἐξῆλθεν, ὁ δὲ φιλάνθρωπος αὐτὸν δεσπότης κατὰ τον Παῦλον ἐθήρευσε. ζόφος 8
γὰρ αὐτῷ ἐξαπίνης προσπεσὼν οὐκ εἴα περαιτέρω προβαίνειν. καὶ οἱ μὲν συνθηρεύοντες τῆς ἀκτῖνος συνήθως ἀπήλαυον, οὗτος δὲ μόνος
25 ἀποληφθεὶς τοῖς τῆς ἀορασίας ἐπεδήθη δεσμοῖς· ἐν ἀπορίᾳ δὲ ὢν πόρον εὗρε τῆς σωτηρίας. εὐθὺς γὰρ εἰς νοῦν τὴν ἀπείθειαν λαβὼν καὶ τὸν τῆς αἰχμαλώτου θεὸν καλέσας ἐπίκουρον, ἀπηλλάγη τοῦ ζόφου. καὶ τὴν ἀξιάγαστον ἐκείνην καταλαβὼν δορυάλωτον, παρε- 9
κάλει δεῖξαι τῆς οἰκοδομίας τὸ σχῆμα. ὁ δὲ τὸν Βεσελεὴλ τῆς 10

29 f Exod. 31, 2—4

A HN (n) GS (s) DL + FV (v) = z

4 *χαλεποῦ καὶ αὐτὴ* ∼ n | *χαλεποῦ* As | **5** *φρονήματι* = Cod. Polyd. *τῷ φρονήματι* A | **6** *ἐκείνη* A | **7** *δοριάλωτος* Lv | **10** *προσεκόμιζεν* = Cod. Polyd.] *προσεκόμισεν* DLF *ἐκόμισεν* V | *μιζεν ὃν ἐνό* am Rand Ac **14** *παρηγγύα* L *παρηγγυᾶτο* Synax. | *ναὸν* nsSynax. | **16** *τῷ συντόμῳ* übergeschrieben Ac *τῷ συντόνῳ* s | **18** *παρασκευάσαι* A | **19** *τούτου* nszSynax. *αὐτοῦ* A | **20** *γεγενημένον θαῦμα* ∼ nG | *δήμασθαι* A | **23** *αὐτῷ* nsz Cod. Polyd. *αὐτὸν* A | *πορρωτέρω* ns | **24** *θηρεύοντες* nL, *οἱ μὲν σὺν αὐτῷ θηρεύοντες* Synax. | *ἀπέλαυον* v | **25** *ἀποληφθεὶς* AnsV *ἀπολειφθεὶς* DLF *ὑπολειφθεὶς* Synax. | **28** *δοριάλωτον* LV | **29** *δεῖξαι* auf Rasur Ac

ἀρχιτεκτονικῆς σοφίας ἐμπλήσας καὶ ταύτην ἠξίωσε χάριτος ὥστε τὸν θεῖον διαγράψαι νεών. καὶ ἡ μὲν διέγραφεν, οἱ δὲ ὤρυττόν τε καὶ ᾠκοδόμουν. ἐπειδὴ δὲ ἐτελέσθη τὸ οἰκοδόμημα καὶ ὁ ὄροφος ἐπετέθη καὶ μόνων ἐδεῖτο τῶν ἱερέων, εὗρε καὶ τούτου πόρον ἡ θαυμασία γυνή. ἔπεισε γὰρ τὸν τοῦ ἔθνους ἡγούμενον πρὸς τὸν Ῥωμαίων πρεσβεύσασθαι βασιλέα καὶ αἰτήσασθαι πεμφθῆναι σφίσι διδάσκαλον εὐσεβείας. ὁ μὲν οὖν δεξάμενος τὴν εἰσήγησιν τοὺς πρε- 11
σβευσομένους ἐξέπεμψεν· ὁ δὲ βασιλεύς, τῆς αἰτήσεως τὴν αἰτίαν μαθών (Κωνσταντῖνος δὲ ἦν ὁ τῆς εὐσεβείας θερμότατος ἐραστής), φιλοφροσύνης μὲν παμπόλλης τοὺς πρέσβεις ἠξίωσεν, ἄνδρα δὲ πίστει καὶ συνέσει καὶ βίῳ κοσμούμενον καὶ τῆς ἀρχιερωσύνης ἠξιωμένον κήρυκα τῷ ἔθνει τῆς θεογνωσίας ἐξέπεμψε μετὰ δώρων ὅτι μάλιστα πλείστων. ταύτης μὲν οὖν τῆς προμηθείας τοὺς ἠτηκότας ἠξίωσε. 12

Τῶν ἐν Περσίδι δὲ τῆς εὐσεβείας τροφίμων αὐτόματος προὐνοήθη. μαθὼν γὰρ αὐτοὺς ὑπὸ τῶν δυσσεβῶν ἐξελαύνεσθαι καὶ τὸν ἐκείνων 13
βασιλέα τῇ πλάνῃ δεδουλωμένον παντοδαπὰς αὐτοῖς καττύειν ἐπιβουλὰς ἐπέστειλε, καὶ παραινῶν εὐσεβεῖν καὶ τοὺς εὐσεβοῦντας τιμῆς ἀπολαύειν αἰτῶν. ἄμεινον δὲ τὴν τοῦ γεγραφότος σπουδὴν ἐπιδείξει τὰ γράμματα.

»Βασιλέως Κωνσταντίνου ἐπιστολὴ πρὸς Σαβώρην τὸν »Περσῶν βασιλέα περὶ τῆς τοῦ λαοῦ τοῦ θεοῦ προνοίας.

»Τὴν θείαν πίστιν φυλάσσων τοῦ τῆς ἀληθείας φωτὸς μετα- 25
»λαγχάνω· τῷ τῆς ἀληθείας φωτὶ ὁδηγούμενος τὴν θείαν πίστιν

14 vgl. Euseb. Vit. Const. IV 8 — **15—17** vgl. Sozomen. II 15, 1 — **20**—S. 79, 13 bei Euseb. Vit. Const. IV 9—13. vgl. Sozomen. II 15

* **14**—S. 80, 9 Gelas. Cyzic. III 10—11 — **14**—S. 80, 7 Cass. III 3

A HN(n) GS(s) DL + FV(v) =z T [von **22** an]

1 *ἀρχιτεκτονίας σοφίας* S *ἀρχιτεκτονία σοφίσας* G | *ὥστε*] *ὡς* AV | **3** *ὁ* > Lv | **4/5** *θαυμαστὴ* LV | **5** *τοῦ ἔθνους τὸν* ∾ n | **6** *αἰτήσασθαι* nsz Cod. Polyd. Synax. *αἰτῆσαι* A | **7/8** *πρεσβυτέρους* G *πρέσβεις* S | **8** *αἰτήσεως* auf Rasur A | **10** *παμπόλλου* A | **13** *μὲν οὖν* übergeschrieben Ac | *ἠτηκότας*] *ἠκότας* G *εἰκότας* S | **14** *αὐτομάτως* n *sponte* Cass. | *προνοήθη* s | **16** *αὐτοὺς* L | **16/17** *ἐπέστειλεν ἐπιβουλὰς* ∾ s | *ἀπέστειλε* n | **18** *ἐπιδεῖξαι* An | **20** *κε* am Rand HSS | *βασιλέως* — **21** *προνοίας* = Cass. Eus. Cod. V > AV Eus. übr. Codd. | *Κωνσταντίνου βασιλέως* ∾ ST | *ἐπιστολὴ* vor *βασιλέως* ∾ n Gel. | *σαβώρην* nD und (nach *βασιλέα* ∾) L *saborem* Cass. Cod. L *σαβώριν* T *ἀπώρην* S *ἀπώριν* F *σαπώρην* G Eus. *Saporem* Cass. Cod. P *Σαβώριον* Gel. | *τὸν* ns *τὸν τῶν* DLF > T | **21** *τοῦ λαοῦ τοῦ θεοῦ* = Gel. Cass. Eus.] *τῶν χριστιανῶν* T | **23** *τῷ*] *καὶ τῶ* T ////// *τῶ* A, *καὶ* fehlt in Gel. Cass. Eus.

»ἐπιγινώσκω. τοιγάρτοι τούτοις, ὡς τὰ πράγματα βεβαιοῖ, τὴν ἁγιω-
»τάτην θρησκείαν γνωρίζω διδάσκαλον τῆς ἐπιγνώσεως τοῦ ἁγιω-
»τάτου θεοῦ· ταύτην τὴν λατρείαν ἔχειν ὁμολογῶ, τούτου τοῦ θεοῦ
»τὴν δύναμιν ἔχων σύμμαχον, ἐκ τῶν περάτων τοῦ ὠκεανοῦ ἀρξά-
»μενος πᾶσαν ἐφεξῆς τὴν οἰκουμένην βεβαίαις σωτηρίας ἐλπίσι διή-
»γειρα, ὡς ἅπαντα ὅσα ὑπὸ τοσούτοις τυράννοις δεδουλωμένα ταῖς
»καθημεριναῖς συμφοραῖς ἐνδόντα ἐξίτηλα ἐγεγόνει, ταῦτα προσλαβόντα
»τὴν τῶν κοινῶν ἐκδικίαν, ὥσπερ ἔκ τινος θεραπείας, ἀναζωπυρη-
»θῆναι. τοῦτον τὸν θεὸν πρεσβεύω· οὗ τὸ σημεῖον ὁ τῷ θεῷ ἀνα- 2
»κείμενός μου στρατὸς ὑπὲρ τῶν ὤμων φέρει, καὶ ἐφ' ἅπερ ἂν ὁ τοῦ
»δικαίου λόγος παρακαλῇ κατευθύνεται· ἐξ αὐτῶν δὲ ἐκείνων περι-
»φανέσι τροπαίοις αὐτίκα τὴν χάριν ἀντιλαμβάνω. τοῦτον τὸν θεὸν
»ἀθανάτῳ μνήμῃ τιμᾶν ὁμολογῶ, τοῦτον ἀκραιφνεῖ καὶ καθαρᾷ δια-
»νοίᾳ ἐν τοῖς ἀνωτάτω τυγχάνειν ὑπεραυγάζομαι.

»Τοῦτον ἐπικαλοῦμαι γόνυ κλίνας, φεύγων μὲν πᾶν αἷμα βδελυ- 3
»κτὸν καὶ ὁσμὰς ἀηδεῖς καὶ ἀποτροπαίους, πᾶσαν δὲ γεώδη λαμπηδόνα
»ἐκκλίνων, οἷς πᾶσιν ἡ ἀθέμιτος καὶ ἄρρητος πλάνη χραινομένη πολ-
»λοὺς τῶν ἐθνῶν καὶ ὅλα γένη κατέρριψε τοῖς κατωτάτω μέρεσι
»παραδοῦσα. ἃ γὰρ ὁ τῶν ὅλων θεὸς προνοίᾳ τῶν ἀνθρώπων διὰ 4
»φιλανθρωπίαν οἰκείαν χρείας ἕνεκα εἰς τοὐμφανὲς παρήγαγε, ταῦτα
»πρὸς τὴν ἑκάστου ἐπιθυμίαν ἕλκεσθαι οὐδαμῶς ἀνέχεται, καθαρὰν
»δὲ μόνην διάνοιαν καὶ ψυχὴν ἀκηλίδωτον παρὰ ἀνθρώπων ἀπαιτεῖ.
»τὰς τῆς ἀρετῆς καὶ εὐσεβείας πράξεις ἐν τούτοις σταθμώμενος.

A HN(n) GS(s) DL + FV(v) = z T

1 τοιγάρτοι τούτοις Ansz Eus. *denique per haec* Cass. τοιγάρτοι Gel. τοῖσ γὰρ τοιούτοισ T | **2** γνωρίζω Asz Gel. Eus. *conspicio* Cass. γνωρίζων T γινώσκω n nach διδάσκαλον + οὖσαν Gel., vgl. *esse conspicio* Cass. | **2/3** ἁγιωτάτου = Gel. Cass.] ἁγίου TEus. | **4** σύμμαχον ἔχων ∼ A | **5** βεβαίασ A βεβαίοισ TEus. βεβαία *sic* Gel. | σωτηρίας = Gel. Cass. Eus. > n | **5/6** διήγηρα A | **6** τυράννοισ übergeschrieben Ac | **7** ἐνδόντα] ἑνόντα A | **9/10** μου ἀνακείμενοσ ∼ T, Eus. wie im Text | **10** μου] μοι ns Gel. Eus. Cod. J *meus* Cass. | τῶν > Ns | ἅπερ nsD Eus. Gel. ὅπερ (ὅ auf Rasur Ac) Av ὥπερ LT | ἂν > n | **11** παρακαλεῖ AHGT Gel. | **12** αὐτίκα = Gel. Eus.] παραυτίκα A | ἀντιλαμβάνων SL | τὸν > s | **15** γόνυ κλίνασ ns Gel. Eus. *γονυκλινήσ* AzT | μὲν = Eus. > T und Gel. erster Hand | **16** ἀπο/ /τροπαίουσ A | δὲ] τε n | γεώδη nsT Eus. *terrenam* Cass. ἐπωδῆσ z ἐπωδῆ^σ in A, ἐπ auf Rasur und σ übergeschrieben Ac | **17** ἄρρητοσ AnsT Eus. *ineffabilis* Cass. ἀνίεροσ z γρ. ἀνίεροσ am Rand Ac | **18** κατέρριψε = Gel. Cass. Eus.] κατέτριψεν T | **20** ταὐτην A in ταῦτα corr. Ac | **23** πράξεισ HszGel. Cass. Eus. πάσησ A und πράξεισ übergeschrieben Ac > NT

>ἐπιεικείας γὰρ καὶ ἡμερότητος ἔργοις ἀρέσκεται, πράους φιλῶν, 5
>μισῶν τοὺς ταραχώδεις, ἀγαπῶν τὴν πίστιν, ἀπιστίαν κολάζων,
>πᾶσαν μετ᾽ ἀλαζονείας δυναστείαν καταρρηγνύς, ὕβριν ὑπερηφάνων
>τιμωρεῖται, τοὺς ὑπὸ τύφου ἐπαιρομένους ἐκ βάθρων ἀναιρεῖ, ταπει-
>νόφροσι καὶ ἀνεξικάκοις τὰ πρὸς ἀξίαν νέμων. οὕτω καὶ βασιλείαν 6
>δικαίαν περὶ πολλοῦ ποιούμενος ταῖς παρ᾽ ἑαυτοῦ ἐπικουρίαις κρα-
>τύνει, σύνεσίν τε βασιλικὴν τῷ γαληναίῳ τῆς εἰρήνης διαφυλάττει.

>Οὔ μοι δοκῶ πλανᾶσθαι, ἀδελφέ μου, τοῦτον εἶναι θεὸν ὁμο-
>λογῶν πάντων ἀρχηγὸν καὶ πατέρα, ὃν πολλοὶ τῶν τῇδε βασιλευ-
>σάντων μανιώδεσι πλάναις ὑπαχθέντες ἐπεχείρησαν ἀρνήσασθαι.
>ἀλλ᾽ ἐκείνους ἅπαντας τοιοῦτον τιμωρὸν τέλος κατανάλωσεν, ὡς
>πᾶν τὸ μετ᾽ ἐκείνους ἀνθρώπων γένος τὰς ἐκείνων συμφορὰς ἀντ᾽
>ἄλλου παραδείγματος ἐπαράτους τοῖς τὰ ὅμοια ζηλοῦσι τίθεσθαι.
>τούτων ἐκεῖνον ἕνα ἡγοῦμαι γεγονέναι, ὃν καθάπερ τις σκηπτὸς ἡ 7
>θεία μῆνις τῶν τῇδε ἀπελάσασα τοῖς ὑμετέροις μέρεσι παραδέδωκε.
>τῆς ἐπ᾽ αὐτῷ αἰσχύνης πολυθρύλητον τὸ παρ᾽ ὑμῖν τρόπαιον ἀπο-
>φήναντα.

Ἀλλὰ γὰρ ἔοικεν εἰς καλὸν προκεχωρηκέναι τὸ καὶ ἐν τῷ καθ᾽
>ἡμᾶς αἰῶνι τὴν τῶν τοιούτων τιμωρίαν περιφανῆ δειχθῆναι. ἐπεῖδον 8
>γὰρ καὶ αὐτὸς ἐκείνων τὰ τέλη τῶν ἔναγχος ἀθεμίτοις προστάγμασι
>τὸν τῷ θεῷ ἀνακείμενον λαὸν ἐκταραξάντων. διὸ δὴ καὶ πολλὴ
>χάρις τῷ θεῷ, ὅτι τελείᾳ προνοίᾳ πᾶν τὸ ἀνθρώπινον τὸ θερα-
>πεῦον τὸν θεῖον νόμον, ἀποδοθείσης αὐτῷ τῆς εἰρήνης, ἀγάλλεται
>καὶ γαυριᾷ. ἐντεῦθεν καὶ ἡμῖν αὐτοῖς πέπεισμαι ὡς ὅτι κάλλιστα 9

3 vgl. Jes. 13, 11

A HN (n) GS (s) DL + FV (v) = z T

1 *φιλῶν* ||/| A | **2** *τοὺς ταραχώδεις μισῶν* ∾ Lv und, *τοὺς* >, D | *τὴν* *Π* Gel. > Eus. | **3** *καταρρηγνύσ* nsDL Eus. *καταγ*ρη*νοίησ* (*ρη* A^c) A *καταρρήγνυσιν* v *καταγνούσ* T *καταγνοὺς καταβάλλει* Gel. *despicit* Cass. | **8** *εἶναι* = Gel. Cass.] *ἕνα* Eus. | **9** *πατέρα* = Cass. Eus.] *σρ̄α* A Gel. | **11** *ἐκείνουσ* *Π* Gel. *ἐκείνους μὲν* Eus. | **12** *πᾶν τὸ* = Gel. Eus. Cass.] *πάντοτε* A | **13** *ἐπαράτουσ τοῖσ* Ans *ἐπαράτου τοῖσ* DLT *ἐπαράτουσ* v *τοῖς παρὰ τούτοις* Eus., *clades eorum pro maledictionis exemplo proponere videatur* Cass. | **14** *ἐκεῖνον* Eus. und, aus Correct., Gel.] *ἐκείνων* *Π* > Cass. | **15** *μῆνις* = Eus. Sozom.] *μήνησισ* A *μήνισισ* T *ἡμετέροισ* A | **16/17** *ἀποφήναντα* = Gel. Cass. Eus.] *ἀποφήνασα* s | **21** *ἐκταραξάντων* *Π* Gel. *turbaverunt* Cass. *ἐκπραξάντων* Eus., s. zu 67, 16 | **22** *πᾶν* AT Gel. Eus. *ἅπαν* nsz | **23** *αὐτῷ* *Π* Gel. *αὐτοῖς* Eus. | *εἰρήνησ* AT Gel. Cass. Eus.] *θείασ εἰρήνησ* nsz | **24** *πέπεισμαι* nsz Cass. Eus. *πεπίστευμαι* A *πεπείσμεθα* T *πεπεισμένον* Gel. | *ὡς* = Eus. > A Gel. | *κάλλιστα* = Gel. Eus. *optime* Cass.] *μάλιστα* nGv

»καὶ ἀσφαλέστατα ἔχει ἅπαντα, ὁπότε διὰ τῆς ἐκείνων καθαρᾶς τε »καὶ δοκίμου θρησκείας ἐκ τῆς περὶ τὸ θεῖον συμφωνίας πάντας εἰς »αὐτὸν ἀγείρειν ἀξιοῖ.

»Τούτου τοῦ καταλόγου τῶν ἀνθρώπων, λέγω δὴ τῶν χριστιανῶν 10
»(ὑπὲρ γὰρ τούτων ὁ πᾶς μοι λόγος), πῶς οἴει με ἥδεσθαι ἀκούοντα, »ὅταν καὶ τῆς Περσίδος τὰ κράτιστα ἐπὶ πλεῖστον ὥσπερ ἔστι μοι »βουλομένῳ κοσμῆται. σοί τε οὖν ὡς ὅτι κάλλιστα ἐκείνοις τε ὡσαύ»τως ὑπάρχοι τὰ κάλλιστα, ὅ τι σοὶ κἀκείνοις. οὕτω γὰρ ἕξεις τὸν »τῶν ὅλων δεσπότην πρᾶον, ἵλεω καὶ εὐμενῆ. τούτους τοιγαροῦν, 11
»ἐπειδὴ τοσοῦτος εἶ, σοὶ παρατίθεμαι, τοὺς αὐτοὺς τούτους, ὅτι καὶ »εὐσεβείᾳ ἐπίσημος εἶ, ἐγχειρίζων. τούτους ἀγάπα ἁρμοδίως τῆς αὐτοῦ »φιλανθρωπίας. σαυτῷ τε γὰρ καὶ ἡμῖν ἀπερίγραπτον δώσεις διὰ »τῆς πίστεως τὴν χάριν.«

Τοσαύτην ὁ πάντα ἄριστος βασιλεὺς τῶν εὐσεβείᾳ κοσμουμένων 12
ἐποιεῖτο φροντίδα, οὐ μόνον τῶν ὑπηκόων ἐπιμελούμενος ἀλλὰ καὶ

14—S. 80, 1 vgl. Sozomen. II 15, 5

* **4**—S. 80, 7 Niceph. H. E. VIII 38

A HN (n) GS (s) DL + FV (v) = z T W [von **4**—**13**]

1 ἔχει AnSvT ἔχειν A^{c}GDL Eus. | **2** πάντας Eus. πάντα/// A πάντα die übr. HSS Gel. *universa* Cass. | **4** τουτον τοῦ καταλόγου ANsLvTWGel. und HSS. Eus. = *de tali hominum collegio* Cass. τούτω τῶ καταλόγω HD | **6** ὅταν ANsLvTW Gel. ὅτε Eus. Cod. V *quando* Cass. ὅτι HD Eus. | **7** κοσμῆται AsFW Gel. κοσμεῖται nDLVT κεκόσμηται Eus. | τε² = Eus.] δὲ T | **8** ὑπάρχοι τὰ] ὑπάρχοντα T | ὑπάρχοι nsF Eus. Cod. V ὑπάρχει / (ει aus *o* . . corr. A^{c}) A ὑπάρχει DLVW Eus. Codd. JMBA ὑπάρξοι Gel. | ὅτι ADLTGel.Eus. ὅ ἐστι nsvW | κἀκείνοισ AnsvW Eus. Cod. J κἀκεῖνοι DLTGel. Eus. Cod. V, ὑπάρχοι und κἀκείνοις belegt auch Cass.: *tu ergo optime gubernaveris si fueris sicut illi, et habueris commune quod illi* γὰρ > n | **9** δεσπότην πρᾶον AnsTCass. θεὸν πρᾶον zW δεσπότην καὶ θεὸν πρᾶον Gel. δεσπότην πατέρα θεὸν Eus. | καὶ] τε καὶ nV | τούτοισ Lv | **10** παρατίθεμαι = Eus.] παρατίθημι VTGel. | τοὺς αὐτοὺς τούτους] τούτουσ αὐτοὺσ T τοὺσ αὐτοὺσ δὲ τούτουσ W | καὶ > Lv | **11** ἐγχειρίζων nsT Gel. Eus. ἐγχειρίζω AzW | **11/12** τῆσ αὐτοῦ (ἑαυτοῦ D σαυτοῦ L Gel.) φιλανθρωπίασ AnszTGel. τῆσ σεαυτοῦ (ἑαυτοῦ Cod. V) φιλανθρωπίασ Eus. HSS τῇ σαυτοῦ φιλανθρωπία W | **12** σαυτῷ AzWT αὐτῷ nsEus. Cod. V | ἀπ/ρ/γραπτον T | **13** τὴν Ans Gel. Eus. > zW | **14** τοσαύτη T | ὁ πανάριστοσ T ὁ τὰ πάντα ἄριστος Gel. | **15** ἐποιεῖτο = Gel.] σπουδῇ ἐποιεῖτο τὴν T | μόνον AnGDL Gel. Cass. μόνων SvT | ἐπιμελόμενοσ T

τῶν ὑφ᾽ ἕτερα σκῆπτρα τελούντων εἰς δύναμιν προμηθούμενος. διά τοι τοῦτο καὶ αὐτὸς τῆς θείας κηδεμονίας ἀπήλαυε καὶ τῆς τε Εὐρώπης ἁπάσης καὶ τῆς Λιβύης, πρὸς δὲ ταύταις καὶ τοῦ πλείστου τῆς Ἀσίας κατέχων τὰς ἠνίας, εὔνους εἶχε τοὺς ἀρχομένους καὶ τῷ χαλινῷ μεθ᾽ ἡδονῆς πειθομένους. καὶ μὲν δὴ καὶ τῶν βαρβάρων οἱ **13** μὲν ἑκόντες ἐδούλευον, οἱ δὲ πολέμῳ κρατούμενοι· καὶ πανταχοῦ τρόπαια ἵστατο καὶ νικηφόρος ὁ βασιλεὺς ἀνεδείκνυτο. ἀλλὰ ταῦτα μὲν καὶ ἕτεροι διὰ πλειόνων εὐφήμησαν· ἡμεῖς δὲ τῆς προκειμένης ἱστορίας ἐχώμεθα.

Ὁ μὲν οὖν πανεύφημος βασιλεὺς τὰς ἀποστολικὰς φροντίδας ἐν τῇ ψυχῇ περιέφερεν, οἱ δὲ τῆς ἱερωσύνης ἠξιωμένοι οὐ μόνον οἰκο- **14** δομεῖν οὐκ ἐβούλοντο, ἀλλὰ καὶ αὐτὰ τὰ τῆς ἐκκλησίας ἀνορύττειν ἐπεχείρουν θεμέλια. τοὺς γὰρ δὴ τούτων μετὰ τῶν ἀποστολικῶν ἡγουμένους δογμάτων, παντοδαπὰς συκοφαντίας ὑφαίνοντες, καθαι- ροῦντες ἐξήλαυνον. οὐ γὰρ δὴ ἔλαβον κόρον τοῦ φθόνου τὸ πολυ- **15** θρύλητον ἐκεῖνο κατὰ Εὐσταθίου τοῦ μεγάλου δρᾶμα συντεθεικότες, ἀλλὰ καὶ ἄλλον πύργον μέγιστον τῆς εὐσεβείας ὑπορύττειν ἐπεχείρουν καὶ τὰς παντοδαπὰς προσέφερον μηχανάς. ἐν συντόμῳ δὲ καὶ τήνδε τὴν τραγῳδίαν ὡς ἔνι μάλιστα διηγήσομαι.

Ἀλεξάνδρου τοῦ θαυμασίου πρεσβύτου, ὃς τὴν Ἀρείου κατηγωνί- **26** σατο βλασφημίαν, τοῦ βίου τὸ τέρμα κατειληφότος μετὰ μῆνας πέντε τῆς ἐν Νικαίᾳ συνόδου, τὴν τῆς Ἀλεξανδρέων ἐκκλησίας Ἀθανάσιος διεδέξατο προεδρίαν, ἀνὴρ παιδόθεν μὲν τοῖς θείοις μαθήμασιν ἐντραφείς, ἐν ἑκάστῃ δὲ τάξει τῶν ἐκκλησιαστικῶν χορῶν γενόμενος

2—7 vgl. Euseb. Vit. Const. IV 14. I 8 — **20**—S. 81, 9 vgl. Rufin. H. E. X 15, 980, 11—18 — **21** vgl. Athan. Apol. c. Arian. 59 PG 25, 357 A

* **10—13** Niceph. H. E. VIII 43 — **10—14** Gelas. Cyzic. III 12 — **14—16** Gelas. Cyzic. III 16, 150a, 7—8 — **20—23** Cass. III 4

B von **14**-*τες καθαιροῦντες* an] A HN(n) GS(s) DL+FV(v)=z T [bis **13** *θεμέλια*]

2 *ἀπέλαυεν* Lv *ἀπήλαβε* D *ἀπέλαβεν* T *ἀπήλαυσεν* s Gel. *potitus est* Cass. | **3** *τοῦ* As | **4** *κατέχων* = Gel. *tenens* Cass.] *λαχὼν* A | *εἶχον* A | *καὶ τῷ — 5 πειθομένους* ADLT Gel. Nic. > nsv Cass. | **6** *ἑκότες* T | **9** *ἐχόμεθα* AT | **10** *κζ* am Rand sLv | *οὖν* > Lv | *βασιλεὺς* > A | **11** *δὲ*] *δέ γε* A | **13** *δὴ* > s | **15** *κόρον* nsz Gel. *καιρὸν* BA | **16** *συντεθηκότες* BA, *η* in *εἰ* corr. Ac | **17** *τῆσ* V *κατὰ τῆσ* F | **20** *κζ* am Rand AD | *πρεσβύτου* BA *sene* Cass., vgl. Rufin Z. 14 *sene Alexandro*, *ἐπισκόπου* nsz *γρ. ἐπισκόπου* übergeschrieben Ac | **23/24** *ἐντραφείς*] *παιδευθείς* n | **24** *ἐν* > Lv /// A

ἀξιάγαστος. οὗτος ἐν τῇ μεγάλῃ συνόδῳ τοὺς ὑπὲρ τῶν ἀποστολι- 2
κῶν δογμάτων ἀγῶνας ἀναδεξάμενος, παρὰ μὲν τῶν τῆς ἀληθείας
εὐφημεῖτο προμάχων, τῶν δέ γε ἀντιπάλων, ὡς ἀνταγωνιστής, ἐχθρὸς
ἐγένετο καὶ πολέμιος. συνῆν δὲ Ἀλεξάνδρῳ τῷ πάνυ νέος μὲν ὢν 3
τὴν ἡλικίαν, τοῦ χοροῦ δὲ τῶν διακόνων ἡγούμενος. ταύτην αὐτοῦ
τὴν ὑπὲρ τῆς ἀληθείας προθυμίαν τῇ πείρᾳ μεμαθηκότες οἱ τῷ
μονογενεῖ θεῷ πολεμεῖν ἐγνωκότες, καὶ γνόντες τῆς Ἀλεξανδρέων
ἐκκλησίας ἐγχειρισθέντα τοὺς οἴακας, κατάλυσιν τῆς σφετέρας δυσ-
σεβείας ὑπέλαβον τὴν ἐκείνου ἡγεμονίαν. τούτου δὴ εἵνεκα τοιόνδε
τι μηχανῶνται.

Μελίτιος ἐκεῖνος, ὃν ἡ ἐν Νικαίᾳ σύνοδος ἀπεκήρυξεν, ἐπέμενε 4
κυκῶν καὶ ταράττων τήν τε Θηβαΐδα καὶ τὴν ταύτῃ πελάζουσαν
Αἴγυπτον· τῶν τούτου στασιωτῶν τινας μισθωσάμενοι, ἵν' ἀνύπο-
πτον ᾖ τῆς κατηγορίας τὸ σχῆμα, πείθουσι πρὸς βασιλέα δραμεῖν καὶ
συκοφαντίαν ὑφῆναι, ὡς Ἀθανάσιος τελωνεῖ μὲν τὴν Αἴγυπτον, τὸ
δὲ συναθροιζόμενον χρυσίον ἀνδρί τινι τυραννίδα κατασκευάζοντι
χορηγεῖ. καὶ τὰς βασιλέως ἐξαπατήσαντες ἀκοὰς εἰς τὴν Κωνσταν-
τινούπολιν τὸν Ἀθανάσιον ἤγαγον. ὁ δὲ ἀφικόμενος διήλεγξε τῶν 5
κατηγορημάτων τὸ ψεῦδος καὶ τὴν θεόθεν ἐγχειρισθεῖσαν ἀπέλαβεν
ἐκκλησίαν· δηλοῖ δὲ ταῦτα καὶ ὁ βασιλεὺς ἐξ ὧν πρὸς τὴν Ἀλεξαν-
δρέων ἔγραψεν ἐκκλησίαν, ὧν τὸ τελευταῖον μέρος ἐνθήσω τῇ συγ-
γραφῇ.

1—9 vgl. Athanas. Apol. c. Arian. 6 PG 25, 257 BC — **7** Joh. 1, 18 — **11—21** Athanas. ebd. 59, 357 A u. 60, 360 A — **11**—S. 82, 9 vgl. Sozomen. II 22, 6—9. Socrat. I 27, 8—10

* **18—21** Gelas. Cyzic. III 15, 147a, 39 und III 18, 154b, 11

B A HN (n) GS (s) DL + FV (v) = z

3 *ηὐφημεῖτο* B | **4** *πάνυ* BA *πανευφήμω* nsz | **6** *τῇ πείρα* übergeschrieben Ac | **8/9** *δυσσεβείας*] *δυνάμεως* n | **9** *δή*] *δὲ* B | **11** vor *Μελίτιος* + *ἐπεὶ* n | *μελέτιος* nsF | *ἐκεῖνος* > B | *ἐπέμεινε* B *μεμένηκε* ns | **13** *τούτου*] *τε* G > nS | nach *τούτου* + *οὖν* V | *στασιωτῶν* BD *στασιαστῶν* Lv und (*ασιασ* auf Rasur Ac) A *στρατιωτῶν* ns (nach *στρατιωτῶν* + *οὖν* S) | **13/14** *ἀνύποπτον ᾖ*] *ᾖ* A *ἀνύποπτον* (hinter *ᾖ* gewiesen) am Rand Ac | **15** *ὑφάναι* Bn, vgl. 87, 20 u. 6 | *μὲν τελωνεῖ* ~ L | **16** *ἀνδρί τινι, ῥί τινι* auf Rasur A | **19** *κατηγορημάτων* Az Gel. III 18 *κατηγορησάντων* B *κατηγόρων* ns *συκοφαντῶν* Gel. III 15 | **20** *δηλοῖ* — **21** *ἐκκλησίαν* > s | *ὁ βασιλεὺς ἐξ ὧν* B *ἃ* (aus *ὁ* corr. Ac) *βασιλεὺς ἐξ ὧν* A *ὁ βασιλεὺς* N *ἃ βασιλεὺς* z *ἃ ὁ βασιλεὺς* H | **22** nach *τῇ συγγραφῇ* + *μέρος ἐπιστολῆς κωνσταντίνου* (+ *τοῦ* H) *βασιλέως* ns

»Οὐδὲν ἴσχυσαν οἱ πονηροὶ κατὰ τοῦ ἐπισκόπου ὑμῶν, ἐμοὶ πιστεύ- **27**
»σατε, ἀδελφοί. οὐδὲν ἕτερον ἐσπουδάκασιν ἢ ἵνα κατατρίψαντες τοὺς
»ἡμετέρους χρόνους μηδεμίαν χώραν ἐν τῇ ζωῇ ταύτῃ μεταμελείας
»ἔχωσιν. ἐπικουρήσατε τοίνυν ὑμῖν αὐτοῖς, παρακαλῶ, τὸ φίλτρον τὸ
»ὑμέτερον ἀγαπήσατε καὶ παντὶ σθένει διώξατε τοὺς τὴν τῆς ἡμετέρας
»ὁμονοίας χάριν ἀφανίζειν ἐπιθυμοῦντας, καὶ πρὸς τὸν θεὸν ἀπιδόντες
»ὑμᾶς αὐτοὺς ἀγαπᾶτε. ἐγὼ γὰρ τὸν ὑμέτερον ἐπίσκοπον Ἀθανάσιον
»ἀσμένως προσηκάμην οὕτω τε προσεφθεγξάμην ὡς ἄνθρωπον αὐτὸν
»εἶναι θεοῦ πεπεισμένος.«

Ἀλλ' οὐδὲ οὕτως οἱ δυσσεβεῖς ἐνετράπησαν, ἀλλ' ἕτερον ἐξύφηναν **28**
δρᾶμα, ᾧ προσόμοιον οὐδεὶς τῶν πάλαι γεγενημένων τραγῳδοποιῶν
ἢ κωμῳδοποιῶν διέπλασε πώποτε. κατηγόρους γὰρ πάλιν ἐκ τῆς
αὐτῆς συμμορίας μισθωσάμενοι προσάγουσι βασιλεῖ, βοῶντας ἀνο-
σιουργίας ἀρρήτους τετολμηκέναι πολλὰς τὸν τῆς ἀρετῆς ἀθλητήν.
ἡγεῖτο δὲ τούτων Εὐσέβιός τε καὶ Θεογόνιος καὶ Θεόδωρος ὁ Περίν- **2**
θιος (Ἡράκλειαν δὲ νυνὶ τὴν Πέρινθον ὀνομάζουσιν). οὐκ ἀνεκτὰ
ταῦτα εἶναι λέγοντες οὐδὲ ἀκοαῖς φορητά. πείθουσι δὴ οὖν τὸν
βασιλέα σύνοδον ἐν Καισαρείᾳ τῆς Παλαιστίνης ἀθροῖσαι, ἔνθα δὴ
πλείους ἦσαν οἱ δυσμενεῖς, κἀκεῖσε κριθῆναι κελεῦσαι τὸν Ἀθανάσιον.
πεισθεὶς δὲ ὡς ἱερεῦσιν ὁ βασιλεύς, παντάπασι γὰρ ἠγνόει τὰ τυρευό- **3**
μενα, τοῦτο γενέσθαι προσέταξεν. ἀλλ' ὁ θεῖος Ἀθανάσιος, τὴν τῶν
δικαζόντων δυσμένειαν ἐπιστάμενος, οὐχ ἧκεν εἰς τὸ συνέδριον. ἐν-
τεῦθεν δὴ πλείονα πρόφασιν εἰς συκοφαντίαν λαβόντες καὶ τὸν κατὰ

1—9 bei Athanas. ebd. 62 — **17—22** vgl. Sozomen. II 25, 1

* **1—9** Gelas. Cyzic. III 16 — **10**—S. 83, 9 ebd. III 16, 150ª, 6

B A HN(n) GS(s) DL + FV(v) = z T [**1—9** und von **21** *ἀλλ'* an]

1 $\overline{κξ}$ am Rand HSS | **3** *ὑμετέρουσ* v | **4** *ἔχωσιν* vor *ἐν τῇ ζωῇ* ∾ T | *ἡμῖν* z | **5** *ὑμέτερον Π* Gel. *ἡμέτερον* Athan. | *ἀγαπήσατε*] *ἀγαπητοί* T *τὴν* nach *ὁμονοίας* ∾ n | *ἡμετέρασ* Ans Gel. Athan. *ὑμετέρασ* BzT | **6** *θεὸν* > L | *ἀπιδόντεσ* nszT Gel. Athan. *ἀφειδόντεσ* A *ἀφειδότεσ* B | **7** *ἀγαπᾶτε* Bnsz Athan. *ἀγαπήσατε* A'T Gel. | **8** *αὐτὸν* = Gel. Athan. > B | **9** *εἶναι Π* Gel. *ὄντα* Athan. | **10** *κῆ* am Rand HSS | **11** *ᾧ* = Gel.] *οὗ* B *ῶι* auf Rasur corr. Ac *γε* A *γενημένων* übergeschrieben Ac | **13** *τῶ βασιλεῖ* nD Gel. | **14** *πολλὰς* = Gel. > n | **15** *τε* = Gel. > B | *θεόγνιοσ* L Gel. *θέογνισ* V | *ὁ* > B | **16** *νυνὶ τὴν* > B | *νυνὶ* übergeschrieben Ac *νῦν* L | **17** *ἀκοῖσ* B | **18** nach *δὴ* + *οὖν* B | **19** *κελεῦσαι* am Rand Ac | **20/21** *τυδευόμενα* B | **23** *καὶ*] *οἱ* T | *κατὰ* A, aber *κα* auf Rasur Ac

τῆς ἀληθείας ἀναδεξάμενοι πόλεμον, πρὸς ταῖς ἄλλαις παρανομίαις τυραννίδος αὐτὸν καὶ θρασύτητος ἐπὶ τοῦ βασιλέως ἐγράψαντο· καὶ οὐ πάμπαν τῆς ἐλπίδος ἐψεύσθησαν. ἐκ γὰρ δὴ τῶν εἰρημένων 4
θυμωθεὶς ὁ πραότατος βασιλεὺς ἐπέστειλεν αὐτῷ τὴν ὀργὴν ὑποφαίνων καὶ καταλαβεῖν τὴν Τύρον παρεγγυῶν. ἐκεῖσε γὰρ προσέταξεν ἀθροισθῆναι τὴν σύνοδον, ὑποπτεύσας, ὡς οἶμαι, τὸν Ἀθανάσιον ὑφορᾶσθαι τὴν Καισαρέων διὰ τὸν ἐκείνης ἡγούμενον. ἔγραψε δὲ καὶ τῇ συνόδῳ ἅπερ ἐχρῆν ἐπιστεῖλαι τὸν εὐσεβείᾳ κοσμούμενον. ἔστι δὲ ταῦτα·

»Κωνσταντῖνος Σεβαστὸς τῇ ἁγίᾳ συνόδῳ τῇ κατὰ Τύρον. 29

»Ἦν μὲν ἴσως ἀκόλουθον καὶ τῇ τῶν καιρῶν εὐκαιρίᾳ μάλιστα »πρέπον ἀστασίαστον εἶναι τὴν καθολικὴν ἐκκλησίαν καὶ πάσης λοι»δορίας τοὺς τοῦ Χριστοῦ νῦν ἀπηλλάχθαι θεράποντας. ἐπειδὴ δὲ »οὐχ ὑγιοῦς φιλονεικίας οἵστρῳ τινὲς ἐλαυνόμενοι (οὐ γὰρ ἂν εἴποιμι »βιοῦντες ἑαυτῶν ἀναξίως) τὰ πάντα συγχέειν ἐπιχειροῦσιν, ὅπερ »πάσης συμφορᾶς ἐπέκεινα κεχωρηκέναι μοι δοκεῖ, τούτου χάριν θέ»οντας ὑμᾶς, τὸ τοῦ λόγου, προτρέπομαι χωρίς τινος ὑπερθέσεως εἰς »ταὐτὸ συνδραμεῖν καὶ πληρῶσαι τὴν σύνοδον, ἐπαμῦναι τοῖς χρή»ζουσιν ἐπικουρίας, τοὺς ἀδελφοὺς ἰατρεῦσαι κινδυνεύοντας, εἰς ὁμό»νοιαν ἐπαναγαγεῖν τὰ διεστῶτα τῶν μελῶν, διορθώσασθαι τὰ πλημ»μελούμενα ὡς καιρὸς ἐπιτρέπει, ἵνα ταῖς τοσαύταις ἐπαρχίαις τὴν »πρέπουσαν ἀποδῶτε συμφωνίαν, ἧν, φεῦ τῆς ἀτοπίας, ἐλαχίστων »ἀνθρώπων ἀπώλεσεν ὑπεροψία.

3—5 vgl. Socrat. I 28, 4 — **10**—S. 85, 4 bei Euseb. Vit. Const. IV 42

* **10**—S. 85, 4 Gelas. Cyzic. III 17

B A HN(n) GS(s) DL + FV(v) = z T

3 *οὐ*] *οὐκὰν* B | *ἐψεύσαντο* T | *δὴ* > T | **4** *ἐπέστελεν* T | **4/5** *ὑποφαίνων* = Gel.] *φαίνων* B | **5** *γὰρ* = Gel.] *γὰρ πάλιν* T | **7** *διὰ — ἡγούμενον* > L | **8** *τῇ*] *τῆσ* B | **9** nach *ταῦτα* + *ἴσον ἐπιστολῆσ κωνσταντίνου βασιλέωσ γραφείσησ πρὸσ τοὺσ ἐπισκόπουσ τῆσ ἐν τύρῳ συνόδου* T | **10** am Rand *κθ* HSS | **11** *μὲν* //// A | *εὐκαιρίᾳ* = Eus.] *εὐπρεπεία* B *εὐπραγίᾳ* Gel., vgl. S. 42, 14 | **13** *νῦν* übergeschrieben Ac | **15** *βιῶντεσ* B | *ἀναξίωσ* *Π*Gel. *ἀξίωσ* Eus. | *συγχεῖν* T | **16/17** *θέοντασ* BnszGel.Eus. *θέλοντασ* T *θέ////οντασ* (wahrscheinlich *λ* ausradiert) A | **17** *τινοσ* übergeschrieben Ac | **18** *τὸ αὐτὸ* T | *καὶ* *Π*Gel. > Eus. | *ἐπαμῦναι* BnszEus. *ἐπαμῦναι τὲ* ATGel., aber *τὲ* gestrichen in A | **19** *ἐπικουρείαισ* B | *τοὺσ* übergeschrieben Ac | *ἰατρεῦσαι* *Π*Gel. *ἰάσασθαι* Eus. | *κινδυνεύοντας* = Gel. Eus.] *κινδυνεύσαντασ* A | **21** *ὡσ* *Π*Gel. *ἕωσ* Eus. | **22** *πρέπου σαν ἀποδότε* B | nach *ἀτοπίας* + *τῶν* T

»Ὅτι δὲ τοῦτο καὶ τῷ δεσπότῃ τῶν ὅλων θεῷ ἐστιν ἀρεστόν, καὶ 2
»ἡμῖν πάσης εὐχῆς ὑπέρτερον, καὶ ὑμῖν αὐτοῖς, ἐάν γε τὴν εἰρήνην
»ἀνακαλέσησθε, οὐ τῆς τυχούσης ἄξιον εὐδοξίας, πάντας ἀνθρώπους
»συνομολογεῖν ἡγοῦμαι. μὴ τοίνυν μέλλετε λοιπόν, ἀλλ' ἐπιτείναντες 3
»ἐντεῦθεν ἤδη τὰ τῆς προθυμίας, τοῖς προκειμένοις ὅρον ἐπιθεῖναι
»σπουδάσατε τὸν προσήκοντα, μετὰ πάσης εἰλικρινείας δηλαδὴ καὶ
»πίστεως συνελθόντες. ἣν ἑκασταχοῦ μόνον οὐχὶ φωνὴν ἀφιεὶς ὁ σωτὴρ
»ἐκεῖνος ᾧ λατρεύομεν ἀπαιτεῖ μάλιστα παρ' ἡμῶν. οὐδὲν δὲ τῶν
»εἰς τὴν ἐμὴν εὐλάβειαν ἡκόντων ἐνδεήσει. πάντα μοι πέπρακται
»ὅσα γράφοντες ἐδηλώσατε. ἀπέστειλα πρὸς οὓς ἐβουλήθητε τῶν 4
»ἐπισκόπων, ἵνα παραγενόμενοι κοινωνήσωσιν ὑμῖν τῶν φροντισμά-
»των· ἀπέστειλα Διονύσιον τὸν ἀπὸ ὑπατικῶν, ὃς καὶ τοὺς ὀφείλον-
»τας εἰς τὴν σύνοδον ἀφικέσθαι μεθ' ὑμῶν ὑπομνήσει, καὶ τῶν πρατ-
»τομένων ἐξαιρέτως δὲ τῆς εὐταξίας κατάσκοπος παρέσται. ἐὰν γάρ 5
»τις, ὡς ἔγωγε οὐκ οἶομαι, τὴν ἡμετέραν κέλευσιν καὶ νῦν διακρού-
»σασθαι πειρώμενος μὴ βουληθῇ παραγενέσθαι, ἐντεῦθεν παρ' ἡμῶν
»ἀποσταλήσεται ὃς ἐκ βασιλικοῦ προστάγματος αὐτὸν ἐκβάλλων, ὡς
»οὐ προσῆκεν ὅροις αὐτοκράτορος ὑπὲρ τῆς ἀληθείας ἐξενεχθεῖσιν
»ἀντιτείνειν διδάξει. λοιπὸν ἔσται τῆς ὑμετέρας ὁσιότητος ἔργον 6
»ὁμογνώμονι κρίσει. μήτε πρὸς ἀπέχθειαν μήτε πρὸς χάριν, ἀκολού-
»θως δὲ τῷ ἐκκλησιαστικῷ καὶ ἀποστολικῷ κανόνι, τοῖς πλημμελη-
»θεῖσιν εἴτ' οὖν κατὰ σφάλμα συμβεβηκόσι τὴν ἁρμόττουσαν θεραπείαν

B Λ HN(n) GS(s) DL + FV(v) = z T

1 *τοῦτο*] *καὶ τοῦτο* T | *ἀρεστόν* = Gel. Eus.] *ἄριστον* Λ | **2** nach *ἡμῖν* + *διὰ* ausradiert Λ | *γε* = Gel. Eus. > T | **3** *ἀνακαλέσησθε* = Gel. Eus. *ἐπικαλέσησθε* n | *ἄξιον Π* Gel. *αἴτιον* Eus. | *πάντας* = Gel. Eus.] *ἅπαντας* Λ | **5** *ἐντεῦθεν ἤδη* = Gel. Eus.] *ἤδη ἐντεῦθεν* n | *τὰ*] *τὰς* T | *ἐπιθεῖναι* Ansz Gel. Eus. *ἐπιτεῖναι* B *ἐπιθέσθαι* T | **6** *δηλαδὴ* = Gel. Eus. > T | **7** *συνελθόντες* = Gel. Eus. *συνανελθόντες* B | *ἑκαστα* B | **8** *παρ' ἡμῶν· οὐδὲν δὲ* nT *παρ' ὑμῶν. οὐδὲν δὲ* Eus. *παρ' ἡμῶν δὲ οὐδὲν* Bsz und in Λ der Punkt vor *παρ' ἡμῶν* übergeschrieben und *δὲ οὐδὲν* auf Rasur Λ^{c} | **9** *τὴν* > T | **10** *ἀπέστειλα* BnST Gel. Eus. Cod. V in *ἐπέστειλα* corr. Λ^{c} *ἐπέστειλα* Gz Eus. Cod. J *ἠβουλήθητε* T Gel. | **11** *παραγενάμενοι* Λ | **12** *τὸν* auf Rasur Λ^{c} | **15** *οἶομαι* BAT Eus. in *οἶ μαι* corr. Λ^{c} *οἶμαι* nsz | **16** *βουληθείη* L | **17** *ὃσ* BADL Gel. Eus. *ὁ* nsvT | *αὐτὸν* nach *ἐκβάλλων* ~ T | *ἐκβάλλων* AvT *ἐκβαλὼν* BnsDL Gel. Eus. **18** *ὑπὲρ* BnsDT Gel. Eus. *περὶ* Lv und auf Rasur Λ^{c} | **19** *ἀντιτείνειν* BnsT Gel. Eus. *μὴ ἀντιτείνειν* zΛ^{c} | *μὴ ἀντιτείνειν* — **20** *ἀπέχθειαν* am Rand Λ^{c} | *διδάξει* > ns | *ἔσται* = Gel. Eus.] *ἔστω* Λ | **20** *μή////τε*^{2} Λ **21** *δὲ* BAT Gel. Eus. *τε* nsz | *καὶ ἀποστολικῷ* = Gel. > T Eus. Cod. V

»ἐπινοῆσαι, ἵνα καὶ πάσης βλασφημίας ἐλευθερώσητε τὴν ἐκκλησίαν »καὶ τὰς ἐμὰς ἐπικουφίσητε φροντίδας καὶ τὴν τῆς εἰρήνης χάριν »τοῖς νῦν στασιαζομένοις ἀποδόντες μεγίστην εὔκλειαν ὑμῖν αὐτοῖς »προξενήσητε. ὁ θεὸς ὑμᾶς διαφυλάττοι, ἀδελφοὶ ἀγαπητοί.«

Οὕτω δὴ τῶν ἐπισκόπων εἰς τὴν Τύρον συναλισθέντων. ἀφί- 7
κοντο μὲν καὶ ἄλλοι τινὲς δογμάτων διαφθορὰν ἐγκαλούμενοι. ὧν εἷς ἦν καὶ Ἀσκληπᾶς ὁ Γαζαῖος· ἀφίκετο δὲ καὶ ὁ θαυμάσιος Ἀθανάσιος. βούλομαι δὲ πρῶτον τὴν τῆς κατηγορίας διηγήσασθαι τραγῳδίαν, εἶθ' οὕτως συγγράψαι τὰ κατὰ τὸ πολυθρύλητον διαστήριον.

Ἀρσένιός τις τῶν Μελιτίου κοινωνικῶν ἐπίσκοπος ἦν. τοῦτον 30
οἱ τῆς ἐκείνου συμμορίας κατακρύψαντες λαθεῖν ἐπὶ πλεῖστον ἠξίωσαν. εἶτα χεῖρα δεξιὰν ἀπό τινος σώματος ἐκτεμόντες νεκροῦ καὶ ταύτην ἐν λάρνακι ξυλίνῃ τεταριχευμένην ἐνθέντες, πάντοσε περιέφερον. κατατετμῆσθαι λέγοντες τὸν Ἀρσένιον καὶ μιαφόνον ἀποκαλοῦντες τὸν Ἀθανάσιον. ἀλλ' ὁ πάντα ἐφορῶν ὀφθαλμὸς οὐκ εἴασεν ἐπὶ πλεῖστον λαθεῖν τὸν Ἀρσένιον. ἀλλὰ πρῶτον μὲν ἐν Αἰγύπτῳ καὶ 2
Θηβαΐδι δῆλος γέγονεν ὅτι ζῇ, ἔπειτα δὲ αὐτὸν εἰς τὴν Τύρον ἤγαγεν ἔνθα ἡ τραγῳδουμένη χεὶρ ἐπὶ τῶν κριτῶν προεφέρετο. τοῦτον οἱ Ἀθανασίου θηρεύσαντες σύνοικοι ἤγαγόν τε καὶ ἐν τῇ καταγωγῇ τέως λαθεῖν ἠνάγκασαν· αὐτὸς δὲ ὁ μέγας Ἀθανάσιος ὑπὸ τὴν ἕω κατέλαβε τὸ συνέδριον. καὶ πρῶτον μὲν γύναιον εἰσήγαγον ἀκολασίᾳ 3

11—22 vgl. Rufin. H. E. X 17—18, 983, 3—16. Socrat. I 27, 18. Sozomen. II 23. Athanas. Apol. c. Arian. 63, 65, 67 — **22**—S. 87, 13 vgl. Rufin. H. E. X 18, 984, 3—985, 14. Vit. Athanas. 13—14 PG 25 CXCVI f. Photius (258) ebd. 6—7 CCXVI A f. Symeon. Vit. Athanas. 7—8. Sozomen. II 25, 8—14. Philostorg. II 11. Corpus script. Chr. orient. cur. Chabot. Scriptores Syri. Series tertia, t. IV, S. 50 u. 149

* **5—10** Gelas. Cyzic. III 17, 151b, 18 — **11**—S. 88, 9 ebd. 151b, 38 — **22**—S. 86, 20 Polydeukes 300, 20

B A HN (n) GS (s) DL + FV (v) = z T [bis **4** *ἀγαπητοί*]

1 *ἐπινοῆσθαι* T | **2** *ἐμὰς* = Gel. Eus.] *ἐμαυτοῦ* L | **3** *ἀποδόντες* = Gel. Eus.] *ἀποδιδόντεσ* B | **4** *προξενίσητε* A | *ὁ θεὸς ὑμᾶς διαφυλάττοι* > T **5** *λ* am Rand HSS | *συναλισθέντων* HsLv übergeschrieben Ac *συναλισθέντων* BND *συναθροισθέντων* A | **7** *ἀσκληπὰς* BA | **9** *συγγράψασθαι* n | **11** *μελετίου* nsF | *κανονικῶν* A | **12** *πλεῖον* B | **13** *χεῖραν* A | *σώματος* > B | **14** *ἐν* übergeschrieben Ac | **16** *πάντασ* A | **20** *τε* übergeschrieben Ac | **20/21** *λαθεῖν τέως* ∾ A

συνεζηκός. ἡ δὲ ἀναίδην ἐβόα, παρθενίαν μὲν ἐπηγγέλθαι λεγουσα, τὸν δὲ Ἀθανάσιον ἐπιξενωθέντα βιάσασθαι καὶ ἄκουσαν διαφθεῖραι. τούτων ὑπ' ἐκείνης εἰρημένων, εἰσῆλθε μὲν ὁ κατηγορούμενος. συνῆν δὲ αὐτῷ καὶ πρεσβύτερος ἀξιέπαινος· Τιμόθεος τούτῳ ὄνομα ἦν. τῶν 4
δὲ δικαστῶν ἀπολογήσασθαι πρὸς τὴν γραφὴν προστεταχότων τὸν Ἀθανάσιον, ὁ μὲν ἐσίγησεν, ὡς δῆθεν οὐκ ὢν Ἀθανάσιος. ὁ δὲ Τιμόθεος ἔφη πρὸς τὴν γυναῖκα· »ἐγώ σοι, ὦ γύναι, συνέτυχον πώποτε. εἰς δὲ τὴν σὴν εἰσελήλυθα οἰκίαν;« ἡ δὲ ἀναιδέστερον ἐβόα, τῷ Τιμοθέῳ διαμαχομένη καὶ τὴν χεῖρα ἐξάγουσα καὶ τῷ δακτύλῳ δεικνῦσα καὶ λέγουσα· »σύ μου τὴν παρθενίαν ἀφείλου, σύ με τῆς σωφροσύνης ἐγύμνωσας« καὶ τἄλλα ὅσα λέγειν εἰώθασιν αἱ δι' ἀκολασίας ὑπερβολὴν οὐκ ἔχουσαι τὴν αἰδῶ. οὕτω δὴ τῶν τὸ δρᾶμα 5
συντεθεικότων καταισχυνθέντων, ἐρυθριασάντων δὲ καὶ τῶν δικαστῶν ὅσοι συνίστορες ἦσαν, ἐξήγετο ἡ γυνή. τότε δὴ ὁ μέγας Ἀθανάσιος ἔλεγε μὴ χρῆναι ἀφεθῆναι τὸ γύναιον, ἀλλ' ἐξετάσαι καὶ μαθεῖν τὸν ταῦτα συντεθεικότα. οἱ δὲ ἐβόων ἕτερα εἶναι κατηγορή- 6
ματα χαλεπώτερα, οὐδαμῶς τέχνῃ τινὶ καὶ δεινότητι διαλυθῆναι δυνάμενα. ὄψις γάρ, οὐκ ἀκοή, δικάσει τοῖς δεικνυμένοις. ταῦτα εἰπόντες τὴν πολυθρύλητον ἐκείνην ὑπέδειξαν λάρνακα καὶ τὴν τεταριχευμένην ἐγύμνωσαν χεῖρα. τῶν δὲ θεασαμένων ἕκαστος ἀνε- 7
βόησεν, οἱ μὲν ἀληθὲς εἶναι τὸ μύσος ὑπειληφότες, οἱ δὲ τὸ μὲν ψεῦδος εἰδότες, κεκρύφθαι δὲ τὸν Ἀρσένιον ἔτι νομίζοντες. μόλις δὲ βραχείας γενομένης σιγῆς, ἤρετο τοὺς δικάζοντας ὁ κατηγορούμενος εἴ τις ἐν αὐτοῖς εἴη τὸν Ἀρσένιον ἐπιστάμενος. πολλῶν δὲ εἰρηκότων 8
ἀκριβῶς εἰδέναι τὸν ἄνδρα, ἐκέλευσε τοῦτον ἀχθῆναι. καὶ πάλιν ἤρετο εἰ οὗτος ἐκεῖνος εἴη Ἀρσένιος, ὁ παρ' ἐμοῦ μὲν ἀνηρημένος, παρὰ δὲ τούτων ἐπιζητούμενος, μετὰ σφαγὴν δὲ ὑβρισμένος καὶ τῆς δεξιᾶς

19—S. 87, 4 vgl. Socrat. I 29, 5—9

B A HN (n) GS (s) DL + FV (v) = z

1 *ἀναίδην* B *ἀνέδην* HS | *ἐπαγγέλλεσθαι* A in *ἐπηγγέλθαι* über der Zeile corr. Ac *ἐπαγγέλεσθαι* Gel. | **3** *μὲν* > ns | **8** *εἰσελήλυθα* BA Gel. *ἐλήλυθα* nsz | **9** *καὶ τῷ* — **10** *λέγουσα* am Rand Ac | **10** *δεικνύουσα* B | **11** *ἐγύμνωσας* = Gel.] *ἀπεγύμνωσας* B | **13** *συντεθηκότων* BG | **16** *οἱ δὲ ναὶ ἐβόων* B | **18** *δικάσει* = Gel.] *δικάσαι* A | **19** *ὑπέδειξαν* — **20** *τεταριχευμένην* > s | **22** *ψεῦδος* = Gel.] *ψευδὲσ* B | *μόλις* nsz Gel. und (*λισ* auf Rasur Ac) A *μόγεισ* B | **23** *βραχέασ* AG | **24** *εἴη* — *εἰρηκότων*] *εἴ εἰδὼσ τὸν ἀρσένιον τῶν δὲ* S *εἰρηκότων* G | **27** *τούτων ἐπιζητούμενοσ μετὰ σφαγὴν δὲ* A *τούτων μετὰ σφαγὴν* Bnsz Gel.

ἐστερημένος. συνομολογησάντων δὲ αὐτὸν εἶναι, τῆς ἐφεστρίδος αὐτὸν γυμνώσας ὁ Ἀθανάσιος ὑπέδειξεν ἄμφω τὼ χεῖρε, καὶ τὴν δεξιὰν καὶ τὴν εὐώνυμον. »ἄλλην δέ«, ἔφη, »ζητείτω μηδείς· δύο γὰρ ἀνθρώ- 9
πων ἕκαστος παρὰ τοῦ ποιητοῦ τῶν ὅλων ἐδέξατο χεῖρας«. ἀλλὰ
καὶ τούτων οὕτω δειχθέντων, καταδύεσθαι δέον τοὺς κατηγοροῦντας καὶ τῶν δικαζόντων τοὺς συνειδότας καὶ εὔχεσθαι χῆναι σφίσι τὴν γῆν, θορύβου καὶ στάσεως ἐνέπλησαν τὸ συνέδριον, γόητα καλοῦντες τὸν Ἀθανάσιον καί τισι μαγγανείαις ἐξαπατᾶν αὐτὸν λέγοντες τῶν ἀνθρώπων τὰς ὄψεις. καὶ διασπᾶν ἐπεχείρουν καὶ κατασφάττειν 10
οἱ τῆς μιαιφονίας πρὸ βραχέος κατηγοροῦντες, ἀλλ' οἱ παρὰ βασιλέως τὴν τῆς εὐταξίας πρόνοιαν πιστευθέντες τὸν φόνον ἐκώλυσαν. ἐξαρπάσαντες γὰρ τὸν νικηφόρον καὶ σκάφους ἐπιβῆναι παρασκευά- 11
σαντες, τὴν σωτηρίαν προὐξένησαν.

Καὶ οὗτος μὲν τὸν βασιλέα καταλαβὼν πᾶσαν τὴν τολμηθεῖσαν ἐδίδαξε τραγῳδίαν· ἐκεῖνοι δὲ εἰς τὸν Μαρεώτην τῶν ὁμογνωμόνων τινὰς ἐπισκόπους ἀπέστειλαν· Θεογόνιόν φημι τὸν Νικαίας καὶ Θεόδωρον τὸν Περίνθιον καὶ Μάριν τὸν Χαλκηδόνιον καὶ τὸν Κίλικα Νάρκισσον καὶ τοὺς τούτων ὁμόφρονας. ὁ δὲ Μαρεώτης χώρα τίς 12
ἐστιν Ἀλεξανδρείας, τῆς λίμνης Μαρίας ἐπώνυμος. ἐν ταύτῃ τὸ ψεῦδος ὑφήναντες καί τινα ὑπομνήματα διαπλάσαντες καὶ τὰς γυμνωθείσας συκοφαντίας ὡς ἀληθεῖς συνθέντες κατηγορίας, ἀπέστειλαν βασιλεῖ.

Αὐτοὶ δὲ εἰς τὴν Αἰλίαν παρεγένοντο· τὴν γὰρ δὴ σύνοδον 31

15—22 vgl. Socrat. I 31, 2—5. Sozomen. II 25, 19. Athanas. Apol. c. Arian. 72f — **18/19** vgl. Athanas. ebd. 63 PG 25, 364 A 4—5. Socrat. I 27, 13 — **20—22** vgl. Rufin. H. E. X 18, 985, 16—17. Sozomen. II 25, 16 — **23**—S. 88, 13 Euseb. Vit. Const. IV 43—46. vgl. Sozomen. II 26, 1—3.

* **14**—S. 88, 9 Cass. III 5 — **18/19** Nicetas Thesaur. VI 2 PG 140, 9 C 12—14 — **23**—S. 88, 9 Alexander Mon. De Inventione S. Crucis PG 87, 4065 D = Polydeukes 304, 2

B A HN (n) GS (s) DL + FV (v) = z

1 αὐτὸν] αὐτῶν τοῦτον n | ἐφεστρίδος = Gel.] ἐφηστρίδοσ BF ἐφιστρίδοσ G | **6** χῆναι BDv χῇναι Gel. χάναι AnsL | **7** nach θορύβου + δὲ n | **10** τῆ (αῖσ) μιαιφονία (αισ) A | βραχέωσ AsD | **12** γὰρ übergeschrieben Ac | **16** ἐπισκόπους τινὰς ∾ B | ἀπέστειλαν = Gel.] ἐξαπέστειλαν H *miserunt* Cass. ἀποστείλαντεσ B | θεόγνιον L Gel. θεόγ'''νιον A *Theognium* Cass. Cod. L θέογνιν V | **17** μάρην BV *Marin* Cass. | κιλικείασ B *Cilicem* Cass. | **19** μαρείασ GL Cod. Nicet. | **21** ἐπέστειλαν B | **22** τῶ βασιλεῖ n | **23** λα̅ am Rand HSS | τὴν Αἰλίαν = Gel. Cass.] τύρον B | γὰρ δὴ] γὰρ s δὲ n

ἅπασαν ἀπὸ τῆς Τύρου καταλαβεῖν τὴν Αἰλίαν βασιλεὺς παρηγγύησε. συνελθεῖν δὲ καὶ τοὺς ἄλλους ἅπαντας πανταχόθεν ἐκέλευσε καὶ τοὺς ὑπ' αὐτοῦ δομηθέντας καθιερῶσαι νεώς. συναπέστειλε δὲ καὶ τῶν εὐνουστέρων ἀρχόντων τινὰς εὐσεβείᾳ καὶ πίστει λαμπρυνομένους, φιλοτίμως ἅπασι πάντα χορηγηθῆναι κελεύσας, οὐ μόνον ἀρχιερεῦσι καὶ ἱερεῦσιν καὶ τοῖς τούτοις συνεπομένοις, ἀλλὰ καὶ τοῖς δεομένοις ἅπασιν οἳ πανταχόθεν συνέτρεχον. διεκοσμεῖτο δὲ καὶ τὸ θεῖον 3 θυσιαστήριον βασιλικοῖς τε παραπετάσμασι καὶ κειμηλίοις λιθοκολλήτοις χρυσοῖς. οὕτω δὴ τῆς ἑορτῆς λαμπροτάτης γεγενημένης, οἱ μὲν εἰς τὰς οἰκείας ἐπανῆλθον πατρίδας, ὁ δὲ βασιλεὺς τὴν τῆς πανηγύρεως μεμαθηκὼς φαιδρότητά τε καὶ πολυτέλειαν, θυμηδίας τε ἐνεπλήσθη καὶ τῶν ἀγαθῶν τὸν πρύτανιν ὕμνησεν ὅτι καὶ ταύτην αὐτῷ τὴν αἴτησιν ἔδωκεν.

Ἐπειδὴ δὲ προσῆλθεν Ἀθανάσιος ὁ θαυμάσιος τὴν ἄδικον ὀδυρό- 4 μενος κρίσιν, ἀφικέσθαι τοὺς αἰτιαθέντας τῶν ἐπισκόπων ἐκέλευσεν. οἱ δὲ παραγενόμενοι καὶ τὸ τῶν ἐλέγχων προφανὲς ὑπειδόμενοι, τὰς 5 μὲν προτέρας συκοφαντίας κατέλιπον, ἔφασαν δὲ τῷ βασιλεῖ ἠπειληκέναι τὸν Ἀθανάσιον τὴν σιτοπομπίαν κωλύσειν. τούτοις πιστεύσας τοῖς λόγοις ὁ βασιλεὺς εἴς τινα πόλιν τῶν καλουμένων Γαλλιῶν αὐτὸν ἐξωστράκισε· Τρίβερις δὲ ὄνομα ταύτῃ. τριακοστὸν δὲ τοῦτο ἦν αὐτῷ τῆς βασιλείας ἔτος.

Ἐνιαυτοῦ δὲ ἄλλου καὶ μηνῶν διεληλυθότων ὀλίγων, ἐν Νικο- 32

14—20 vgl. Sozomen. II 28. Athanas. Apol. c. Arian. 86—87 — **16—21** vgl. Socrat. I 35, 2—4. I 37, 1 — **22**—S. 89, 4 vgl. Euseb. Vit. Const. IV 61—62 — **22**—S. 89, 6 vgl. Sozomen. II 34, 1—2. Socrat. I 39, 1—3

* **14/15** Polydeukes 310, 17—20 — **20**—S. 89, 4 u. 7—20 Niceph. H. E. VIII 54 — **22**—S. 89, 4 Alexand. Mon. De Inv. S. Crucis PG 87, 4068 A. Polydeukes 314, 2

B A HN(n) G[G bis **21** ἔτος] S(s) DL+FV(v)=z T[von **10** ὁ δὲ bis **15** ἐκέλευσεν]

1 ὁ βασιλεὺς n | παρεγγύησε BA | **2** τοὺς > Lv | **3** δωμηθέντας B | καθιέρωσε A | συναπέστειλε BADL Gel. συναπέλυσε nsv *misit* Cass. | **4** εὐνουστέρων = Gel. *devotos* Cass.] συνετωτέρων B, was an δεξιὸς ἀνὴρ Eus. S. 136, 1, erinnern würde | **6** καὶ ἱερεῦσιν BD Gel. > AnsLv, *non solum pontificibus ac sacerdotibus sed etiam egentibus universis* Cass. | **8** τε /// A | **11** μεμαθηκὼς vor τὴν τῆς ∾ ns | nach πανηγύρεως + τοῦ νεῶ ἱεροσολύμων T* | φαιδρότητά] λαμπρότητά L | τε BT /// A > nsz Gel. | **12** καὶ τῶν — ὕμνησεν am Rand Ac | **14** ὁ θαυμάσιος ἀθανάσιος B (= 85, 7) | **15** αἰτιαθέντας] ἀδικήσαντας s | **17** κατέλειπον B κατέλιπον //// A | **19** γαλλίων A γαλατίων B, Γαλατῶν bei Sozom. | **20** αὐτὸν übergeschrieben Ac | τρίβερρις v τριβέριος D | δὲ¹ > n | τοῦτο = Alex. Mon. > B Nic. | **22** ιβ am Rand HSS | **22**—S. 89, 1 νικομηδεία τῆσ βιθυνίασ auf Rasur A

μηδείᾳ τῆς Βιθυνίας διάγων ἠρρώστησε. τὸ δὲ τῆς ἀνθρωπίνης βιότητος ἄδηλον ἐπιστάμενος, τοῦ θείου βαπτίσματος τὸ δῶρον ἐδέξατο. ἀνεβάλλετο δὲ μέχρι τοῦδε τοῦ χρόνου, ἐν Ἰορδάνῃ τῷ ποταμῷ τούτου τυχεῖν ἱμειρόμενος. οὗτος τοὺς μὲν τρεῖς παῖδας κληρονόμους τῆς βασιλείας κατέλιπε, Κωνσταντῖνον καὶ Κωνστάντιον καὶ Κώνσταντα τὸν νεώτατον. εἰς δὲ τὴν Ἀλεξάνδρειαν ἐπανελθεῖν 2 τὸν μέγαν προσέταξεν Ἀθανάσιον, καὶ ταῦτα Εὐσεβίου παρόντος καὶ τἀναντία πείθειν ἐπιχειροῦντος.

Θαυμαζέτω δὲ μηδεὶς εἰ τηλικούτους ἄνδρας ἐξαπατηθεὶς ἐξω- 33
στράκισεν. ἀρχιερεῦσι γάρ, κρύπτουσι μὲν τὴν πονηρίαν, τὴν δὲ ἄλλην ἔχουσι περιφάνειαν, ἐξαπατῶσιν ἐπίστευσεν. ἴσασι δὲ οἱ τὰ θεῖα πεπαιδευμένοι ὡς καὶ ὁ θεῖος ἐξηπατήθη Δαβὶδ ὁ πραότατος καὶ τοσοῦτος προφήτης. ἐξηπάτησε δὲ αὐτὸν οὐκ ἀρχιερεὺς ἀλλ' 2 οἰκέτης οἰκότριψ καὶ μαστιγίας· τὸν Σιβὰ λέγω τὸν κατὰ τοῦ Μεμφιβοσθὲ τὰ ψευδῆ τὸν βασιλέα διδάξαντα καὶ τὸ ἐκείνου χωρίον σφετερισάμενον. καὶ ταῦτα λέγω, οὐ τοῦ προφήτου κατηγορῶν, ἀλλ' 3 ὑπὲρ τοῦδε τοῦ βασιλέως τὴν ἀπολογίαν προσφέρων καὶ τῆς ἀνθρωπίνης φύσεως ἐπιδεικνὺς τὴν ἀσθένειαν, καὶ διδάσκων ὡς οὐ χρὴ μόνοις τοῖς κατηγοροῦσι πιστεύειν κἂν ἄγαν ὦσιν ἀξιόχρεοι, ἀλλὰ θατέραν ταῖν ἀκοαῖν τῷ κατηγορουμένῳ φυλάττειν.

6 vgl. Sozomen. III 2, 1. unten S. 95, 7 f — **14/15** II Sam. 16, 1—4

* **1—4** Evagr. H. E. III 41 — **6** Polydeukes 314, 18 — **9—20** Georg. Mon. 510, 13 — **9—15** Cass. III 8

B A HN (n) S DL + FV (v) = z T [von **6** *ἐπανελθεῖν* bis **20** *φυλάττειν*]

2 *βιότητος* nSDLF *βιώτητος* B *βιοτῆς* V Nic. Evagr. *βιότητος* (*ό* aus *ω* corr. und *τὸ* übergeschrieben A^{c}) A | *ἐπιστάμενος ἄδηλον* ∾ L | **3** *ἀνεβάλλετο* BAHSDL *ἀνεβάλετο* Nv Nic. Polyd. *distulerat* Cass. *ἀναβαλέσθαι* Evagr. | *μέχρι τοῦδε* übergeschrieben A^{c} | **4** *οὗτος* übergeschrieben A^{c} > n | vor *τοὺς* + *καὶ δὴ* n | **5** *κατέλειπεν* B *reliquit* Cass. | **7** *προσέταξεν* > T* | nach *Ἀθανάσιον* + *εἰς τὸν ἑαυτοῦ θρόνον* T* | **9** *λγ* am Rand HSS | *δὲ* Ts > B, *sed* Cass. | **10** *μὲν* > n | *πονηρίαν*] *ἀλήθειαν* n | **11** *ἐπίστευεν* L | **12/13** *ὁ πραότατος καὶ τοσοῦτος προφήτης* T (vgl. 83, 4) *ὁ προφήτης καὶ τοσοῦτος προφήτης* BSz *ὁ τοσοῦτος προφήτης* N *ὁ προφήτης* AH = Cass., *καὶ μέγαν προφήτην* Nic. **14/15** *μεμφιβοσθὲ* AnDL Nic. Georg. *μεμφιβωσθὲ* B *μεμφιβάαλ* Sv *memphibaal* Cass. Codd. LP und am Rand *miphiboset* Cod. L | **15** *τὸν βασιλέα* > T | **17** *τοῦδε* > T | *ἀπολογίαν*] *κατηγορίαν* T | *προφέρων* Lv *προ*//*φέρων* A | **18** *φύσεως* = Nic.] *διοικήσεως* B | **19** *κατηγόροις* T Nic. | **20** *ταῖν ἀκοαῖν* Sz, *ῑν* und *αῖν* auf Rasur A^{c} *τῶν ἀκοῶν* n *τὴν ἀκοὴν* B *τῆς ἀκοῆς* T *ἀκοὴν* Nic. | *τῶν κατηγορουμένων* A

Ὁ μὲν οὖν βασιλεὺς εἰς τὴν ἀμείνω βασιλείαν μετέστη. οἱ δὲ **34**
ὕπαρχοι καὶ οἱ στρατηγοὶ καὶ οἱ λοιποὶ ἅπαντες ἐν λάρνακι τοῦτον καταθέντες χρυσῇ εἰς τὴν Κωνσταντινούπολιν μετεκόμισαν, τῆς στρατιᾶς ἁπάσης ἡγουμένης καὶ ἑπομένης καὶ πικρῶς ὀλοφυρομένης 5 *τὴν στέρησιν· πατρὸς γὰρ ἠπίου πεῖραν εἰλήφεσαν ἅπαντες. ὁπόσης* **2**
δὲ τιμῆς τὸ σῶμα ἐκεῖνο τετύχηκε καὶ ὁπόσον ἐν τοῖς βασιλείοις διέμεινε χρόνον, τῶν ἀρχόντων τὴν τοῦ παιδὸς περιμενόντων ἐπάνοδον, περιττὸν ἡγοῦμαι γράφειν, ἄλλων ταῦτα συγγεγραφότων· οἷς ῥᾴδιον ἐντυχεῖν καὶ μαθεῖν ὅπως τῶν ὅλων ὁ πρύτανις γεραίρει 10 *τοὺς εὔνους θεράποντας. εἰ δέ τις ἐκείνοις διαπιστεῖ, τὰ νῦν περὶ* **3**
τὴν ἐκείνου θήκην καὶ τὸν ἀνδριάντα γινόμενα βλέπων πιστευσάτω τοῖς γεγραμμένοις καὶ τῷ φήσαντι δεσπότῃ· »τοὺς δοξάζοντάς με δοξάσω καὶ οἱ ἐξουθενοῦντές με ἐξουθενωθήσονται«.

1—8 vgl. Euseb. Vit. Const. IV 66—74. Socrat. I 40, 1—2. Sozomen. II 34, 5 — **10/11** vgl. Philostorg. II 17 — **12/13** I Sam. 2, 30

* **1—13** Un Bios di Costantino ed. M. Guidi, Rendiconti della R. Accademia dei Lincei, classe di scienze morali etc., serie quinta XVI (1907) 654, 11

B A HN(n) S DL + FV(v) = z T [von **5** *ὁπόσης* bis **13**]

1 $\overline{\lambda\delta}$ am Rand HSS | **2** *οἱ*[1] > B | *ἐν* > B | **4** *προηγουμένης* Guidi Cod. M | *καὶ ἑπομένης* > v | **7** *τῶν ἀρχόντων* — **10** *θεράποντας* > T* *περιμενόντων* vor *τὴν τοῦ* ~ n | **8** *συγγεγραφότων* nSz Guidi Cod. M *συγγραφότων* B *συγγραφόντων* A | **10** *δέ τις ἐκείνοις*] *τισ* T* | **11** *βλέπων γινόμενα* ~ nSz | **13** *ἐξουθενωθήσονται* AHSDLT Guidi *ἐξουθενηθήσονται* BNv

Τάδε ἔνεστιν ἐν τῷ β̄ τόμῳ τῆς Θεοδωρήτου ἐκκλησιαστικῆς ἱστορίας

α′. Περὶ τῆς ἐπανόδου τοῦ ἁγίου Ἀθανασίου.
β′. Ἐπιστολὴ τοῦ βασιλέως Κωνσταντίνου τοῦ υἱοῦ Κωνσταντίνου πρὸς Ἀλεξανδρέας.
γ′. Πῶς Κωνστάντιος ὁ βασιλεὺς ἐκ τῆς ὀρθῆς πίστεως παρετράπη.
δ′. Περὶ τῆς τοῦ μακαρίου Ἀθανασίου δευτέρας ἐξορίας καὶ τῆς Γρηγορίου καταστάσεώς τε καὶ τελευτῆς.
ε′. Περὶ Παύλου τοῦ γενομένου ἐπισκόπου Κωνσταντινουπόλεως.
ς′. Περὶ Μακεδονίου καὶ τῆς ὑπ᾽ αὐτοῦ συστάσης αἱρέσεως.
ζ′. Περὶ τῆς ἐν Σαρδικῇ γενομένης συνόδου.
η′. Συνοδικὸν ὑπὸ τῶν αὐτόθι συνεληλυθότων ἐπισκόπων πρὸς τοὺς κατὰ τὴν οἰκουμένην ἐπισκόπους γραφέν.
ϑ′. Τὰ κατὰ Εὐφρατᾶν καὶ Βικέντιον τοὺς ἐπισκόπους καὶ τὴν ἐν Ἀντιοχείᾳ κατ᾽ αὐτῶν γεγενημένην συσκευήν.
ι′. Περὶ τῆς Στεφάνου καθαιρέσεως.
ια′. Ἐπιστολὴ Κωνσταντίου πρὸς Ἀθανάσιον.
ιβ′. Περὶ τῆς δευτέρας ἐπανόδου τοῦ ἁγίου Ἀθανασίου.

B A HN (n) + S = r L + FV (v) = z

1 *τάδε — 2 ἱστορίας* A *ἐκκλησιαστικῆς ἱστορίας λόγος δεύτερος* H *τάδε περιέχει τῆς ἐκκλησιαστικῆς ἱστορίας τόμος* (+ *ὁ* V) $\overline{\beta}$ v *κεφάλαια τοῦ* $\overline{\beta}$ *λόγου* B > NSL | **4** *τοῦ*[1] > rz | *Κωνσταντίνου βασιλέως* ∾ SLV | *τοῦ*[2] > AHSLV | *υἱοῦ Κωνσταντίνου* > S | **6** *ὅπως* A | *κωνσταντῖνος* S | *ὁ βασιλεὺς* > B | *ἐκ* > rv | *τῆς ὀρθῆς πίστεως* > S | **8** *μακαρίου] ἁγίου* n | *καὶ τῆς — 9 τελευτῆς* BA > rz | **9** *τε* > B | **10** *τοῦ* > r | *ἐπισκόπου γενομένου* ∾ S | **11** *ὑπ᾽] ἐπ᾽* A > n | *αὐτῶ* A | **12** *σερδικῇ* BV | *γεγενημένης* Sz | **13** *συνοδικὴ* NS | *ὑπὸ] περὶ* Sz | **14** *γραφέν* An *γραφή* S > Bz | **15** nach *Τὰ* + *γραφέντα* z | *εὐφρατὰν* A *εὐφράταν* BV *ἐφράταν* F *εὔφρατον* S | *καὶ τὴν — 16 συσκευὴν* > n | **15/16** *ἐν Ἀντιοχείᾳ] ἀντιόχειαν* L | **16** *κατ᾽ αὐτῶν* > B | *συσκενήν* A *κατασκενήν* BSz | **18** *ἐπιστολῶν* B | *κωνσταντίνου* L | **19** *ἁγίου] μακαρίου* B

ιγ'. *Περὶ τῆς τρίτης ἐξορίας αὐτοῦ καὶ φυγῆς.*
ιδ'. *Περὶ Γεωργίου καὶ τῶν ἐν Ἀλεξανδρείᾳ ὑπ' αὐτοῦ τολμηθέντων κακῶν.*
ιε'. *Περὶ τῆς ἐν Μεδιολάνῳ γενομένης συνόδου.*
ις'. *Διάλογος Λιβερίου ἐπισκόπου Ῥώμης καὶ Κωνσταντίου βασιλέως.*
ιζ'. *Περὶ τῆς ἐξορίας καὶ τῆς ἐπανόδου τοῦ ἁγίου Λιβερίου.*
ιη'. *Περὶ τῆς ἐν Ἀριμήνῳ γενομένης συνόδου.*
ιθ'. *Ἐπιστολὴ συνοδικὴ παρὰ τῶν αὐτόθι συνεληλυθότων ἐπισκόπων πρὸς τὸν βασιλέα γραφεῖσα Κωνστάντιον.*
κ'. *Ἄλλη ἐπιστολὴ πρὸς Κωνστάντιον.*
κα'. *Περὶ τῆς ἐν Νίκῃ τῆς Θρᾴκης γεγενημένης συνόδου καὶ ἔκθεσις πίστεως παρ' ἐκείνων γραφεῖσα.*
κβ'. *Συνοδικὸς τόμος παρὰ Δαμάσου ἐπισκόπου Ῥώμης καὶ τῶν δυτικῶν ἐπισκόπων πρὸς τοὺς Ἰλλυριοὺς ἐπισκόπους γραφεὶς περὶ τῆς κατ' Ἀρίμηνον συνόδου.*
κγ'. *Ἀθανασίου ἐπισκόπου Ἀλεξανδρείας περὶ τῆς αὐτῆς συνόδου.*
κδ'. *Περὶ τῆς Λεοντίου τοῦ τῆς Ἀντιοχέων ἐπισκόπου κακοτεχνίας καὶ τῆς Φλαβιανοῦ καὶ Διοδώρου παρρησίας.*
κε'. *Περὶ τῆς Εὐδοξίου τοῦ Γερμανικέως καινοτομίας, καὶ Βασιλείου τοῦ Ἀγκύρας καὶ Εὐσταθίου τοῦ Σεβαστείας κατὰ τούτου γεγενημένης σπουδῆς.*
κς'. *Περὶ τῆς ἐν Νικαίᾳ πάλιν γεγενημένης συνόδου.*
κζ'. *Περὶ τῆς ἐν Σελευκείᾳ τῆς Ἰσαυρίας γεγενημένης συνόδου.*

B A HN (n) + S [bis **16** *συνόδου*] = r L + FV (v) = z

1 *αὐτοῦ ἐξορείας* B | **2** *ἐν Ἀλεξανδρείᾳ* > n | *ἐπ' αὐτοῦ* Λ | **3** *κακῶν* > B | **4** *μεδιολάνοις* S | *γεγενημένης* L | **5** *ἐπισκόπου*] *πάπα* n | *κωνσταντίνου* S | **7** *τῆς*[2] > Ar | *τοῦ ἁγίου* > Bn | **8** *γεγενημένης* BLV | **9** *παρὰ*] *περὶ* B | *παρὰ — ἐπισκόπων*] *περὶ* (> H) *τῆς αὐτῆς συνόδου* n | *αὐτόθι*] *αὐτῶν αὐτόθι* A | **10** *γραφεῖσα Κωνστάντιον* > n, *Κωνστάντιον γραφεῖσα* ~ B | **12** *νικαίᾳ* S | *τῆς Θρᾴκης* > H | *γεγενημένης* > n | **12/13** *πίστεως ἔκθεσις* ~ n | **13** *ἐκείνων γραφεῖσα*] *αὐτῶν* n | **14** *παρὰ* und *ἐπισκόπου* > n | *καὶ τῶν — 15 ἐπισκόπους* > z | **15** *πρὸς τοὺς — γραφεὶς* > *γραφεῖσα* S > n | *τοὺς* > A | *γραφεῖσα* A | **17** vor *Ἀθανασίου* + *τοῦ ἁγίου* n | *Ἀλεξανδρείας* > n | **18** *κακοτεχνίας* vor *Λεοντίου* ~ LV | *τοῦ* > BLV | *τῆς* > nLV | *ἀντιοχείας* z | *ἐπισκόπου* vor *ἀντιοχείας* ~ LV > n | **19** *τῆς* > n | **20** *καινοτομίας* vor *Εὐδοξίου* ~ n | *τοῦ* > n | *γερμανικείας* z | *καὶ* > n | **21** die zwei *τοῦ* > n | *καὶ* > n | *κατὰ — 22 σπουδῆς* > nz | **23** *γεγενημένης* (*γενομένης* N) *πάλιν* ~ n | **24** *τῆς Ἰσαυρίας* > n | *γεγενημένης*] *γενομένης* n > B

κη΄. Περὶ τῶν ἐν Κωνσταντινουπόλει τοῖς ὀρθοδόξοις ἐπισκόποις συμβεβηκότων.
κθ΄. Συνοδικὴ ἐπιστολὴ κατὰ Ἀετίου γραφεῖσα.
λ΄. Ποία πρόφασις τοὺς Εὐνομιανοὺς τῶν Ἀρειανῶν ἀπεσχοίνισεν.
λα΄. Περὶ τῆς πολιορκίας Νισίβεως τῆς πόλεως καὶ τῆς Ἰακώβου τοῦ ἐπισκόπου ἀποστολικῆς πολιτείας.
λβ΄. Περὶ τῆς ἐν Ἀντιοχείᾳ γεγενημένης συνόδου καὶ τῶν κατὰ τὸν ἅγιον Μελέτιον αὐτόθι συμβάντων.
λγ΄. Περὶ Εὐσεβίου τοῦ ἐπισκόπου Σαμοσάτων.

B A HN(n) L + FV(v) = z

1/2 *περὶ τῶν συμβεβηκότων* (*συμβαινόντων* N) *ἐν κωνσταντινουπόλει τοῖς ὀρθοδόξοις* n | *συμβεβηκότων* vor *τοῖς ὀρθοδόξοις* ~ LV | **3** *γραφεῖσα κατὰ Ἀετίου* ~ LV | **4** *τοὺς* > n | **5** *τῆς*[1] > n | *νισίβησ* B | *τῆς*[2] > AnV | *πόλεως* > nV | **6** vor *ἐπισκόπου* + *ταύτησ* z | *ἀποστολικῆς* > n | **7** *γεγενημένης* > n | *τῶν τὰ* B | **8** *ἅγιον* und *αὐτόθι συμβάντων* > n **9** *τοῦ* > A

ΤΟΜΟΣ Β̄ ΤΗΣ ΘΕΟΛΩΡΗΤΟΥ ΕΚΚΛΗΣΙΑΣΤΙΚΗΣ ΙΣΤΟΡΙΑΣ

Ὁ μὲν δὴ θεῖος Ἀθανάσιος ἔτη δύο καὶ μῆνας τέσσαρας ἐν **1**
Τριβέρει διατρίψας εἰς τὴν Ἀλεξάνδρειαν ἐπανῆλθεν. ἔγραψε δὲ καὶ
Κωνσταντῖνος ὁ βασιλεύς, ὁ τῶν Κωνσταντίνου τοῦ μεγάλου παίδων
πρεσβύτατος (αὐτὸς γὰρ τῆς πρὸς δυόμενον ἥλιον ἐβασίλευε Γαλατίας),
τῇ Ἀλεξανδρέων ἐκκλησίᾳ τάδε τὰ γράμματα·

»Κωνσταντῖνος Καῖσαρ τῷ λαῷ τῆς καθολικῆς ἐκκλησίας πόλεως **2**
»τῶν Ἀλεξανδρέων.

»Οὐδὲ τὴν τῆς ὑμετέρας ἱερᾶς ἐννοίας ἀποπεφευγέναι γνῶσιν
»οἶμαι, διὰ τοῦτο Ἀθανάσιον τὸν τοῦ προσκυνητοῦ νόμου ὑποφήτην
»πρὸς καιρὸν εἰς τὰς Γαλλίας ἀπεστάλθαι, ἵνα, ἐπειδὴ ἡ ἀγριότης τῶν
»αἱμοβόρων αὐτοῦ καὶ πολεμίων ἐχθρῶν εἰς κίνδυνον τῆς ἱερᾶς αὐτοῦ
»κεφαλῆς ἐπέμενε, μὴ ἄρα διὰ τῆς τῶν φαύλων διαστροφῆς ἀνήκεστα

3/4 vgl. Histor. acephala Arian. 17 — **6** vgl. Sozomen. III 2, 1 — **8**—S. 95, 16 bei Athanas. Apol. c. Arian. 87. Socrat. II 3. Sozomen. III 2, 3—6 [= T, Cass. IV 2]. vgl. Symeon Vit. Athanas. 6 PG 25 CCXXX. Vit. Athanas. 11 PG 25 CXCV

B A HN (n) + S = r L + FV (v) = z

1 *τόμος* — **2** *ἱστορίας* A *ἐκκλησιαστικῆς ἱστορίας λόγος* $\bar{\beta}$ S *τόμος* $\bar{\beta}$ v *λόγος* $\bar{\beta}$ B > nL | **3** $\bar{\alpha}$ am Rand HSS | *Ἀθανάσιος*] *ἐκεῖνος τῶν ἀρχιερέων ἡ καλλονή· ἀθανάσιόν φημι* n | *ἐν* BAV *ἐν τῇ* rLF | **4** *τριβέρι* F *τριβέριδι* V *τιβεριάδι* B | *δὲ* > B | **5** *ὁ*[2] > B | *τοῦ*] *τῶν* A | **6** *πρεσβύτατος* B | *ἐβασίλευσεν* B *ἐβασίλευ*[/]*ε* A | **7** *τὰ* > AL | **8** $\bar{\beta}$ am Rand HSS | **9** *τῶν* > L | **10** *οὐδὲ* BAAthan. Socr. *οὐδὲν* rzA^{c}Socr. Codd. FC Sozom. (aber *neque* Cass.) | *ἱερᾶς* = Athan. Socr. Sozom. > A Sozom. Cod. T | *ἐνοίας* BA *ν* übergeschrieben A^{c} | *ἀποφευγέναι* BNF | **11** nach *οἶμαι* + *ὡς* S | *τοῦτο* übergeschrieben A^{c} | **12** *τὰς Γαλλίας* = Athan. Socr. Sozom.] *ὑμᾶς* B | *ἀπεστάλθαι* BSz Athan. Socr. Sozom. *ἀπεστάλθαι συνέβη* An | **13** *πολεμίων*] *ὑπὸ* B | **14** *κεφαλῆς κελῆς* B | *ἐπέμενε* A Socr. Sozom. *ἐπέμινεν* B *ἐπέμηνεν* V *ἐπέμεινε* rLF Athan., *ἐπεμάνη* vermutet Jülicher

»ὑποστῇ. πρὸς τὸ διαπαῖξαι τοίνυν ταύτην, ἀφαιρεθεὶς τῶν φαύγ- 2
»γων τῶν ἐπικειμένων αὐτῷ ἀνδρῶν, ὑπ' ἐμοὶ διάγειν κεκέλευσται
»οὕτως ὡς ἐν αὐτῇ τῇ πόλει ἐν ᾗ διέτριβε πᾶσι τοῖς ἀναγκαίοις ἐμ-
»πλεονάζειν, εἰ καὶ τὰ μάλιστα αὐτοῦ ἡ ἀοίδιμος ἀρετή, ταῖς θείαις
»πεποιθυῖα βοηθείαις, καὶ τὰ τῆς τραχυτέρας τύχης ἄχθη ἐξουθενεῖ.
»τοιγαροῦν εἰ καὶ τὰ μάλιστα πρὸς τὴν προσφιλεστάτην ὑμῶν θεο- 3
»σέβειαν ὁ δεσπότης ἡμῶν ὁ τῆς μακαρίας μνήμης Κωνσταντῖνος ὁ
»σεβαστός, ὁ ἐμὸς πατήρ, τὸν αὐτὸν ἐπίσκοπον τῷ ἰδίῳ τόπῳ παρα-
»σχεῖν προήρητο, ὅμως ἐπειδή, ἀνθρωπίνῳ κλήρῳ προληφθείς, πρὸ
»τοῦ τὴν εὐχὴν πληρῶσαι ἀνεπαύσατο, ἀκόλουθον ἡγησάμην τὴν
»προαίρεσιν τοῦ τῆς θείας μνήμης βασιλέως διαδεξάμενος πληρῶσαι.
»ὅστις ἐπειδὰν τῆς ὑμετέρας τύχῃ προσόψεως, ὅσης παρ' ἐμοῦ αἰδοῦς 4
»τετύχηκε γνώσεσθε. οὐ γὰρ θαυμαστὸν εἴ τι δᾶν ὑπὲρ αὐτοῦ
»πεποίηκα· καὶ γὰρ τὴν ἐμὴν ψυχὴν ἥ τε τοῦ ὑμετέρου πόθου εἰκὼν
»καὶ τὸ τοῦ τηλικούτου ἀνδρὸς σχῆμα εἰς τοῦτο ἐκίνει καὶ προέτρεπεν.
»ἡ θεία πρόνοια ὑμᾶς διαφυλάξει, ἀδελφοὶ ἀγαπητοί.«

Μετὰ τούτων ὁ θεῖος Ἀθανάσιος ἀφίκετο τῶν γραμμάτων. 5
πάντες δὲ αὐτὸν ἀσμένως ἀπέλαβον, καὶ ἀστοὶ καὶ χωρητικοί, καὶ

17—S. 96, 4 vgl. Socrat. II 3, 5—6. Sozomen. III 2, 7 — **18**—S. 96, 1 vgl. Gregor. Nazianz. Orat. XXI 29

B A HN (n) + S = r L + FV (v) = z T [von **17** an]

1 *διαπαῖξαι* BrL Athan. Socr. Sozom. u. A, aber *αῖ* auf Rasur Ac *διαπατάξαι* v | *ἀφαιρεθεὶς* ArLFAthan. *ἀφαιρεθείσης* V *ἀφηρέθην* B *ἀφῃρέθη* Socr. Sozom. | **2** nach *ἀνδρῶν* + *καὶ* Sozom. | *κεκέλευσται* B *κελευσθεὶς* Socr., Athan. Sozom. wie im Text | **3** *ὡς* > Bn | *αὐτῇ Π ταύτῃ* Athan. Socr. Sozom. | **3/4** *ἐμπλεονάζειν* (*ν* übergeschrieben Ac) A *ἐπιπλεονάζειν* n, Athan. Socr. Sozom. wie im Text | **4** *ἡ* > B | *θείαις* > B | **5** *βοηθείαις πεποιθυῖα* ~ B | *τύχης*] *ψυχῆς* S | *ἐξουθενήθη* B | **6** *εἰ* > B | *τὰ* > An | **6/7** *θεοσέβειαν — ἡμῶν* > B | **8** *σεβαστὸς* nz Athan. Socr. Sozom. *εὐσεβεὶς* B *εὐσεβέστατος* S *θεοσεβέστατος* A | *ὁ ἐμὸς* > B | *τόπῳ* > L | **9** *προείρητο* AS *προήρατο* B | *προσληφθεὶς* Bv | **10** *ἀνεπαύσατο* — **11** *πληρῶσαι* > S | **12** *ἐμοῦ* übergeschrieben Ac | **13** *γνώσεσθαι* B | *αὐτοὺς* B | **14** *ἥ τε*] *εἴτε* B | **15** *τὸ τοῦ τηλικούτου ἀνδρὸς σχῆμα* L Athan. Socr. *τὸ τηλικούτου ἀνδρὸς σχῆμα* (*πρόσχημα* r) rv Sozom. *τοῦ τηλικούτου ἀνδρὸς τὸ σχῆμα* A *τὰ τηλικούτων ἀνδρὸς σχήματα* B | **16** *ὑμᾶς* vor *ἀδελφοὶ* ~ n | *διαφυλάξει* BA Athan. Cod. Par. *διαφυλάξοι* rz Sozom. (aber *διαφυλάξει* Cod. T) Socr. Cod. A *διαφυλάξαι* Socr. Codd. FCM | *ἀγαπητοὶ ἀδελφοί* ~ SvAthan. Socr. Cod. A | **17** $\overline{\gamma}$ am Rand Sz | nach *τούτων* + *οὖν* T | **18** *αὐτὸν* > L | *χωριτικοί* n

οἱ ὀλίγοι καὶ οἱ πολλοί, μόνους δὲ ἠνία τῆς Ἀρείου μανίας τοὺς θιασώτας ἐπανελθών. διὸ δὴ πάλιν τὰς οἰκείας ἐκίνησαν μηχανὰς Εὐσέβιός τε καὶ Θεογόνιος καὶ ὅσοι τῆς τούτων ὑπῆρχον συμμορίας, καὶ πάλιν τὰς τοῦ βασιλέως νέου γε ὄντος διώρυττον ἀκοάς. ἐρῶ δὲ καὶ ὅπως οὗτος ἐκ τῆς τῶν ἀποστολικῶν δογμάτων εὐθύτητος παρετράπη.

Κωνσταντία Λικιννίου μὲν ἐγεγόνει γαμετή, Κωνσταντίνου δὲ **3** ἦν ἀδελφή. ταύτῃ τις πρεσβύτερος, τὴν Ἀρειανικὴν εἰσδεξάμενος λώβην, συνήθης ἐγένετο. καὶ τὴν μὲν νόσον οὐ προφανῶς ἐδείκνυ, συνεχῶς δὲ αὐτῇ προσδιαλεγόμενος ἔλεγε συκοφαντίαν ὑπομεμενηκέναι τὸν Ἄρειον. ταύτην ὁ πανεύφημος Κωνσταντῖνος μετὰ τὴν τοῦ δυσ- **2** σεβοῦς ἀνδρὸς τελευτὴν παντοδαπῆς κηδεμονίας ἠξίου καὶ τῶν τῆς χηρείας ἀνιαρῶν πεῖραν οὐκ εἴα λαβεῖν, καὶ παρ' αὐτὴν δὲ τὴν τελευτὴν παρῆν αὐτῇ τὴν ἁρμόττουσαν θεραπείαν προσφέρων. τότε **3** δὴ τοῦτον κληθῆναι κελεύσασα τὸν πρεσβύτερον, τῆς τοῦ βασιλέως ἀξιοῦσθαι προμηθείας ἱκέτευεν. ὁ δὲ Κωνσταντῖνος καὶ τηνικαῦτα τοῦτο ποιήσειν ὑπέσχετο καὶ μετὰ ταῦτα πεπλήρωκε τὴν ὑπόσχεσιν· μετέδωκε γὰρ αὐτῷ παρρησίας ὅτι μάλιστα πλείστης. ἀλλ' ὅμως καὶ **4** πολλῆς ἀξιούμενος θεραπείας οὐκ ἐθάρρησεν ἀποκαλύψαι τὴν νόσον, βεβαίαν ὁρῶν περὶ τὰ θεῖα τοῦ βασιλέως τὴν γνώμην. ἐπειδὴ δὲ **5** Κωνσταντῖνος εἰς τὴν ἀνώλεθρον μεθιστάμενος βασιλείαν τοῖς παισὶν ἐν διαθήκαις τὴν ἐπίκηρον ταύτην βασιλείαν διένειμεν (οὐδεὶς δὲ τούτων τελευτῶντι παρῆν), τούτῳ μόνῳ τῷ πρεσβυτέρῳ τὰς διαθήκας ἐπίστευσε, Κωνσταντίῳ ταύτας δοθῆναι κελεύσας· οὗτος γὰρ τῶν ἄλλων πλησιέστερος ὢν πρὸ τῶν ἄλλων ἀφίξεσθαι προσδόκιμος ἦν. ἐντεῦθεν οὗτος τῷ Κωνσταντίῳ γενόμενος γνώριμος (ἀπέδωκε γὰρ **6**

7—18 vgl. Rufin. H. E. X 12, 976, 24—977, 14. Socrat. I 25, 1—5. Sozomen. II 27, 2—4. Gelas. Cyzic. III 12 — **20**—S. 97, 5 vgl. Rufin. H. E. X 12, 978, 5—19 — **21—24** vgl. Socrat. I 39, 3—5. Sozomen. II 34, 2

* **11—14** Gelas. Cyzic. III 12, 142ª, 12 — **16—18** ebd. 142ᵇ, 8 — **20**—S. 97, 22 Cass. IV 5

B A HN (n) + S = r L + FV (v) = z T [bis **3** *Θεογόνιος*]

1 οἱ *ὀλίγοι καὶ* οἱ BT οἱ *ὀλίγοι καὶ* L *ὀλίγοι καὶ* οἱ F *ὀλίγοι καὶ* ArV | *ἀρειμανίας* B | **2** *πάλιν* > BA, nach *τὰς οἰκείας* ∽ T | **3** *Θεόγ[/]νιος* A *Θεόγνιος* LT *Θέογνις* V | **7** *γ̄* am Rand An | *λικινίου* BSL | **9** *μὲν* > B | **13** *χηρείας*] *χάριτος* B | **16** *ἱκέτευεν* BAr *ἱκέτευσεν* z und, *σ* übergeschrieben, Ac | **17** *τοῦτο ποιήσειν*] *ποιεῖν* B | **19** *ἐθάρσησεν* A | **21** *τοῖς παισὶν* am Rand Ac | **25** *ἀφίξεσθαι* A *ἀφικέσθαι* Brz

τὰς διαθήκας ὡς προσετάχθη). συνήθης ἐγένετο καὶ θαμὰ φοιτᾶν παρ' αὐτὸν ἐκελεύετο. κατιδὼν δὲ εὗριπον τοῦ Κωνσταντίου τὴν γνώμην καὶ καλάμοις ὑπ' ἀνέμων ἐναντίων τῇδε κἀκεῖσε κλινομένοις προσεοικυῖαν, ἐθάρρησε τὸν κατὰ τῶν εὐαγγελικῶν δογμάτων ἀνα-
5 δέξασθαι πόλεμον. καὶ τῶν ἐκκλησιῶν δῃθεν τὴν ζάλην ὀλοφυρό- 7
μενος, αἰτίους ἔλεγε τοὺς τὴν ἄγραφον τοῦ ὁμοουσίου φωνὴν ἐντεθεικότας τῇ διδασκαλίᾳ τῆς πίστεως, καὶ τοῦτο καὶ τοῖς ἱερωμένοις καὶ τοῖς πολλοῖς ἐργάζεσθαι τὴν διάστασιν. ἐντεῦθεν Ἀθανασίου καὶ τῶν τὰ ἴσα φρονούντων κατηγορῶν τὰς κατὰ τούτων ἐπιβουλὰς
10 ἐτεκταίνετο.

Τούτῳ συνεργῷ κεχρημένοι Εὐσέβιός τε καὶ Θεογόνιος καὶ Θεό- 8
δωρος ὁ Περίνθιος (ἐλλόγιμος δὲ διαφερόντως ὁ Θεόδωρος ἦν καὶ δὴ καὶ τῶν θείων εὐαγγελίων τὴν ἑρμηνείαν συνέγραψεν, Ἡρακλεώτην δὲ αὐτὸν ὀνομάζουσιν οἱ πολλοί), οὗτοι συνεχῶς ἅτε δὴ γειτο-
15 νεύοντες τὸν βασιλέα ὁρῶντες, τὴν ἀπὸ τῆς ἐξορίας ἐπάνοδον Ἀθανασίου παμπόλλων ἔλεγον αἰτίαν γεγενῆσθαι κακῶν, καὶ οὐ μόνον τὴν Αἴγυπτον μεταλαγχάνειν τοῦ κλύδωνος, ἀλλὰ καὶ τὴν Παλαιστίνην καὶ τὴν Φοινίκην καὶ τὰ ἄλλα ὅμορα ἔθνη.

Τούτοις καὶ τοῖς τοιούτοις λόγοις τὴν κουφοτάτην αὐτοῦ πολι- 4
20 ορκήσαντες γνώμην, ἔπεισαν αὐτὸν ἐξελάσαι τῆς ἐκκλησίας τὸν Ἀθανάσιον· ὁ δὲ προμαθὼν τὴν ἐπιβουλὴν ὑπεχώρησε καὶ τὴν Ἑσπέραν κατείληφε. καὶ γὰρ τῷ Ῥώμης ἐπισκόπῳ (Ἰούλιος δὲ τηνικαῦτα τὴν ἐκκλησίαν ἐκείνην ἐποίμαινεν) οἱ περὶ Εὐσέβιον τὰς κατὰ Ἀθανασίου συντεθείσας συκοφαντίας ἐξέπεμψαν. ὁ δὲ τῷ τῆς ἐκ- 2

5—11 vgl. Socrat. II 2, 1—2 — **22**—S. 98, 4 vgl. Athanas. Apol. c. Arian. 20 f. Socrat. II 11, 6—7

* **1/2** Gelas. Cyzic. III 12, 142b, 10 — **22**—S. 98, 8 Cass. IV 6

B A HN (n) + S = r L + FV (v) = z T [von **2** *κατιδὼν* — **21** *Ἀθανάσιον*]

1 *θαμὰ* z Gel. u. *θ* übergeschrieben Ac *ἅμα* Ar *ἅμα* B, s. S. 70, 3 | **2** *καθειδὼν* B | *εὗριπον*] *εὐρίπιστον* T, vgl. *εὗριπον* Nic. IX 29 und unten II 31, 10 | *τὴν* vor *τοῦ* ∼ T | **3** *καὶ*] *καθάπερ* rv | **4** *τὸν*] *τῶν* BS | **4/5** *δέξασθαι* B, *assumere* Cass. | **7** *τούτῳ* LF *τούτων* V | *καὶ τοῖς* > B | **9** *ἴσα* BAT *ὅμοια* rz vor *τὰς* + *καὶ* A | **11** *Τούτῳ*: *δ* am Rand BSz | *Τούτῳ* — **12** *Περίνθιος*] *συμπράττων εὐσεβίῳ τε καὶ θεογονίῳ καὶ θεοδώρῳ τῷ περινθίῳ* T* | *συνεργοὶ* B *θεόγνιος* A *θεόγνιος* LV *Theognius* Cass. Codd. LP | **12** nach *Περίνθιος* + *ἦν* gestrichen A | **13** *καὶ* > T | *συγγέγραφεν* A | **14** *οὗτοι* Brz'T Cass. *οἱ αὐτοὶ* A | **15** vor *τὸν* + *καὶ* Arz | **19** *δ* am Rand A | **20** *τῆς ἐκκλησίας ἐξελάσαι* ∼ z | **22** nach *γὰρ* + *καὶ* B | **23** *ἐκείνην* > B | nach *περὶ* — *τὸν* nF

κλησίας ἐπόμενος νόμῳ, καὶ αὐτοὺς καταλαβεῖν τὴν Ῥώμην ἐκέλευσε καὶ τὸν θεῖον Ἀθανάσιον εἰς τὴν δίκην ἐκάλεσε. καὶ οὗτος μὲν 3
ἐξώρμησεν εὐθὺς τὴν κλῆσιν δεξάμενος· οἱ δὲ τὸ δρᾶμα συντεθεικότες
εἰς μὲν τὴν Ῥώμην οὐκ ἀπῆλθον, εὐφώρατον εἰδότες τὸ ψεῦδος,
ἔρημα δὲ τοῦ νομέως τὰ πρόβατα θεασάμενοι λύκον αὐτοῖς ἀντὶ
ποιμένος ἐπέστησαν· Γρηγόριος δὲ τούτῳ ὄνομα ἦν. ἓξ δὲ ἔτη θηρίων
ἀγρίων ὠμότερον τῇ ποίμνῃ χρησάμενος, δίκας ἔτισε τῆς πονηρίας,
ὑπ' αὐτῶν πικρῶς διαφθαρεὶς τῶν προβάτων.

Ἀθανάσιος δὲ πρὸς Κώνσταντα ἀφικόμενος (Κωνσταντῖνος γὰρ 4
ὁ πρεσβύτατος πολεμῶν ἐτεθνήκει), τῆς Ἀρειανικῆς φάλαγγος τὰς
ἐπιβουλὰς ἀπωδύρετο καὶ τὸν κατὰ τῆς ἀποστολικῆς πίστεως ὠλο-
φύρατο πόλεμον, καὶ τοῦ τε πατρὸς ἀνέμνησε καὶ τῆς συνόδου τῆς
μεγίστης ἣν ἐκεῖνος συνήλισε, καὶ ὡς τὰ παρ' ἐκείνων γραφέντα τοῦ
συνεδρίου κοινωνῶν ἐκράτυνε νόμῳ. τοιαῦτα ποτνιώμενος εἰς τὸν 5
πατρῷον ζῆλον τὸν βασιλέα διήγειρεν. παραυτίκα γὰρ τούτων
ἀκούσας ἐπέστειλε τῷ ἀδελφῷ, παραινῶν τῆς πατρῴας εὐσεβείας
ἄσυλον φυλάξαι τὸν κλῆρον· καὶ γὰρ ἐκεῖνος εὐσεβείᾳ τὴν βασιλείαν
κρατύνας καὶ τοὺς Ῥωμαίων τυράννους κατέλυσε καὶ τοὺς ἐν κύκλῳ
βαρβάρους ὑπέταξε.

Τούτοις πεισθεὶς τοῖς γράμμασιν ὁ Κωνστάντιος προσέταξεν εἰς 6
τὴν Σαρδικὴν (Ἰλλυρικὴ δὲ αὕτη πόλις, τοῦ Δακῶν ἔθνους μητρό-
πολις) καὶ τοὺς τῆς Ἑῴας καὶ τοὺς τῆς Ἑσπέρας συνδραμεῖν ἐπισκό-

15/16 u. **20** – S. 99, 1 vgl. Socrat. II 20, 2—3. Sozomen. III 11, 3

* **6—8** Nicetas Thesaur. VI 10 PG 140, 16 C — **9—19** Cass. IV 7 — **20**—S. 99, 16 Cass. IV 21

B A HN (n) + S = r L + FV (v) = z T [von **6** ἓξ — **19** ὑπέταξε]

2 *θεῖον* übergeschrieben Ac | **3** *οἱ δὲ τὸ δρᾶμα συντεθεικότες* BASzCass. *οἱ δὲ τὸ δρᾶμα εἰδότες ὡς καὶ συντεθεικότες* n | **5** *τοῦ νομέως τὰ πρόβατα θεασάμενοι* B *τὰ πρόβατα τοῦ νομέως θεασάμενοι* A *τοῦ νομέως θεασάμενοι τὰ πρόβατα* rz | **6** *τούτου* B | *ἔτη δὲ* ∾ A | *θηρίων* BT *θηρῶν* Arz **7** *ὠμότερον* > B, *crudelius* Cass. | **9** *Ἀθανάσιος* — **10** *ἐτεθνήκει* > T* **10** *πρεσβύτερος* nz | **11** *ἀποδυρόμενοι* T* | *τῆς κατὰ* ∾ T | **11/12** *ὠλοφύρατο* BAL *ὠλοφύρετο* rv *ὠλοφύραντο* T* | **12** *τε* übergeschrieben Ac | **13** *συνήλισε* A *συνείλισεν* B *συνέλεξε* rzT am Rand Ac, s. 85, 5 | **14** *κοινῶ* n | *ποτνιώμενοι* u. 15 *διήγειραν* T* | **15** *πάτριον* A | **16** *ἐπέστειλε τῷ ἀδελφῷ*] *καὶ ἰδιοπαθήσασ πρὸσ τὸν ἀδελφὸν γράμματα διαπέμπεται* T* | **20** *Τούτοις*: ē am Rand BSz | *πεισθεὶς*] *εἰσθεὶς* B | *τοῖς* As | *τοῖς γράμμασιν* > L | **21** u. S. 99, 7 *σερδικὴν* V *σαρδικὴν*, *α* aus *ε* corr., B *Sardicae* Cass. | *τοῦ* As | **22** *τοὺς τῆς*[2] > N und, mit leerem Raum, H

πους. πολλὰ γὰρ καὶ ἕτερα τῆς ἐκκλησίας παθήματα τῆς συνοδικῆς θεραπείας ἐδεῖτο.

Καὶ γὰρ Παῦλον (Κωνσταντινουπόλεως δὲ ἐπίσκοπος οὗτος ἦν. 5
τῶν ὀρθῶν προκινδυνεύων δογμάτων) οἱ τῆς Ἀρειανικῆς μετειληχό-
5 *τες νόσου ἐγράψαντο ὡς στάσεως ἀρχηγόν, καὶ ἄλλα τινὰ προσθέν-*
τες ἃ συκοφαντεῖν εἰώθασι τῆς εὐσεβείας τοὺς κήρυκας. ἀλλὰ τοῦτον 2
τηνικαῦτα οὐκ εἴασεν ὁ λεὼς εἰς τὴν Σαρδικὴν ἀπαχθῆναι, τὰς τῶν
ἐναντίων ὀρρωδήσας ἐπιβουλάς. μικρὸν δὲ ὕστερον τὴν κουφοτάτην
τοῦ βασιλέως παραπείσαντες γνώμην, τῆς μὲν βασιλευούσης ἐξωστρά-
10 *κισαν πόλεως, μετῴκισαν δὲ εἰς Κουκουσόν· πόλισμα δὲ αὕτη σμικρόν.*
πάλαι μὲν εἰς τὸ Καππαδοκῶν ἔθνος τελοῦν, νῦν δέ γε τῇ Ἀρμενίᾳ
τῇ δευτέρᾳ συναριθμούμενον. ἀλλ' οὐκ ἀπέχρησε τοῖς πάντα κυκῶσιν 3
ἡ ἐν ἐρημίᾳ τοῦ θαυμασίου Παύλου διατριβή· πέμψαντες γὰρ τῆς
μιαιφόνου γνώμης τοὺς ὑπουργοὺς βιαίῳ θανάτῳ παρέδοσαν. καὶ
15 *τοῦτο ἡμᾶς ὁ θεῖος ἐδίδαξεν Ἀθανάσιος, ἐν τῇ περὶ τῆς οἰκείας*
φυγῆς Ἀπολογίᾳ καὶ ταῦτα προστεθεικώς·

»Τὸν γὰρ τῆς Κωνσταντινουπόλεως Παῦλον τὸν ἐπίσκοπον διώ- 4
»ξαντες καὶ εὑρόντες, προφανῶς ἀποπνιγῆναι πεποιήκασιν ἐν τῇ
»λεγομένῃ Κουκουσῷ τῆς Καππαδοκίας, δήμιον ἐσχηκότες εἰς τοῦτο

3—12 vgl. Histor. acephala Arian. 2 — **17**—S. 100, 2 Athanas. Apol. de fuga sua 3

* **17**—S. 100, 2 Niceph. H. E. IX 30 — **17**—S. 100, 15 Cass. IV 22

B A HN (n) + G [G von **15** *ἐν τῇ* an] S (s) = r L + FV (v) = z T u. W [von **17** *Τὸν γὰρ* an]

3 *ε̄* am Rand A | *Παύλον* B | *δὲ* > B | *ἐπίσκοποσ οὗτοσ ἦν* A *οὗτοσ ἐπίσκοποσ ἦν* nz *οὗτοσ ἦν ἐπίσκοποσ* S *ἐπίσκοποσ ἦν* B | **4** *ὀρθοδόξων* B, *rectis* Cass. | *προκινδυνεύων* Br *προκινδυνεύοντα* Az | **4/5** *μετειληφότεσ* B | **5** *στάσεων* B, *seditionis* Cass. | **6** *εἰώθεσαν* r *ἰώθεισαν* B, *quae calumniatoribus sunt amica* Cass. | *τοῦτον*] *γὰρ τὸ* B, *quem tamen* Cass. | **7** *εἴασεν ὁ λεὼς*] *εἴασεν τέωσ* r *εἴασεν τέωσ ὁ λέωσ* z | **9** *βασιλικῆσ* B | **10** *μετῴκισαν δὲ*] *καὶ μετώκισαν* z | *κοκκουσὸν* B | *πόλισμα* B *πόλισ////* A *civitatulam* Cass. *πόλισ* rz | *σμικρὸν* B *////μικρὰ//* (*ὰ* auf Rasur Ac) A *μικρὰ* rz | **11** *τελοῦν* B *τελοῦσα* (*σα* auf Rasur Ac) Arz | *γε* > z | *τῇ* > B | **12** *συναριθμούμενον* BA *συναριθμουμένη* rzAc | **13** *θαυμασίου* übergeschrieben Ac | **15** *οἰκείασ* BAS *ἰδίασ* nGz | **16** *καὶ ταῦτα προστεθεικώσ* Am | **17** *ἀθανασίου* am Rand A *τῆσ*] *δὴ* T | *Παῦλον τὸν* > T | *ἐπίσκοπον παῦλον* WAthan. | **18** *εὑρόντεσ προφανῶσ*] *φυγῇ καταδικάσαντεσ* T* | *ἐν* = Athan. > BW | **19** *κοκκουσῷ* B | *Καππαδοκίασ*] *ἀρμενίασ* T* | *δήμιον ἐσχηκότεσ εἰσ τοῦτο* > N und, mit leerem Raum, H | *ἐσχηκότεσ* = Athan.] *ἔχοντεσ* z

»Φίλιππον τὸν γενόμενον ἔπαρχον· ἦν γὰρ καὶ τῆς αἱρέσεως αὐτῶν »προστάτης καὶ τῶν πονηρῶν βουλευμάτων ὑπηρέτης.«

Τοιαύτας μιαιφονίας ἡ Ἀρείου βεβλάστηκε βλασφημία. τῇ γὰρ κατὰ τοῦ μονογενοῦς λύττῃ συμβαίνει τὰ κατὰ τῶν ἐκείνου θερα-
πόντων τολμήματα.

Ἀλλὰ τοῦτον οὕτω τῷ θανάτῳ, μᾶλλον δὲ τῇ τῶν οὐρανῶν **6**
παραπέμψαντες βασιλείᾳ, Μακεδόνιον ἀντὶ τούτου προὐβάλοντο, ὁμογνώμονα τοῦτον ὑπειληφότες ἐπειδὴ παραπλησίως αὐτοῖς ἐβλασφήμει τὸ πανάγιον πνεῦμα. ἀλλὰ μικρὸν ὕστερον καὶ τοῦτον ἐξήλασαν, κτίσμα λέγειν οὐκ ἀνασχόμενον ὃν υἱὸν ἡ θεία προσαγορεύει γραφή. οὗ δὴ χάριν οὗτος ἐκείνων ἀποκριθεὶς ἰδίας αἱρέσεως προ- **2**
στάτης γεγένηται· ὁμοούσιον μὲν οὐδὲ οὗτος τῷ πατρὶ τὸν υἱὸν εἶναι λέγων, ὅμοιον δὲ εἶναι κατὰ πάντα τῷ γεγεννηκότι διδάσκων, κτιστὸν δὲ τὸ πνεῦμα προφανῶς ὀνομάζων. ταῦτα μὲν οὖν οὐ πολλῷ χρόνῳ ὕστερον οὕτω γέγονεν ὡς εἰρήκαμεν.

Εἰς δὲ τὴν Σαρδικὴν πεντήκοντα μὲν καὶ διακόσιοι συνῆλθον **7**
ἀρχιερεῖς, ὡς διδάσκει τὰ παλαιὰ διηγήματα. ἀφίκετο δὲ καὶ ὁ μέγας Ἀθανάσιος καὶ Ἀσκληπᾶς ὁ Γαζαῖος, οὗ καὶ πρόσθεν ἐμνήσθην, καὶ Μάρκελλος ὁ Ἀγκύρας τῆς Γαλατῶν μητροπόλεως, ὃς καὶ ἐπὶ τῆς συνόδου τῆς μεγάλης ἐπίσκοπος ἦν. ἀφίκοντο δὲ καὶ οἱ τούτων **2**
κατήγοροι καὶ οἱ τῆς αἱρετικῆς προστατεύοντες φάλαγγος, οἱ πάλαι τῶν περὶ τὸν Ἀθανάσιον γενόμενοι δικασταί. ἀλλὰ τῆς συνόδου μεμαθηκότες τὸ ἀκλινὲς καὶ τὴν ἐν τοῖς θείοις δόγμασιν ὑγίειαν, οὐδὲ κληθέντες εἰσῆλθον εἰς τὸ συνέδριον ἀλλ' ἀπέδρασαν σὺν τοῖς

6—14 vgl. Rufin. H. E. X 26, 990, 1—5 u. 11—13. Sozomen. IV 27. Theodoret. Haeret. Fabul. IV 5 PG 83, 424 A — **18** oben S. 85, 7

* **16** Nicetas Thesaur. VI 13 PG 140, 20 B

B A HN(n) + GS(s) = r L + FV [V bis **16** *Σαρδικὴν*] (v) = z TW [bis **2** *ὑπηρέτης*]

1 *γενόμενον* = Athan.] *γενάμενον* B *γενόμενον* A aber *νό* auf Rasur Ac | **2** *πρωτοστάτης* A | **3** *Τοιαύτας*: ξ am Rand Bz | **4** *συμβαίνει* // A | **6** ξ am Rand A | *τῷ* > n | **7** *προὐβάλλοντο* A, *statuerunt* Cass. | **8** *τοῦτον*] *τούτων αὐτὸν* n | **10** *προσαγορεύει ἡ θεία* ∾ A | **12** *ἐγένετο* L | **14** *οὖν* > n | *οὐ* > A, *non* Cass. | **16** ξ am Rand HSS | *δὲ*] *δέ γε* B | *σαρδικὴν*, *α* aus *ε* corr., B *σερδικὴν* V | *μὲν* > n | **17** *ὡσ* //// A | **18** *ὁ* As | *γαζεύς* B | **19** *ὁ* > BA | *ὃς καὶ* > B | *καὶ* As | **21** *οἱ*[1] > B | **22** *τὸν* > L, gestrichen in A | **23** *δόγμασιν*] *προστάγμασιν* A, vgl. IV 7, 7 u. S. 118, 7 | *ὑγείαν* AS *ὑγίαν* G

ἀδίκοις δικασταῖς καὶ οἱ κατήγοροι. καὶ τοῦτο ἄμεινον διδάσκει τῆς 3
συνόδου τὰ γράμματα, ἃ σαφοῦς εἵνεκα διδασκαλίας ἐνθήσω τῇ συγ-
γραφῇ.

»Ἡ ἁγία σύνοδος ἡ κατὰ θεοῦ χάριν ἐν Σαρδικῇ συναχθεῖσα 8
»ἀπό τε Ῥώμης καὶ Σπανίων καὶ Γαλλίων, Ἰταλίας, Καμπανίας,
»Καλαβρίας, Ἀφρικῆς, Σαρδανίας, Παννονίας, Μυσίας, Δακίας, Λαρδα-
»νίας, ἄλλης Δακίας, Μακεδονίας, Θεσσαλίας, Ἀχαΐας, Ἠπείρων, Θρᾴ-
»κης, Ῥοδόπης, Ἀσίας, Καρίας, Βιθυνίας, Ἑλλησπόντου, Φρυγίας,
»Πισιδίας, Καππαδοκίας, Πόντου, Κιλικίας, Φρυγίας ἄλλης, Παμφυ-
»λίας, Λυδίας, νήσων Κυκλάδων, Αἰγύπτου, Θηβαΐδος, Λιβύης, Γα-
»λατίας, Παλαιστίνης, Ἀραβίας, τοῖς πανταχοῦ ἐπισκόποις καὶ συλ-
»λειτουργοῖς τῆς καθολικῆς καὶ ἀποστολικῆς ἐκκλησίας, ἀγαπητοῖς
»ἀδελφοῖς ἐν κυρίῳ χαίρειν.

»Πολλὰ μὲν καὶ πολλάκις ἐτόλμησαν οἱ Ἀρειομανῖται κατὰ τῶν 2
»δούλων τοῦ θεοῦ τῶν τὴν πίστιν φυλαττόντων τὴν ὀρθήν. νόθον
»γὰρ ὑποβάλλοντες διδασκαλίαν τοὺς ὀρθοδόξους ἐλαύνειν ἐπειρά-
»θησαν· τοσοῦτον δὲ λοιπὸν κατεπανέστησαν κατὰ τῆς πίστεως ὡς
»μηδὲ τὴν ἀκοὴν τῶν θεοφιλεστάτων βασιλέων λαθεῖν. τοιγαροῦν 3

4—S. 118, 4 lateinisch S. Leonis opera III 598 ff [nach einem mit Theodoret nahe verwandten Text] = *Λ* — Inhaltsangabe bei Sozomen. III 12 — **4**—S. 112, 15 bei Athanas. Apol. c. Arianos 44—49 — **14**—S. 112, 15 Hilar. Fr. histor. II [mit Athanas. verwandt] = Hil.

* **4**—S. 118, 9 Cass. IV 24

B A HN (n) + GS (s) = r LF = z T [von **4** an]

2 *εἵνεκεν* B *ἕνεκεν* A | **4** *η̄* am Rand Bv | *θεοῦ* = Cass. Athan. *Λ*] *χῡ* B | **5** *ἀπό τε* — **11** *Ἀραβίας* > Athan. | *σπανίων καὶ γαλλίων* BANG *σπανίων καὶ γαλλιῶν* H *σπανιῶν καὶ γαλλιῶν* SF *Hispaniis Galliis* Cass. *Λ* *σπανίας καὶ γαλλίας* LT | *καππανίας* A | **6** *σαρδίας* n | *πανονίας* r | *Παννονίας* — **7** *ἄλλης* > L, s. unten Z. 7 | *πανονίας* — *δαρδανίας* Gm > F | *Μυσίας* — **7** *ἄλλης* = Cass. *Λ*] *δαρδανίας ἄλλης μυσίας* T | **7** nach *Θεσσαλίας* + *παννονίας* (*πανονίας* F) *μυσίας* (+ *ἄλλης* L) *δακίας δαρδανίας* z | **8** *Ῥοδόπης* — **10** *Γαλατίας* = Cass.] *Europa Λ* | **9** *Πισιδίας* — *Φρυγίας* > r | *κιλικίας φρυγίας ἄλλης* BT Cass. *φρυγίας ἄλλης κιλικίας* A *κιλικίας ἄλλης* z | **10** *Αἰγύπτου* = Cass. > T | **13** *κυρίῳ* = Cass. Athan. *Λ*] *χῳ̄* B | **14** *η̄* am Rand A | *ἐτόλμησαν οἱ ἀρειομανῖται* BrzTAthan. *Λ* Hil. *οἱ ἀρειομανῖται ἐτόλμησαν* ∾ A Cass. | **16** *ὑποβαλόντες* A | **17** *τοσοῦτον*] *τόσον* B | *κατεπανέστησαν* = Cass. Athan. *Λ* Hil.] *καὶ ἐπανέστησαν* B | **18** *ἀκοὴν Π* Cass. *εὐσέβειαν* Athan. = *pietatem* Hil. *bonitatem Λ*

»τῆς χάριτος τοῦ θεοῦ συνεργούσης, καὶ αὐτοὶ οἱ εὐσεβέστατοι βασιλεῖς »συνήγαγον ἡμᾶς ἐκ διαφόρων ἐπαρχιῶν καὶ πόλεων καὶ τὴν ἁγίαν »ταύτην σύνοδον ἐπὶ τὴν Σαρδέων πόλιν γενέσθαι δεδώκασιν, ἵνα »πᾶσα μὲν διχόνοια περιαιρεθῇ, πάσης δὲ κακοπιστίας ἐξελαθείσης, »ἡ εἰς τὸν Χριστὸν εὐσέβεια μόνη παρὰ πᾶσι φυλάττηται. ἦλθον »γὰρ ἀπὸ τῆς Ἑῴας ἐπίσκοποι, προτραπέντες καὶ αὐτοὶ παρὰ τῶν »εὐσεβεστάτων βασιλέων, μάλιστα δι' ὅπερ ἐθρύλουν πολλάκις περὶ »τῶν ἀγαπητῶν ἀδελφῶν ἡμῶν καὶ συλλειτουργῶν, Ἀθανασίου τοῦ »ἐπισκόπου τῆς Ἀλεξανδρείας καὶ Μαρκέλλου τοῦ ἐπισκόπου τῆς »Ἀγκυρογαλατίας καὶ Ἀσκληπᾶ τοῦ Γάζης. ἴσως γὰρ καὶ εἰς ὑμᾶς 4
»αὐτοὺς ἔφθασαν αἱ διαβολαί, ὡς καὶ τὰς ἡμετέρας ἀκοὰς ἐπεχείρησαν »παρασαλεῦσαι, ἵνα κατὰ μὲν τῶν ἀθώων ἃ λέγουσι πιστεύηται, τὴν »δὲ τῆς μοχθηρᾶς αὐτῶν αἱρέσεως ὑπόνοιαν ἐπικρύψωσιν. ἀλλ' οὐκ 5
»ἐπὶ πολὺ ταῦτα ποιεῖν συνεχωρήθησαν. ἔστι γὰρ ὁ προϊστάμενος »τῶν ἐκκλησιῶν κύριος, ὁ ὑπὲρ τούτων καὶ ὑπὲρ πάντων ἡμῶν »θάνατον ὑπομείνας, καὶ δι' αὐτὰς τὴν εἰς οὐρανοὺς ἄνοδον πᾶσιν »ἡμῖν δεδωκώς.

»Πάλαι μὲν οὖν ἔγραψαν οἱ περὶ Εὐσέβιον καὶ Μάριν καὶ Θεό- 6
»δωρον καὶ Θεογόνιον καὶ Οὐρσάκιον καὶ Οὐάλεντα καὶ Μηνόφαντον »καὶ Στέφανον Ἰουλίῳ τῷ συλλειτουργῷ ἡμῶν, τῆς Ῥωμαίων ἐκ-

B A HN (n) + GS (s) = r LF = z T

1 εὐσεβέστατοι = Cass. Athan. *Λ*] θεοφιλέστατοι A | **3** σαρδέων AnF σάρδεων SFc σαρδαίων GT σερδῶν Athan. Codd. Par. Bas. σαρδικὴν L σαρδικησίων B *Sardicensium* Cass. Hil. *apud Sardicam Λ* | γενέσθαι BAzTAthan. γεγενῆσθαι r **4** περιαιρεθῇ BArz Athan. διαιρεθῇ T | ἐξελασθείσης B | **5** παρὰ πᾶσι *Π* = Cass. *Λ* παρὰ πάντων Athan. = Hil. | φυλάττεται B | **6** γὰρ *Π* Cass. Hil. γὰρ καὶ οἱ Athan. *enim et Λ* | ἀπὸ τῆς ἑώας ἐπίσκοποι BrzT Athan. *Λ* Hil. ἐπίσκοποι ἀπὸ τῆς ἑώας A | **7** δι' ὅπερ BrzT = Hil. δ' ὅπερ A δι' ἅπερ Athan. *Λ* | **8** ἡμῶν καὶ συλλειτουργῶν BT Cass. Athan. *Λ* Hil. καὶ συλλειτουργῶν ἡμῶν Arz | τοῦ > TAthan. | **9** τῆς[1] > BT | τοῦ > BTAthan. | **10** ἀσκλήπα T | **11** αὐτοὺς *Π* Cass. Hil. > Athan. *Λ* | ἔφθασαν *Π* Cass. ἔφθασαν αὐτῶν Athan. Hil. *pervenere de his Λ* | ὡς καὶ τὰς ἡμετέρας (ὑμετέρας A) *Π* Cass. ἴσως καὶ τὰς ὑμετέρας Athan. *Λ*, vgl. Hil.: *et aures vestras tentasse eos commovere non dubitavimus* | **12** κατὰ μὲν] τὰ μὲν κατὰ T | ἀθώων (θώ auf Rasur Ac) A | **13** αὐτῶν αἱρέσεως BAAthan. αἱρέσεως αὐτῶν rzT | ὑπόνοιαν ἐπικρύψωσιν] ὑποκρύψωσιν n | **14** ὁ > A | **15** vor κύριος + ὁ A | **16** δι' αὐτὰς BnGzTAc *propter eas* Cass. *Λ* Hil. δι' αὐτοῦ AS δι' ἑαυτοῦ Athan., ob ursprünglich δι' αὐτῶν? Jülicher | οὐρανοὺς = Cass. *Λ* Hil.] οὐρανὸν AAthan. | **18** οὖν > F | μακάριν B | **19** θεόγνιον A | οὐρσάκιον A ἀρσάκιον n | Μηνόφαντον] νέφαντον B | **20** τῆς — S. 103, 1 ἡμῶν > L

»κλησίας ἐπισκόπῳ, κατὰ τῶν προειρημένων συλλειτουργῶν ἡμῶν,
»λέγομεν δὴ Ἀθανασίου τοῦ ἐπισκόπου Ἀλεξανδρείας καὶ Μαρκέλλου
»τοῦ ἐπισκόπου Ἀγκυρογαλατίας καὶ Ἀσκληπᾶ τοῦ Γάζης. ἔγραψαν 7
»δὲ καὶ οἱ ἀπὸ τῶν ἄλλων μερῶν ἐπίσκοποι, μαρτυροῦντες μὲν ἐπὶ
»τῇ καθαρότητι τοῦ συλλειτουργοῦ ἡμῶν Ἀθανασίου, τὰ δὲ παρὰ
»τῶν περὶ Εὐσέβιον γενόμενα οὐδὲν ἕτερον ἢ ψεύδη καὶ συκοφαντίας
»εἶναι μεστά. εἰ καὶ τὰ μάλιστα ἐκ τοῦ κληθέντας αὐτοὺς παρὰ τοῦ
»ἀγαπητοῦ καὶ συλλειτουργοῦ Ἰουλίου μὴ ἀπαντῆσαι, καὶ ἐκ τῶν
»γραφέντων παρὰ τοῦ αὐτοῦ ἐπισκόπου Ἰουλίου φανερὰ τούτων ἡ
»συκοφαντία πέφηνεν (ἦλθον γὰρ ἂν εἴπερ ἐθάρρουν οἷς ἔπραξαν
»καὶ πεποιήκασι κατὰ τῶν συλλειτουργῶν ἡμῶν), ὅμως καὶ ἐξ ὧν
»πεποιήκασιν ἐν ταύτῃ τῇ ἁγίᾳ καὶ μεγάλῃ συνόδῳ, φανερωτέραν τὴν
»ἑαυτῶν συσκευὴν ἀπέδειξαν. ἀπαντήσαντες γὰρ εἰς τὴν Σαρδέων
»πόλιν, ἰδόντες τοὺς ἀδελφοὺς ἡμῶν Ἀθανάσιον καὶ Μάρκελλον καὶ
»Ἀσκληπᾶν καὶ τοὺς ἄλλους, ἐφοβήθησαν εἰς κρίσιν ἐλθεῖν. καὶ οὐχ 8
»ἅπαξ οὐδὲ δεύτερον ἀλλὰ καὶ πολλάκις κληθέντες, οὐχ ὑπήκουσαν
»ταῖς κλήσεσι· καίτοι πάντων τῶν συνελθόντων ἐπισκόπων, μάλιστα
»τοῦ εὐγηροτάτου Ὁσίου τοῦ καὶ διὰ τὸν χρόνον καὶ διὰ τὴν ὁμο-
»λογίαν καὶ διὰ τὸ τοσοῦτον κάματον ὑπομεμενηκέναι πάσης τιμῆς
»τε καὶ αἰδοῦς τυγχάνοντος ἀξίου, ἀναμενόντων καὶ προτρεπομένων

3 f vgl. Athanas. Apol. c. Arian. 3 f

B A HN (n) + GS (s) = r LF = z T

2 *λέγω* nG | *δὴ* rzTAthan. *δὲ* BA | *τοῦ* > rz | **3** *τοῦ*[1] > Bn | *ἀγ-κύρας γαλατίας* A | *ἀσκλήπα* T | **7** *εἰ καὶ τὰ μάλιστα ἐκ τοῦ* H *καὶ εἰ καὶ τὰ μάλιστα ἐκ τοῦ* Athan. *et licet ex eo quod A nam etsi ex eo quo* Hil. *εἰ καὶ τὰ μάλιστα* BANszT | *αὐτοὺς* BrzTAthan. *αὐτοὺς τούτους* A | **8** *καὶ συλλειτουργοῦ* BArzCass. *καὶ συλλειτουργοῦ ἡμῶν* T *ἡμῶν καὶ συλλειτουργοῦ* Athan. *A* **10** *πέφηνεν*] *γέγονεν* B *πέφηνεν* Bm | *ἂν* > n | **11** *καὶ πεποιήκασι* ArzT Athan. *A* > B | nach *καὶ*[1] + *οἷς* H | *κατὰ* — **12** *πεποιήκασιν* > n | *καὶ*[2] AszT Cass. Athan. Hil. > B *A* | **12** *ταύτῃ αὐτῇ* nGF | *καὶ* > s | **13** *σαρδέων* Ar (*σάρδεων* H) zT *σερδῶν* Athan. Codd. Par. Bas. *Sardicam A σαρδικησίων* B *sardicensium* Cass. Hil. | **14** *ἰδόντες* NszTAthan. *εἰδόντες* B *εἰδότες* A *ἰδόντες τε* H *videntes* Cass. *A* Hil. | vor *Ἀθανάσιον* + *παῦλον καὶ* T* **15** *ἀσκλήπαν* T | **16** *καὶ* > T | *οὐκ ἐπήκουσαν* FAthan. | **17** *τῶν* > Az | vor *μάλιστα* + *καὶ* Athan. Cod. Bas. = *A* Hil. | **18** *εὐγηροτάτου Ὁσίου συλλει-τουργοῦ ἀθανασίου* B | *καὶ*[1] übergeschrieben Ac | *διὰ τὸν* — **19** *ὁμολογίαν καὶ* > s | *διὰ*[2] BnT > Az Athan., nicht übersetzt Cass. *A* Hil. | **19 20** *πάσης τιμῆς τε καὶ αἰδοῦς* A *πάσης τιμῆς ἀϊδίου* BzT *πασῆς τιμῆς* r *omni honore* Cass. *πάσης αἰδοῦς* Athan. *omni rererentia A* Hil.

›αὐτοὺς εἰσελθεῖν εἰς τὴν κρίσιν, ἵνα ἅπερ ἀπόντων τῶν συλλειτουρ-
›γῶν ἐθρύλησαν καὶ ἔγραψαν κατ᾽ αὐτῶν, ταῦτα παρόντες ἐλέγξαι
›δυνηθῶσιν. ἀλλ᾽ οὐκ ἦλθον κληθέντες, καθὼς προείπομεν, δεικνύντες 9
›καὶ ἐκ τούτων τὴν συκοφαντίαν αὐτῶν καὶ μόνον οὐχὶ τὴν ἐπι-
›βουλὴν καὶ τὴν συσκευὴν ἣν πεποιήκασι βοῶντες διὰ τῆς παραιτή-
›σεως. οἱ γὰρ θαρροῦντες οἷς λέγουσι, τούτοις καὶ εἰς πρόσωπον
›συστῆναι δύνανται. ἐπειδὴ δὲ οὐκ ἀπήντησαν, νομίζομεν λοιπὸν 10
›μηδένα ἀγνοεῖν, κἂν ἐκεῖνοι πάλιν κακουργεῖν ἐθελήσωσιν, ὅτι μηδὲν
›ἔχοντες κατὰ τῶν συλλειτουργῶν ἡμῶν ἐλέγξαι, τούτους μὲν διαβάλ-
›λουσιν ἀπόντας, παρόντας δὲ διαφεύγουσιν.

›Ἔφυγον γάρ, ἀγαπητοὶ ἀδελφοί, οὐ μόνον διὰ τὴν κατὰ τούτων 11
›συκοφαντίαν, ἀλλ᾽ ὅτι καὶ τοὺς ἐπὶ διαφόροις ἐγκλήμασιν ἐγκαλοῦν-
›τας αὐτοῖς ἐθεώρουν ἀπαντήσαντας. δεσμὰ γὰρ ἦν καὶ σίδηρα προ- 12
›φερόμενα· καὶ ἀπ᾽ ἐξορίας ἐπανελθόντες ἄνθρωποι, καὶ παρὰ τῶν
›ἔτι κατεχομένων ἐν ἐξορίαις ἐλθόντες ἦσαν συλλειτουργοί· συγγενεῖς
›καὶ φίλοι δὲ τῶν δι᾽ αὐτοὺς ἀποθανόντων παρεγένοντο· καὶ τὸ
›μέγιστον, ἐπίσκοποι παρῆσαν, ὧν ὁ μὲν τὰ σίδηρα καὶ τὰς κατήνας

B A HN (n) + GS (s) = r LF = z T

1 *εἰσ κρίσιν ἐλθεῖν* n, Athan. wie im Text | *ἅπερ* Am | *ἀπόντων* BArL Athan. *ἀπόντων κατὰ* F *κατ απάνων τ* T, *κατὰ* hinter *ἀπόντων τῶν* übergeschrieben Ac | **2** *ταῦτα*] *πάντα* F | *παρόντεσ* BA Athan. *παρόντων* rzT; vgl. Cass.: *ut quaeque contra absentes . . . conscripserant, praesentes ostenderent*; *Λ*: *quo ea quae de absentibus . . . scripserunt, haec praesentes convincant*; Hil.: *ut omnia quae de consacerdotibus . . . scripserunt, praesentes possent convincere*, danach vielleicht *κατ᾽ ἀπόντων*, und dann *κατ᾽ αὐτῶν* > als alte Variante zu betrachten | **3** *ἀλλὰ κληθέντες οὐκ ἦλθον* ∼ z | *προείπαμεν* F | **4** *καὶ ἐκ τούτων* BArz Athan. = Hil. *ex hoc Λ κἀν τούτῳ* T *etiam in hoc* Cass. | **4/5** *τὴν συσκευὴν καὶ ἐπι-βουλὴν* n | **5** *καὶ* > s | **7** *ἐπεὶ* B | **8** *ἐκεῖνοι* AnTAthan. *illi Λ* Hil. *ἐκεῖ* BGF *εἰκῆ* SL *illic* Cass. | *πάλιν* > z | *ἐθέλουσιν* A *ἐθέλωσιν* Athan. | **11** *κατὰ* BAzT *adversus* Cass. > r Athan., vgl. *Λ*: *calumniam quam illis ingerebant* | **12** *ἀλλὰ καὶ ὅτι* ∼ n | *τοὺς*] *τοῖσ* BA | *ἐπὶ*] *ἐν* F | **13/14** *προφερόμενα* Br Athan. *proferebantur* Cass. *Λ proferebant* Hil. *προσφερόμενα* AzT | **14** *καὶ*[1] *Π* > Cass. Athan.; vgl. *Λ*: *proferebantur ab hominibus de exsilio reversis*; Hil: *proferebant de exsilio revertentes viri* | *παρ᾽ αὐτῶν* L | **15** *ἔτι* H Athan. *ἐκεῖ* //// Ac *adhuc Λ* Hil. *ἐκεῖ* die übr. HSS, nicht übersetzt von Cass., alte Variante | *ἐλθόντεσ ἦσαν* ArzT Athan. *ἐπανελθόντεσ* B | *συλλειτουργοῖσ·* (*οῖσ·* aus *οι* corr. Ac) A *λειτουργοὶ* F | *συγγενεῖσ* BArzT Athan. + *τε* übergeschrieben Ac | **16** *φίλοι δὲ* Athan. *φίλοι* //// A *φίλοι* die übr. HSS | *ἀποθανόντων*] *παθόντων* F

›προέφερεν ἃ δι᾽ αὐτοὺς ἐφόρεσεν, οἱ δὲ τὸν ἐκ τῆς διαβολῆς αὐτῶν
›θάνατον ἐμαρτύραντο. εἰς τοσοῦτον γὰρ ἔφθασαν ἀπονοίας ὡς καὶ 13
›ἐπίσκοπον ἐπιχειρεῖν ἀνελεῖν· καὶ ἀνεῖλον ἂν εἰ μὴ ἐξέφυγε τὰς
›χεῖρας αὐτῶν. ἀνέστη γοῦν ὁ συλλειτουργὸς ἡμῶν ὁ μακαρίτης Θεό-
5 ›δουλος, φεύγων αὐτῶν τὴν διαβολήν· κεκέλευστο γὰρ ἐκ διαβολῆς
›αὐτῶν ἀποθανεῖν. ἄλλοι δὲ ξιφῶν πληγὰς ἐπεδείκνυντο, ἄλλοι
›λιμὸν ὑπομεμενηκέναι παρ᾽ αὐτῶν ἀπωδύροντο. καὶ ταῦτα οὐχ οἱ 14
›τυχόντες ἐμαρτύρουν ἄνθρωποι, ἀλλ᾽ ἐκκλησίαι ὅλαι ἦσαν, ὑπὲρ ὧν
›οἱ ἀπαντήσαντες καὶ πρεσβεύοντες ἐδίδασκον, στρατιώτας ξιφήρεις,
10 ›ὄχλους μετὰ ῥοπάλων, δικαστῶν ἀπειλάς, πλαστῶν γραμμάτων ὑπο-
›βολάς (ἀνεγνώσθη γὰρ γράμματα τῶν περὶ Θεογόνιον κατὰ τῶν
›συλλειτουργῶν ἡμῶν, Ἀθανασίου καὶ Μαρκέλλου καὶ Ἀσκληπᾶ, ἵνα
›καὶ βασιλέας κατ᾽ αὐτῶν κινήσωσι· καὶ ταῦτα ἤλεγξαν οἱ γενόμενοι 15
›τότε διάκονοι Θεογονίου), πρὸς τούτοις παρθένων γυμνώσεις, ἐμ-
15 ›πρησμοὺς ἐκκλησιῶν, φυλακὰς κατὰ τῶν συλλειτουργῶν· καὶ ταῦτα
›πάντα δι᾽ οὐδὲν ἕτερον ἢ διὰ τὴν δυσώνυμον αἵρεσιν τῶν Ἀρειο-
›μανιτῶν. οἱ γὰρ παραιτούμενοι τὴν πρὸς τούτους χειροτονίαν καὶ
›κοινωνίαν ἀνάγκην εἶχον πειραθῆναι τούτων.

›Ταῦτα τοίνυν συνορῶντες, εἰς στενὸν εἶχον τὰ τῆς προαιρέσεως. 16
20 ›αἰσχυνόμενοι γὰρ ἃ δεδράκασι, διὰ τὸ μὴ δύνασθαι ἔτι ταῦτα κρύ-
›πτεσθαι ἀπήντησαν εἰς τὴν Σαρδέων πόλιν, ἵνα διὰ τῆς ἀφίξεως
›ὑπόνοιαν ὡς μὴ πλημμελήσαντες δόξωσιν ἀποφέρεσθαι. ἰδόντες οὖν 17

3/4 vgl. II Kor. 11, 33

B A H [H bis **22** *εἰδότες*] N (n) + GS (s) = r LF = z T

1 ἃ] ἅσ zTAthan. | *δι᾽ αὐτῶν* T | *ἐφόρησεν* A | *ἐκ* BrzTAthan. *ἐπὶ* A | **2** *τοσοῦτο* B | **3** *ἐπίσκοπον* und *ἐξέφυγε Π*Cass. *ἐπισκόπους* und *ἐξέφυγον* Athan. *Λ*Hil. | **4** *ἀνέστη Π venit* Cass. *surrexit Λ*, *ἀπέθανεν* Athan. *decessit* Hil. unrichtig | **6** *ἄλλοι*[2] BrzTCass. *Λ*Hil. *ἄλλοι δὲ* A Athan. | **7** *ἀπωδύροντο* BATCass. Athan. *Λ*Hil. *ἀπωδύραντο* rz | **8** *ἀλλ᾽*] *ἀλλὰ καὶ* z | **9** *καὶ*] *καὶ οἱ* A | *ἐδίδασκον* ArzTAthan. Cass. *Λ*Hil. *ἐδίδαξαν* B | **11** *θεόγνιον* LTAthan. *Theognii* Cass. Codd. LP | **12** u. S. 106, 4 *ἀσκληπὰ* BA *ἀσκλήπα* T | **13** *βασιλέασ* AszTAthan. Cass. *Λ βασιλέωσ* B *βασιλέα* nHil. | **14** *θεογ*[*γ*]*νίου* A *θεογνίου* LT *Theognii* Cass. Codd. LP | **17** *οἱ γὰρ* — **18** *τούτων* = Cass. Athan. *Λ* Hil. > B | *πρὸσ τοίτοισ* z | **17/18** *χειροτονίαν καὶ κοινωνίαν* zTCass. *Λ χειροτονίαν* Ar, *κοινωνίαν* Athan. Hil. und so wohl im Urtext, vgl. 111, 6 | **19** *συνορῶντεσ* BrzTCass. Athan. *Λ*Hil. *προορῶντεσ* A | *εἰς* > A | **20** *αἰσχυνόμενοι γὰρ Π ᾐσχύνοντο μὲν γὰρ ὁμολογεῖν* (und nach *διὰ* + *δὲ*) Athan. = *Λ*, *erubescentes quidem confiteri* Hil. | *ταῦτα* rzTCass. Athan. Hil. *τὰ αὐτὰ* B > A | **21** *σαρδέων* Arz (*σάρδεων* HFc) *σαρδαίων* T *σερδῶν* Athan. Codd. Par. Bas. *σαρδικησίων* B *sardicensium* Cass. *sardicam Λ* | **22** *ἰδόντεσ* AzTCass. Athan. *Λ*Hil. *εἰδόντεσ* G *εἰδότεσ* BnS

»τοὺς παρ᾽ αὐτῶν συκοφαντηθέντας καὶ τοὺς παρ᾽ αὐτῶν παθόντας, »τοὺς κατηγόρους, τοὺς ἐλέγχους πρὸ ὀφθαλμῶν ἔχοντες, εἰσελθεῖν »οὐκ ἐδύναντο κληθέντες, καίτοι τῶν συλλειτουργῶν ἡμῶν Ἀθανασίου »καὶ Μαρκέλλου καὶ Ἀσκληπᾶ πολλῇ τῇ παρρησίᾳ χρωμένων καὶ »ἀποδυρομένων καὶ ἐπικειμένων καὶ προκαλουμένων αὐτούς, καὶ »ἐπαγγελλομένων μὴ μόνον ἐλέγχειν τὴν συκοφαντίαν ἀλλὰ καὶ δει- »κνύναι ὅσα κατὰ τῶν ἐκκλησιῶν αὐτῶν ἐπλημμέλησαν. οἱ δὲ τοσούτῳ 18
»φόβῳ τοῦ συνειδότος κατεσχέθησαν ὡς φυγεῖν αὐτούς, καὶ διὰ τῆς »φυγῆς τὴν συκοφαντίαν αὐτῶν ἐλέγξαι καὶ ἅπερ ἐπλημμέλησαν διὰ »τῶν δρασμῶν ὁμολογῆσαι.

»Εἰ καὶ τὰ μάλιστα οὐ μόνον ἐκ τῶν προτέρων, ἀλλὰ καὶ ἐκ »τούτων ἡ κακοτροπία καὶ ἡ συκοφαντία αὐτῶν δείκνυται, ὅμως ἵνα »μηδὲ ἐκ τῆς φυγῆς πρόφασίν τινα ἑτέρας κακουργίας πορίσασθαι »δυνηθῶσιν, ἐσκεψάμεθα κατὰ τὸν τῆς ἀληθείας λόγον τὰ παρ᾽ »ἐκείνων δραματουργηθέντα ἐξετάσαι. καὶ τοῦτο προθέμενοι, εὑρή- 19
»καμεν αὐτοὺς ἐκ τῶν πραχθέντων συκοφάντας καὶ μηδὲν ἕτερον ἢ »ἐπιβουλὴν κατὰ τῶν συλλειτουργῶν ἡμῶν πεποιηκότας. ὃν γὰρ »ἔλεγον παρὰ Ἀθανασίου πεφονεῦσθαι Ἀρσένιον, οὗτος ζῇ καὶ ἐν »τοῖς ζῶσιν ἐξετάζεται. ἀπὸ δὲ τούτου καὶ τὰ περὶ τῶν ἄλλων »θρυληθέντα παρ᾽ αὐτῶν φαίνεται πλάσματα.

»Ἐπειδὴ δὲ καὶ περὶ ποτηρίου ἐθρύλουν ὡς κλασθέντος παρὰ 20
»Μακαρίου τοῦ πρεσβυτέρου Ἀθανασίου, ἐμαρτύρησαν μὲν αὐτοῖς οἱ »παραγενόμενοι ἀπὸ τῆς Ἀλεξανδρείας καὶ Μαρεώτου καὶ τῶν λοιπῶν

B A N + GS (s) = r LF = z T

1 *συκοφαντηθέντας — παρ᾽ αὐτῶν* > s | **2** *τοὺς κατηγόρους τοὺς ἐλέγχους* BArzAthan. *Λ τούς τε κατηγόρους καὶ τοὺς ἐλέγχους* T *accusatores et increpationes et* (sic) Cass. Codd. LP | *ἔχοντες* ANT Athan. *habentes* Cass. Hil. *βλέποντες* Bsz *εἰσελθεῖν Π* Cass. *ἐλθεῖν* Athan. *Λ* Hil. | **3** *οὐκ ἐδύναντο* ANGL *οὐκ ἠδύναντο* BSFT *nequiverunt* Cass. = *Λ* Hil. *οὐκ ἐβούλοντο* Athan. | vor *Ἀθανασίου* + *παυλοῦ* T* = S. 103,14 | **4** *τῇ* > T | **5** *προκαλουμένων* BArAthan. Cass. *Λ* Hil. *προσκαλουμένων* z und, *σ* übergeschrieben, Ac *προσκαλλουμένων* T | **6** *μὴ μόνον* > B **7** *αὐτῶν* übergeschrieben Ac | **8** *τοῦ* > F | *κατησχέθησαν* A | **9** *αὐτῶν* > L | **11** *μόνων* BG | **12** *κακοτροπία καὶ ἡ συκοφαντία*] *συκοφαντία καὶ ἡ κακοπραγία* r | **13** *μηδὲ* = Athan. *neque* Cass.] *μὴ* T | **14** *δυνηθῶσιν*] *δοῖεν* r *τὸν κατὰ* ∾ B | **16** *πραχθέντων* = Cass. Athan. *Λ*] *λεχθέντων* F *γρ. λεχθέντων* am Rand Ac | **17** *τῶν* > F | **18** *ἔλεγε* A | *καὶ* zweimal am Ende und Anfang der Z. A | **19** *περὶ τῶν ἄλλων τὰ* ∾ B | **22** *αὐτοῖς Π* > Cass. Athan. *Λ* Hil. | **23** *παραγενάμενοι* BG | **23**—S. 107, 1 *τῶν λοιπῶν τόπων* A *τῶν λοιπῶν* B *τῶν τόπων* rz Athan. Codd. Par. Bas. *τῶν ἄλλων τόπων* T > Cass.; vgl. *Λ*: *de Alexandriae et Mareotae locis ipsis*; Hil.: *ex Alexandria de eodem loco*

»τόπων, ὅτι μηδὲν τούτων πέπρακται· καὶ οἱ ἐπίσκοποι δὲ γράψαντες
»οἱ ἀπὸ τῆς Αἰγύπτου πρὸς Ἰούλιον τὸν συλλειτουργὸν ἡμῶν ἱκανῶς
»διεβεβαιοῦντο μηδὲ ὑπόνοιαν ὅλως τοιαύτην γεγενῆσθαι. ἄλλως τε 21
»λέγουσιν ὑπομνήματα ἔχειν κατ' αὐτοῦ, ἃ κατὰ μονομέρειαν συνέστη
»γεγενῆσθαι. καὶ ὅμως καὶ ἐν τοῖς ὑπομνήμασι τούτοις ἐθνικοὶ καὶ
»κατηχούμενοι ἠρωτῶντο· ἐξ ὧν εἷς κατηχούμενος ἐρωτώμενος ἔφασκεν
»ἔνδον εἶναι ὅτε Μακάριος ἐπέστη τῷ τόπῳ, καὶ ἕτερος ἐρωτώμενος
»ἔλεγε τὸν θρυλούμενον παρ' αὐτῶν Ἰσχύραν νοσοῦντα κατακεῖσθαι
»ἐν κελλίῳ, ὡς ἀπὸ τούτου φαίνεσθαι μηδ' ὅλως γεγενῆσθαί τι τῶν
»ὅλων μυστηρίων, διὰ τὸ τοὺς κατηχουμένους ἔνδον εἶναι καὶ τὸν
»Ἰσχύραν μὴ παρεῖναι, ἀλλὰ νοσοῦντα κατακεῖσθαι. καὶ γὰρ καὶ 22
»αὐτὸς ὁ παμπόνηρος Ἰσχύρας, ψευσάμενος ἐπὶ τῷ εἰρηκέναι κεκαυ-
»κέναι τὸν Ἀθανάσιόν τινα τῶν θείων βιβλίων καὶ † διαψεύσασθαι.
»ὡμολόγησε κατ' ἐκεῖνο καιροῦ νοσεῖν ὅτε Μακάριος παρῆν καὶ
»κατακεῖσθαι, ὡς καὶ ἐκ τούτου συκοφάντην αὐτὸν δείκνυσθαι. ἀμέλει
»τῆς συκοφαντίας ταύτης μισθὸν αὐτῷ τῷ Ἰσχύρᾳ δεδώκασιν ἐπι-
»σκόπου ὄνομα, τῷ μηδὲ πρεσβυτέρῳ τυγχάνοντι. ἀπαντήσαντες γὰρ 23
»δύο πρεσβύτεροι, σὺν Μελιτίῳ ποτὲ γενόμενοι, ὕστερον δὲ ὑπὸ τοῦ
»μακαρίου Ἀλεξάνδρου τοῦ γενομένου ἐπισκόπου Ἀλεξανδρείας δε-

4 f vgl. Athanas. Apol. c. Arian. 27—28, 37, 41

B A N + GS (s) = r LF = z T

2 οἱ > B | **3** *τοιαύτην* > T | nach *τοιαύτην* + *ἐκεῖ* Athan. Hil., Cass. *Λ* wie im Text | **4** *λέγουσιν*] *εἶναι* s | ἃ an dieser Stelle *Π* Cass., vor *λέγουσιν* ∞ Athan. *Λ* | *συνέστη* B Athan. Cod. Par. *συνέβη* rzT und (*β* von Ac) A *συνέστηκε* Athan. Cod. Bas. *probatum est* Cass. *constitit Λ constat* Hil. | **5** *καὶ*[1] übergeschrieben Ac | **8** *νοσοῦντα Π Λ* Hil. *νοσοῦντα τότε* Athan. *tunc aegrotasse* Cass. | *κατακεῖσθαι* = Athan.] *κεῖσθαι* T | **10** *ὅλων Π* Cass. > Athan. *Λ* Hil. *ἔνδον εἶναι*] *εἰδέναι* B | **11** *κεῖσθαι* LT, nach *κατακεῖσθαι* + *ἐν κελλίῳ* s *γὰρ καὶ* B Athan. *γὰρ* die übr. HSS | **13** *θείων*] *ἱερῶν* L | *βίβλων* Nz | *διαψεύσασθαι*] *ψεύσασθαι* B *διηλέγχθαι* Athan.; vgl. *Λ*: *et in hoc suum mendacium demonstravit, nam confessus est*; Hil.: *ad hoc convictus confiteri coepit*; woraus Val. *διελεγχθείς* verbessern wollte; ob *διελεγχθεὶς ψευσάμενος*? vgl. Ap. c. Ar. 28: *κατηγορήσας γὰρ ὡς βιβλίων κεκαυμένων . . ἠλέγχθη . . ψευσάμενος* | **14** *ἐκείνου* A | **16** *ταύτης μισθὸν αὐτῷ* Athan. *Λ praemium eidem* Hil. *αὐτὸν ταύτης μισθὸν* T *ταύτης* (*ταύ* aus *ἀν* corr. A) *μισθὸν* B Arz Cass. | **18** *πρεσβυτέροις* B | *πρεσβύτεροι* + *οἱ* LAc | *μελιτίῳ* BA Athan. *Λ* Hil. *μελετίῳ* rzT | *ποτὲ γενάμενοι* A *παραγενόμενοι* F | *ὑπὸ* = Athan.] *παρὰ* A | **19**—S. 108. 1 *δεχθέντες* = Athan.] *προσδεχθέντες* A

›χθέντες, [οἱ] καὶ σὺν Ἀθανασίῳ ὄντες ἐμαρτύρησαν μηδὲ πώποτε
›τοῦτον πρεσβύτερον Μελιτίου γεγενῆσθαι, μηδ' ὅλως ἐσχηκέναι
›Μελίτιον εἰς τὸν Μαρεώτην ἐκκλησίαν ἢ λειτουργόν. καὶ ὅμως τὸν 24
›μηδὲ πρεσβύτερον τυγχάνοντα νῦν ὡς ἐπίσκοπον προήγαγον, ἵνα
›τῷ ὀνόματι τούτῳ δόξωσιν ἐπὶ τῇ συκοφαντίᾳ καταπλήττειν τοὺς
›ἀκούοντας.

›Ἀνεγνώσθη δὲ καὶ τὸ σύγγραμμα τοῦ συλλειτουργοῦ ἡμῶν Μαρ-
›κέλλου καὶ εὑρέθη τῶν περὶ Εὐσέβιον ἡ κακοτεχνία· ἃ γὰρ ὡς ζητῶν
›ὁ Μάρκελλος εἴρηκεν, ταῦτα ὡς ὁμολογημένα διαβεβλήκασιν. ἀνε-
›γνώσθη γοῦν ταῦτα καὶ τὰ ἑξῆς καὶ τὰ πρὸ αὐτῶν τῶν ζητημάτων, 25
›καὶ ὀρθὴ ἡ πίστις τοῦ ἀνδρὸς εὑρέθη. οὔτε γὰρ ἀπὸ τῆς ἁγίας
›Μαρίας, ὡς αὐτοὶ διεβεβαιώσαντο, ἀρχὴν ἐδίδου τῷ τοῦ θεοῦ λόγῳ,
›οὔτε τέλος ἔχειν τὴν βασιλείαν αὐτοῦ ἀλλὰ καὶ τὴν βασιλείαν ἄν-
›αρχον καὶ ἀκατάπαυστον εἶναι τὴν τούτου ἔγραψεν.

›Καὶ Ἀσκληπᾶς δὲ ὁ συλλειτουργὸς προσήνεγκεν ὑπομνήματα 26
›γεγενημένα ἐν Ἀντιοχείᾳ, παρόντων τῶν κατηγόρων καὶ Εὐσεβίου
›τοῦ ἀπὸ Καισαρείας· καὶ ἐκ τῶν ἀποφάσεων τῶν δικασάντων ἐπι-
›σκόπων ἔδειξεν ἑαυτὸν ἀθῷον εἶναι.

›Εἰκότως οὖν, ἀδελφοὶ ἀγαπητοί, καλούμενοι πολλάκις οὐχ ὑπα-

* **7—11** Nicetas Thesaur. VI 14 PG 140, 20 D

B A N + GS(s) = r LF = z T

1 *οἱ* sic HSS > Cass. Athan. *Λ* Hil. | *καὶ Π* Cass. *καὶ νῦν* Athan. *Λ* Hil. | **2** *μελιτίου* BAthan. *Λ* Hil. *μελετίου* rzT > A | *μηδ'* — **3** *μελίτιον* > B | **3** *μελίτιον* A *μελέτιον* rzT | *τὸν*[1]] *τὴν* F *τὴν* aus *τὸν* corr. B | *ὅμως* AL Athan. *Λ* Hil. *ὅλως* BrFT = *penitus* Cass. | **4** *μηδὲ*] *μήτε* T | *ὡς* BrFTCass. Athan. *Λ* Hil. > AL | *προήγαγον* ArzT *produxerunt* Cass. *Λ προσήγαγον* B *secum adduxerunt* Hil. *ἤγαγον* Athan. | **5** *δόξ[illegible]ωσιν* A *δείξωσιν* NG | *ἐπὶ* > Athan. | *τῇ συκοφαντίᾳ* BrFTAthan. *τῆσ συκοφαντίασ* AL *in suis calumniis* Cass. | *καταπλήττειν* A Athan. *ἐπιπλήττειν* rzT *obstupefaciant Λ πλήττειν* B *terrere* Cass. | **10** *οὖν* Az | *ταῦτα καὶ Π* Cass. *Λ* > Athan. Hil. | **11** *τοῦ*] *τοῦ τε* B | *ηὑρέθη* BGFT | **12** *διεβεβαιώσαντο* = Athan. *Λ*] *διαβεβαιοῦνται* T *firmabant* Cass. | *ἀρχὴν* zweimal B | *τῷ τοῦ θεοῦ λόγῳ* BrzT Athan. Cod. Par. *verbo dei Λ τῷ θεῷ λόγῳ* A *deo verbo* Cass. Hil. | **14** *ἔγραψαν* r | **15** *ἀσκληπᾶς* BA *ἀσκλήπας* T | *προσήνεγκεν* BAszT *obtulit* Cass., *προήνεγκεν* N Athan. *protulit Λ* Hil. und so wohl im Urtext | **16** *ἐν Ἀντιοχείᾳ*] *ἐναντία* s | *παρόντων* szT Athan. = Cass. *Λ* Hil. *παρόντων καὶ* A *παρὰ* BN | *τῶν* > sFT | **17** *δικαστῶν* B | **18** *ἔδειξαν αὐτὸν* s | **19** *γοῦν* T | *ἀδελφοὶ ἀγαπητοί* BAN *Λ ἀγαπητοὶ ἀδελφοί* szT Cass. Athan. | **19**—S. 109, 1 *οὐχ ὑπακούουσιν Π obedire noluerunt* Cass. *οὐχ ὑπήκουσαν* Athan. = *Λ* Hil.

>κούουσιν, εἰκότως ἔφυγον. ὑπὸ γὰρ τοῦ συνειδότος ἐλαυνόμενοι, 27
>φυγῇ τὰς συκοφαντίας ἑαυτῶν ἐβεβαίωσαν, καὶ πιστευθῆναι κατ'
>αὐτῶν πεποιήκασιν ἅπερ παρόντες οἱ κατηγοροῦντες ἔλεγον καὶ
>ἐπεδείκνυντο. ἔτι τοίνυν πρὸς τούτοις πᾶσι καὶ τοὺς πάλαι κατη-
>γορηθέντας καὶ ἐκβληθέντας διὰ τὴν Ἀρείου αἵρεσιν οὐ μόνον
>ἐδέξαντο, ἀλλὰ καὶ εἰς μείζονα βαθμὸν προήγαγον, διακόνους μὲν εἰς
>πρεσβυτέριον, ἀπὸ δὲ πρεσβυτέρων εἰς ἐπισκοπήν, δι' οὐδὲν ἕτερον
>ἢ ἵνα τὴν ἀσέβειαν διασπεῖραι καὶ πλατῦναι δυνηθῶσι καὶ τὴν εὐσεβῆ
>διαφθείρωσι πίστιν.

>Εἰσὶ δὲ τούτων μετὰ τοὺς περὶ Εὐσέβιον νῦν ἔξαρχοι Θεόδωρος 28
>ἀπὸ Ἡρακλείας, Νάρκισσος ἀπὸ Νερωνιάδος τῆς Κιλικίας, Στέφανος
>ἀπὸ Ἀντιοχείας, Γεώργιος ἀπὸ Λαοδικείας, Ἀκάκιος ἀπὸ Καισαρείας
>τῆς Παλαιστίνης, Μηνόφαντος ἀπὸ Ἐφέσου τῆς Ἀσίας, Οὐρσάκιος
>ἀπὸ Σιγγιδούνου τῆς Μυσίας, Οὐάλης ἀπὸ Μυρσοῦ τῆς Παννονίας.
>καὶ γὰρ οὗτοι τοῖς σὺν αὐτοῖς ἐλθοῦσιν ἀπὸ τῆς Ἑῴας οὐκ ἐπέ- 29
>τρεπον οὔτε εἰς τὴν ἁγίαν σύνοδον εἰσελθεῖν οὔτε ὅλως εἰς τὴν
>ἐκκλησίαν τοῦ θεοῦ παραβαλεῖν συνεχώρησαν. καὶ ἐρχόμενοι δὲ εἰς 30
>τὴν Σαρδικὴν κατὰ τόπους συνόδους ἐποιοῦντο πρὸς ἑαυτοὺς καὶ
>συνθήκας μετὰ ἀπειλῶν, ὥστε ἐλθόντας αὐτοὺς εἰς τὴν Σαρδικὴν
>μηδ' ὅλως εἰς τὴν κρίσιν ἐλθεῖν, μήτε ἐπὶ τὸ αὐτὸ συνελθεῖν τῇ
>ἁγίᾳ καὶ μεγάλῃ συνόδῳ, ἀλλὰ μόνον ἐλθόντας καὶ ἀφοσιώσει τὴν
>ἑαυτῶν ἐπιδημίαν ἐπιδειξαμένους ταχέως φυγεῖν. ταῦτα γὰρ γνῶναι
>δεδυνήμεθα παρὰ τῶν συλλειτουργῶν ἡμῶν Μακαρίου ἀπὸ Παλαι-

B A N + GS (s) = r LF = z T

2 τὰσ ἑαυτῶν συκοφαντίασ A | ἑαυτῶν] αὐτῶν Br | κατ'] κατ' A τὰ übergeschrieben A^c | **4** ἔτι τοίνυν Π Cass. ἐπεὶ τοίνυν Athan. *quid igitur* Hil. *quid itaque* Λ | **4 5** κατηγορηθέντασ Π Cass. καθαιρεθέντας Athan. Λ Hil. Sozom. III 12, 4, besser | **6** εἰσ B^s | **8** ὑποσπεῖραι L | **10** μετὰ — νῦν > L | **11** ἀπὸ¹] ὁ ἀπὸ NG Athan. | νάρκισσοσ sF | νερονίδοσ B | **12** ἀπὸ¹] ὁ ἀπὸ N Athan. | **13** Οὐρσάκιος — **14** Μυσίας > T | **14** σιγγιδούνου B ///μυγδό///νου (μυγ auf Rasur A^c) A σιγγιδόνου Athan. *sigidū* Cass. Cod. L *sygudini* Cass. Cod. P *singiduno* Λ Hil. μυγδό νου F μυγδόνου rL | πανονίασ sF | **15** σὺν A^s **16** εἰσελθεῖν = Cass. Athan. Λ Hil.] συνελθεῖν A | **17** συνεχώρησαν] συνεχωρήθησαν B > Cass. Athan. Hil. | **18** u. **19** σαρδικὴν, α aus ε corr., B | πρὸσ αὐτοὺσ r | **20** ἐλθεῖν] εἰσελθεῖν s, vgl. S. 104, 1; 103, 15 | μήτε ἐπὶ τὸ αὐτὸ = Athan. Hil.] ἢ T | **21** καὶ μεγάλη Π > Cass. Athan. Λ Hil. | συνόδω am Rand A^c | ἀφοσιώσει BrzT Athan. ἐπὶ ἀφοσιώσει A *imaginarie* Λ | **23** μακαρίου Π Cass. Athan. Λ *Ario* Hil.; vgl. Athan. Apol. c. Arian. 50: Παλαιστίνης . . . Ἄρειος

»στίνης καὶ Ἀστερίου ἀπὸ Ἀραβίας, τῶν ἐλθόντων σὺν αὐτοῖς καὶ
»ἀναχωρησάντων ἀπὸ τῆς ἀπιστίας αὐτῶν. οὗτοι γὰρ ἐλθόντες εἰς 31
»τὴν ἁγίαν σύνοδον, τὴν μὲν βίαν ἣν ἔπαθον ἀπωδύραντο, οὐδὲν δὲ
»παρ᾽ αὐτοῖς ὀρθὸν ἔλεγον πράττεσθαι, προστιθέντες καὶ τοῦτο ὡς
»ἄρα εἶεν τῆς ὀρθῆς ἀντιποιούμενοι δόξης καὶ κωλυόμενοι ἐξ αὐτῶν
»ἐλθεῖν ἐνταῦθα καὶ διὰ τὸ ἀπειλεῖν καὶ ἐντέλλεσθαι κατὰ τῶν
»βουλομένων ἀναχωρεῖν ἀπ᾽ αὐτῶν. τούτου γοῦν ἕνεκα καὶ ἐν ἑνὶ 32
»οἴκῳ πάντες μεῖναι ἐσπούδασαν, μηδὲ τὸ βραχύτατον ἰδιάζειν αὐτοῖς
»ἐπιτρέψαντες.

»Ἐπεὶ οὖν οὐκ ἔδει παρασιωπῆσαι οὐδὲ ἀνεκδικήτους ἐᾶσαι τὰς
»συκοφαντίας, τὰ δεσμά, τοὺς φόνους, τὰς πληγάς, τὰς περὶ τῶν
»πλαστῶν ἐπιστολῶν συσκευάς, τὰς αἰκίας, τὰς γυμνώσεις τῶν παρ-
»θένων, τὰς ἐξορίας, τὰς καταλύσεις τῶν ἐκκλησιῶν, τοὺς ἐμπρησμούς,
»τὰς μεταθέσεις ἀπὸ μικρῶν πόλεων εἰς μείζονας παροικίας, καὶ πρό
»γε πάντων τὴν κατὰ τῆς ὀρθῆς πίστεως νῦν ἐπαναστᾶσαν δυσώ-
»νυμον Ἀρειανὴν αἵρεσιν δι᾽ αὐτῶν, τούτου γοῦν ἕνεκεν τοὺς μὲν
»ἀγαπητοὺς ἀδελφοὺς ἡμῶν καὶ συλλειτουργούς, Ἀθανάσιον τὸν τῆς
»Ἀλεξανδρείας ἐπίσκοπον καὶ Μάρκελλον τὸν τῆς Ἀγκυρογαλατίας
»καὶ Ἀσκληπᾶν τὸν Γάζης καὶ τοὺς σὺν αὐτοῖς συλλειτουργοῦντας
»τῷ κυρίῳ, ἀθῴους καὶ καθαροὺς εἶναι ἀπεφηνάμεθα, γράψαντες καὶ

B A N + GS (s) = r LF = z T

1 *ἐλθόντων* BAT Cass. Athan. *Λ* Hil. *συνελθόντων* rz | **2** *ἐλθόντες* > A | **3** *ἀπωδύραντο* — **4** *ὀρθὸν* > A | *ἀπωδύραντο* BzT *ἀπωδύροντο* rAthan. *conquerebantur* Hil., den Aorist bezeugen Cass. *Λ* | **4** *προσθέντεσ* r | **5** *εἶεν* r *εἶναι* BAzT, vgl. *Λ*: *etiam hoc addebant esse quosdam rectae fidei*; Cass.: *insuper adicientes quia dum essent rectae fidei prohibiti fuissent*, *εἶεν ἐκεῖ πολλοὶ* Athan. = Hil. | **6** *καὶ*[1] *Π* > Athan. Hil., besser | *ἀπειλεῖν*] *ἀπελθεῖν* S | *ἐντέλλεσθαι Π* *ἐπαγγέλλεσθαι* Athan., nicht übersetzt von Cass. Hil.; vgl. *Λ*: *et interminationibus atque accusationibus* | **7** *ἕνεκα καὶ* > A | **8** *πάντεσ Π* Cass. *πάντας* Athan. > *Λ* | *ἐσπούδασαν* Arz Athan. *studuerunt Λ sategerunt* Hil. *ἔσπευσαν* B und, vor *πάντες* *μεῖναι* ∼, T, nicht übersetzt von Cass. | *αὐτοῖς ἰδιάζειν* ∼ B *ἰδιάζειν αὐτοὺς* Athan. | **10** *ἀνεκδικήτουσ* NS *sine vindicta* Cass. *inulta* Hil. *ἀνεκδιηγήτουσ* BAGz TAthan. *inocultas Λ* Cod. Veron. | **11** *φόνουσ* BALT Cass. Athan. *Λ* Hil. *φθόνουσ* rF | *τὰς περὶ* — **12** *συσκευάς* nach *παρθένων* ∼ T | **12** *τὰσ αἰκείασ* nach *παρθένων* ∼ B > T | *τὰς*[2]] *τὰ περὶ τὰσ* T | **15/16** *δυσώνυμον* > B | **17** *ἡμῶν ἀδελφοὺς* ∼ B | vor *Ἀθανάσιον* + *παῦλον τὸν κωνσταντινουπόλεωσ ἐπίσκοπον καὶ* T* | **18** *ἐπίσκοπον* > T | **19** *ἀσκληπὰν* A *ἀσκλήπαν* T *καὶ*[2] > T | *σὺν αὐτοῖσ* AL Athan. *Λ* Hil. > BrFT Cass. | **20** *κυρίω* A Athan. *Λ* *χῶ* BrzT Cass. *deo* Hil.

»εἰς τὴν ἑκάστου παροικίαν ὥστε γιγνώσκειν ἑκάστης ἐκκλησίας τοὺς »λαοὺς τοῦ ἰδίου ἐπισκόπου τὴν καθαρότητα καὶ τοῦτον μὲν ἔχειν »ἐπίσκοπον καὶ προσδοκᾶν, τοὺς δὲ εἰς τὰς ἐκκλησίας αὐτῶν ἐπελ»θόντας δίκην λύκων, Γρηγόριον τὸν ἐν Ἀλεξανδρείᾳ, Βασίλειον τὸν »ἐν Ἀγκύρᾳ, καὶ Κυντιανὸν τὸν ἐν Γάζῃ, τούτους μηδὲ ἐπισκόπους »ὀνομάζειν μηδὲ Χριστιανοὺς μηδὲ ὅλως κοινωνίαν τινὰ πρὸς αὐτοὺς »ἔχειν μηδὲ δέχεσθαί τινα παρ' αὐτῶν γράμματα μήτε γράφειν πρὸς »αὐτούς.

»Τοὺς δὲ περὶ Θεόδωρον τὸν ἀπὸ Ἡρακλείας τῆς Εὐρώπης καὶ 33
»Νάρκισσον τὸν ἀπὸ Νερωνιάδος τῆς Κιλικίας καὶ Ἀκάκιον τὸν ἀπὸ »Καισαρείας τῆς Παλαιστίνης καὶ Στέφανον ἀπὸ Ἀντιοχείας καὶ »Οὐρσάκιον ἀπὸ Σιγγιδούνου τῆς Μυσίας καὶ Οὐάλεντα τὸν ἀπὸ »Μυρσῶν τῆς Παννονίας καὶ Μηνόφαντον τὸν ἀπὸ Ἐφέσου καὶ »Γεώργιον τὸν ἀπὸ Λαοδικείας, εἰ καὶ φοβηθεὶς μὴ παρεγένετο ἀπὸ »τῆς Ἑώας, ὅμως διὰ τὸ ἀπὸ τοῦ μακαρίου Ἀλεξάνδρου τοῦ »γενομένου ἐπισκόπου Ἀλεξανδρείας καθηρῆσθαι αὐτὸν καὶ διὰ »τὸ καὶ τούτους σὺν αὐτῷ τῆς Ἀρείου μανίας εἶναι καὶ διὰ τὰ »ἐπενεχθέντα αὐτοῖς ἐγκλήματα, τούτους παμψηφεὶ καθεῖλεν ἡ »ἁγία σύνοδος ἀπὸ τῆς ἐπισκοπῆς· καὶ ἐκρίναμεν μὴ μόνον αὐτοὺς »ἐπισκόπους μὴ εἶναι, ἀλλὰ μηδὲ κοινωνίας μετὰ τῶν πιστῶν

3/4 vgl. Act. 20, 29

* **4—16** Nicetas Thesaur. VI 14 PG 140, 21 A

B A N + GS (s) = r LF = z T

1 *ἐπιγιγνώσκειν* T | **3** *ἐπίσκοπον* A^m | **3/4** *ἐπελθόντας* rzT Cass. Athan. *Λ ἐπανελθόντας* BA | **4** *ἐν* > T | **5** *κυντιανὸν* Brz *κυητιανὸν* A *Κυϊντιανὸν* Athan. *Quintianum* Cass. Hil. *Quincianum Λ κεντιανὸν* Cod. Nicet. *κωνστάντιον* T | **6** *πρὸς* — **7** *τινα* > L | **9** *τὸν* > L | *καὶ* > BF | **10** *Νάρκισσον* > FT Cass. Codd. LP | *καὶ* > BAF | *Ἀκάκιον* > sFT Cass. Codd. LP | **11** nach *Παλαιστίνης* + *ἀκάκιον* s + *νάρκισσον* (+ *λεγόμενον* T) *καὶ ἀκάκιον* FT Cass. Codd. LP | **12** nach *Οὐρσάκιον* + *τὸν* B | *σιγγιδούνου* BT *σιγ|||δό|||νου* A *σιγδόνου* NL *μυγδόνου* s *μυγδούνοσ, μυ* auf Rasur, F *singidū* Cass. Cod. L *singiduni* Cod. P *Singidunensem Λ* | *καὶ* > T | **13** *πανονίασ* rF | *τὸν* > BA | **14** *φοβηθεὶς μὴ παρεγένετο* Athan. *φοβηθέντεσ μὴ παρεγέν|||το* aus *φοβηθεὶσ μὴ παρεγένετο* corr. A^c, den Singular bezeugen auch *Λ* Hil. Sozom. III 12, 3, vgl. *καίτοι μὴ παρόντα* Nicet.; *φοβηθέντεσ μὴ παρεγένοντο* BrzT *metuentes non venerint* Cass. | **16** *αὐτὸν* A Athan. = *Λ* Hil. *αὐτοὺσ* A^cBrzT Cass. | **17** *τούτουσ* A *τοὺσ* BrL *αὐτοὺσ* FT, vgl. Athan.: *καὶ διὰ τὸ εἶναι καὶ αὐτὸν καὶ τούτους* | *αὐτῷ* BF *αὐτοῖσ* (*οῖσ* von A^c) ArLT | **18** *αὐτοῖσ* rLT Cass. Athan. *eos Λ αὐτῶ* BF u. *ῶι* auf Rasur, A^c > Hil. | **19/20** *αὐτοὺσ ἐπισκόπουσ* A Athan. *Λ* Hil. *ἐπισκόπουσ αὐτοὺσ* BrzT Cass.

»αὐτοὺς καταξιοῦσθαι. τοὺς γὰρ χωρίζοντας τῆς τοῦ πατρὸς οὐσίας **34**
»καὶ θεότητος τὸν υἱὸν καὶ ἀπαλλοτριοῦντας τὸν λόγον ἀπὸ τοῦ
»πατρὸς χωρίζεσθαι ἀπὸ τῆς καθολικῆς ἐκκλησίας προσήκει καὶ ἀλ-
»λοτρίους εἶναι τοῦ Χριστιανῶν ὀνόματος. ἔστωσαν τοίνυν καὶ ἡμῖν
»καὶ πᾶσιν ἀνάθεμα, διὰ τὸ κεκαπηλευκέναι αὐτοὺς τὸν λόγον
»τῆς ἀληθείας. ἀποστολικὸν γάρ ἐστι παράγγελμα· »εἴ τις ὑμᾶς **35**
»εὐαγγελίζεται παρ' ὃ παρελάβετε, ἀνάθεμα ἔστω«. τούτοις
»μηδένα κοινωνεῖν παραγγείλατε· »οὐδεμία γὰρ κοινωνία φωτὶ
»πρὸς σκότος«. τούτους πάντας μακρὰν ποιεῖτε· »οὐδεμία γὰρ
»συμφωνία Χριστῷ πρὸς Βελίαρ«. καὶ φυλάξασθε, ἀδελφοὶ **36**
»ἀγαπητοί, μήτε γράφειν πρὸς αὐτοὺς μήτε γράμματα παρ' αὐτῶν
»δέχεσθαι. σπουδάσατε δὲ καὶ ὑμεῖς, ἀγαπητοὶ ἀδελφοὶ καὶ συλ-
»λειτουργοί, ὡς τῷ πνεύματι παρόντες τῇ συνόδῳ ἡμῶν συναινέσαι
»καὶ ψηφίσασθαι δι' ὑπογραφῆς ὑμετέρας, ὑπὲρ τοῦ παρὰ πάντων
»τῶν ἁπανταχοῦ συλλειτουργῶν ἡμῶν ὁμοφωνίαν διασώζεσθαι.

»Ἀποκηρύττομεν δὲ ἐκείνους καὶ ἐξορίζομεν τῆς καθολικῆς ἐκ- **37**
»κλησίας τοὺς διαβεβαιουμένους ὅτι θεός ἐστιν δηλονότι ὁ Χριστός,
»ἀλλὰ μὴν ἀληθινὸς θεὸς οὐκ ἔστιν, ὅτι υἱός ἐστιν, ἀλλὰ ἀληθινὸς
»υἱὸς οὐκ ἔστιν, ὅτι γεννητός ἐστιν ἅμα καὶ γενητός. οὕτως γὰρ

5 II Kor. 2, 17 — **6/7** Gal. 1, 9 — **8—10** II Kor. 6, 14 f — **13** I Kor. 5, 3 — **16**—S. 118, 4 eine Rekonstruktion des Textes von F. Loofs, Abh. d. Berl. Ak., philos.-hist. Klasse 1909 S. 3 f

B A N + GS (s) = r LF = z T

1 *τῆσ τοῦ* — **2** *θεότητοσ Π* Cass. *a substantia patris Λ* > Athan. Hil. **2** *τὸν υἱὸν* A Athan. *Λ* Hil. und, vor *τῆς τοῦ* Z. 1 ∾, L > BrFT Cass. | *ἀλλοτριοῦντασ* z | **3** *καθολικῆσ ἐκκλησίασ* BArz Cass. Athan. *Λ* Hil. *ἐκκλησιαστικῆσ εὐταξίασ* T | **4** *χριστιανῶν* A Athan. *Λ* *χριστιανοῦ* Brz Cass. Hil. *χριστιανικοῦ* T *καὶ ἡμῖν* BT ψ! *ὑμῖν* (*ὑ* Ac) A *ἡμῖν* rF *a nobis* Cass. *ὑμῖν* L Athan. Hil. > *Λ* **5** *καὶ πᾶσιν Π* Cass. *omnibus vobis Λ* > Athan. Hil. | **9** *τούτουσ πάντασ* ANF *hos omnes* Hil. *omnes Λ τούτων πάντασ* s Athan. Codd. Par. Bas. *τούτουσ πάντων* BT Cass. *τούτουσ* L | **10** *ἀδελφοὶ* = Cass. *Λ* > L Athan. Hil. | **11** *πρὸσ αὐτοὺσ*] *αὐτοῖσ* s | **12** *δὲ* > sT | *καὶ*[1] > N | **14** *ψηφίσασθαι* BArz *decernere* Cass. *pronuntiare Λ συμψηφήσασθαι* T *συνεπιψηφίσασθαι* Athan. *confirmare* Hil. **15** *ἁπανταχοῦ* AT Athan. Cod. Par. *πανταχοῦ* Brz | **17** *τοὺσ* AT *Λ* *τοὺσ μὴ* Br (*μὴ* auf Rasur G) z Cass. | *δηλονότι* (*δῆλον ὅτι* B) *ὁ χσ* BT *Λ* *ὁ χσ δῆλον ὅτι* A *δῆλον ὁ χσ* rz | **18** *ἀλλὰ μὴν* BAz *sed Λ ἀλλὰ λέγειν* r *ἀλλὰ μὴν λέγοντασ ὅτι* T *sed aiunt* Cass. | *ὅτι υἱόσ* — **19** *οὐκ ἔστιν* > F | **18/19** *ἀληθινὸσ υἱὸσ οὐκ ἔστιν* A *γρ. ἀληθινὸσ θσ οὐκ ἔστιν* am Rand Ac | **19** *γενητόσ* A in *ἀγέννητοσ* corr. Ac *factus Λ ἀγέννητοσ* BrzT *ingenitus* Cass. | *γὰρ* BrzT Cass. *Λ* > A

»ἑαυτοὺς νοεῖν τὸν γεγεννημένον ὁμολογοῦσιν, ὅτι οὕτως εἶπον· »τὸ »γεγεννημένον γεγεννημένον ἐστίν«, καὶ ὅτι, τοῦ Χριστοῦ πρὸ αἰώνων 38
»ὄντος, διδόασιν αὐτῷ ἀρχὴν καὶ τέλος, ὅπερ οὐκ ἐν καιρῷ, ἀλλὰ »πρὸ παντὸς χρόνου ἔχει. καὶ ὑπόγυον δὲ δύο ἔχεις ἀπὸ τῆς ἀσπίδος »τῆς Ἀρειανῆς ἐγεννήθησαν, Οὐάλης καὶ Οὐρσάκιος· οἵ τινες καυχῶν- »ται καὶ οὐκ ἀμφιβάλλουσι λέγοντες ἑαυτοὺς Χριστιανοὺς εἶναι καὶ »ὅτι ὁ λόγος καὶ ὅτι τὸ πνεῦμα καὶ ἐσταυρώθη καὶ ἐσφάγη καὶ »ἀπέθανεν καὶ ἀνέστη καί, ὅπερ τὸ τῶν αἱρετικῶν σύστημα φιλο- »νεικεῖ, διαφόρους εἶναι τὰς ὑποστάσεις τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ »τοῦ ἁγίου πνεύματος καὶ εἶναι κεχωρισμένας.

»Ἡμεῖς δὲ ταύτην παρειλήφαμεν καὶ δεδιδάγμεθα, ταύτην ἔχομεν 39
»τὴν καθολικὴν καὶ ἀποστολικὴν παράδοσιν καὶ πίστιν καὶ ὁμο- »λογίαν· μίαν εἶναι ὑπόστασιν, ἣν αὐτοὶ οἱ αἱρετικοὶ οὐσίαν προσα- »γορεύουσι, τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος. καὶ 40
»εἰ ζητοῖεν, τίς τοῦ υἱοῦ ἡ ὑπόστασίς ἐστιν, ὁμολογοῦμεν ὡς αὕτη [ἦν] »ἡ μόνη τοῦ πατρὸς ὁμολογουμένη, καὶ μηδέ ποτε πατέρα χωρὶς υἱοῦ »μηδὲ υἱὸν χωρὶς πατρὸς γεγενῆσθαι μηδὲ εἶναι δύνασθαι ὅ ἐστι

2/3 I Kor. 2, 7

B A N + GS (s) = r LF = z T

1 ἑαυτοὺς — ὁμολογοῦσιν] εἰώθασι νοεῖν τὸ »γεγεννημένον«, ὁμολογοῦντες schreibt Loofs im Urtext nach *sic enim intellegere consuerunt natum, qui fatentur Λ* | ὁμολογοῦισν — **2** γεγενημένον > B | vor ὅτι οὕτως + καὶ T | ὅτι οὕτωσ εἶπον *II* Cass. ὡς προείπομεν Loofs, nach *sicut supra dixerunt Λ* | **2** γεγεννημένον] γεγενημένον A | γεγενημένον am Rand Ac γεγεννημένον NGzT > AS; vgl. Cass. *Λ*: *quod natum est factum est* | ἐστιν] εἶναι T | **4** χρόνου A] καιροῦ BrzT | **5** ἀρειανικῆσ NG | ἀρσάκιοσ B | **7** ἐστ̄ρ̄ώθη *II vulneratus est* Cass. *Λ* ἐτρώθη Loofs | **9** ὑποστάσεισ BArz *substantias* Cass. *Λ* οὐσίασ T | **10** π̄ν̄ο̄ τοῦ ἁγίου rF | **11** ταύτην² BrzT Cass. *Λ* καὶ ταύτην A | **12** καὶ³ As | **13** nach εἶναι + καὶ gestrichen A | ὑπόστασιν BArz *substantiam* Cass. *Λ* οὐσίαν T ἣν — **14** προσαγορεύουσι] *quam ipsi graecisian appellant Λ nominant* Cass. Codd. LP > T | αἱρετικοὶ ⟨καὶ⟩ Loofs | **15** ἡ ὑπόστασις τοῦ υἱοῦ ∾ L | ἡ ὑπόστασις — **16** μηδέ] ἡ ὑπόστασις, ἔστιν ὁμολογουμένως αὕτη, ἣ ἦν μόνου (*haec quam solius Λ*) τοῦ πατρός. ὁμολογοῦμεν μηδέ für den Urtext Loofs ὑπόστασίσ· ἐστιν so interpung. nur T | ὁμολογοῦμεν ὡσ AcrzT Cass. ὁμολογουμένωσ BA *est pro certo Λ* | αὕτη] αὐτὴ N | ἦν *II esse* Cass. getilgt Parm. **16** ὁμολογουμένη *II indubitanter* Cass. | καὶ nur in A, gestrichen Ac **17** μηδὲ¹] μηδ' αὖ T | μηδὲ εἶναι δύνασθαι = Cass. > B | ὅ ἐστι — S. 114, 2 δύνασθαι > T | **17**—S. 114, 1 ὅ ἐστιν λόγοσ πν̄α̅ BF *quod est verbum spiritus* Cass. *Λ* ὦ ἐστι λόγοσ π̄ν̄α̅ L ὅ ἐστι λόγοσ π̄ν̄ο̄ N ὅσ ἐστι λόγοσ π̄ρ̄σ̄ s ῶι (ῶι auf Rasur Ac) ἐστι λόγοσ πνα (ν aus ρ corr. Ac) οὐκ ἔχων A; πνεῦμα + οὐκ ἔχων alte Variante?

»λόγος πνεῦμα. ἀτοπώτατον γάρ ἐστι λέγειν ποτὲ πατέρα μὴ γε- 41
»γενῆσθαι· πατέρα χωρὶς υἱοῦ μήτε ὀνομάζεσθαι μήτε εἶναι δύνασθαι.
»ἔστιν αὐτοῦ τοῦ υἱοῦ μαρτυρία· »ἐγὼ ἐν τῷ πατρὶ καὶ ὁ πατὴρ
»ἐν ἐμοί« καὶ »ἐγὼ καὶ ὁ πατὴρ ἕν ἐσμεν«. οὐδεὶς ἡμῶν ἀρ-
»νεῖται τὸ »γεγεννημένον«, ἀλλά τισιν γεγεννημένον, παντάπασιν
»ἅπερ ἀόρατα καὶ ὁρατὰ προσαγορεύεται, γεννηθέντα τεχνίτην καὶ
»ἀρχαγγέλων καὶ ἀγγέλων καὶ κόσμου καὶ τῷ ἀνθρωπίνῳ γένει, ὅτι

3/4 Joh. 14, 10. 10, 30 — **6** vgl. Kol. 1, 16

B A N + GS (s) = r L + FV [V von **1** *πατέρα* an] (v) = z T

1 *μὴ* ausradiert G > Ausgaben | **2** *πατέρα* > BN Ausgaben; unsere Interpunktion bestimmt von A vor Rasur (ein Punkt vor *πατέρα* ausradiert und ein Punkt nach *χωρὶς υἱοῦ* hinzugefügt), von *Λ*: *absurdus* (sic Cod. Veron.) *enim est nunc dicere patrem non fuisse, quoniam quod intelligitur pater, sine filio nec nuncupari nec esse posse est ipsius filii testimonium*, und von den echten Lesarten Cass. Codd. LP: *absurdum namque est dicere aliquando patrem non fuisse, patrem sine filio neque nominari nec esse potuisse est* [+ *enim* Codd. LP, zu tilgen] *ipsius filii testimonium*; für den Sinn, vgl. z. B. unten IV 22, 18 | *μήτε*[1] *μηδὲ* B *μήποτε* L | *μήτε*[2] *μηδὲ* B | **3** nach *ἔστιν* + *δὲ* GT u., auf Rasur, S | *τοῦ υἱοῦ μαρτυρία* = Cass. *Λ*] *μαρτυρία τοῦ υἱοῦ λέγουσα* A | **1** *πατέρα* — **3** *μαρτυρία*] *πατέρα μὴ γεγενῆσθαι πατέρα διὰ τοῦτο, ὅτι δῆλόν ἐστι πατέρα χωρὶς υἱοῦ μήτε ὀνομάζεσθαι μήτε εἶναι δύνασθαι. ἔστιν αὐτοῦ τοῦ υἱοῦ μαρτυρία* Loofs | **4** *καὶ*[1] = Cass. *Λ* > A | **5** *τὸ* Loofs *τὸν* A > BrzT | *γεγεννημένον* = *natum* Cass. *Λ* *γεγενημένον* v | *τισιν — παντάπασιν*] *γεγενημένον πρὸ πάντων* L *γεγεννημένον πρὸ πάντων* ////////////, alles auf Rasur, Ac, wo, vor der Rasur, die Fassung unseres Textes gestanden hat | *τισιν* BN *τισὶν* G *τισὶ* S *τισι* V *quibusdam Λ τίσι* FT *quibus* Cass., ob *τὸ* und nachher *γεγενημένον*? Jülicher | *γεγεννημένον*[2] BNT *natum* Cass. *Λ γεγενημένον* sv | *παντάπασιν* Brv *omnia omnibus* Cass. Codd. LP *omnino Λ πᾶσιν* T | **6** *ἅπερ* = *quae* Cass.] *ὅπερ* V *sicut Λ* | *ἀόρατα* aus *ὁρατα* corr. Ac, vgl. *visibilia et invisibilia Λ* | *προσαγορεύεται* BrzT Cass. *Λ προσαγορεύουσι* L u., *ουσι* auf Rasur, Ac | *γεννηθέντα* vT *γενηθέντα* B *γεγενῆσθαι* r *ποιητὴν καὶ* L und, auf Rasur, Ac | **7** *κόσμου* BALT Cass. *Λ κόσμῳ* rv | *τῷ ἀνθρωπίνῳ γένει* Brv auf Rasur corr. in *τοῦ ἀνθρωπίνου γένους* Ac *τοῦ ἀνθρωπίνου γένους* LT *humani generis* Cass. *Λ*; die schwierige Stelle übersetze ich: »nemo nostrum negat natum, sed (negamus) natum quibusdam, (natum) omnino iis quae invisibilia et visibilia appellantur, genitum artificem et archangelorum et angelorum et mundi et (genitum) humano generi, quia dicit«. Anders Loofs: *οὐδεὶς ἡμῶν ἀρνεῖται τὸ »γεγεννημένον« ⟨. . . . .⟩. ἀλλὰ τίσιν γεγεννημένον; παντάπασιν ⟨πᾶσιν⟩, ἅπερ ὁρατὰ καὶ ἀόρατα προσαγορεύεται, γεννηθέντα τεχνίτην καὶ ἀρχαγγέλων καὶ ἀγγέλων καὶ κόσμου καὶ τοῦ ἀνθρωπίνου γένους, ὅτι φησίν·*

»φησίν· »ἡ πάντων τεχνῖτις ἐδίδαξέ με σοφία« καὶ »πάντα δι' 42
»αὐτοῦ ἐγένετο«. οὐ πάντοτε γὰρ εἶναι ἠδύνατο εἰ ἀρχὴν ἔλαβεν,
»ὅτι ὁ πάντοτε ὢν ἀρχὴν οὐκ ἔχει λόγος, θεὸς δὲ οὐδέποτε ὑπο-
»μένει τέλος. οὐ λέγομεν τὸν πατέρα υἱὸν εἶναι οὐδὲ πάλιν τὸν υἱὸν
»πατέρα εἶναι· ἀλλ' ὁ πατὴρ πατήρ ἐστι καὶ ὁ υἱὸς πατρὸς υἱός.
»ὁμολογοῦμεν δύναμιν εἶναι τοῦ πατρὸς τὸν υἱόν· ὁμολογοῦμεν τὸν 43
»λόγον θεοῦ πατρὸς εἶναι, παρ' ὃν ἕτερος οὐκ ἔστιν, καὶ τὸν λόγον
»ἀληθῆ θεὸν καὶ σοφίαν καὶ δύναμιν. ἀληθῆ δὲ υἱὸν παραδιδόαμεν,
»ἀλλ' οὐχ ὥσπερ οἱ λοιποὶ υἱοὶ προσαγορεύονται τὸν υἱὸν λέγομεν,
»ὅτι ἐκεῖνοι ἢ διὰ τοῦτο θεοὶ εἶεν τοῦ ἀναγεννᾶσθαι χάριν ἢ διὰ τὸ
»καταξιωθῆναι υἱοὶ προσαγορεύονται, οὐ διὰ τὴν μίαν ὑπόστασιν,
»ἥτις ἐστὶ τοῦ πατρὸς καὶ τοῦ υἱοῦ. ὁμολογοῦμεν καὶ μονογενῆ 44
»καὶ πρωτότοκον· ἀλλὰ μονογενῆ τὸν λόγον, ὃς πάντοτε ἦν καὶ
»ἔστιν ἐν τῷ πατρί· τὸ πρωτότοκος δὲ τῷ ἀνθρώπῳ. διαφέρει δὲ

1 Sap. Sal. 7, 22 — **1/2** Joh. 1, 3 — **8** vgl. I Kor. 1, 24 — **12** Joh. 1, 18 — **13** Kol. 1, 15 — **14** vgl. Joh. 14, 10

B A N + GS (s) = r L + FV (v) = z T

2 nach *ἐγένετο* + *καὶ χωρὶσ αὐτοῦ ἐγένετο οὐδέν* rT, fehlt bei Cass. *Λ* *οὐ* A *non* Cass. *οὐκ* (nach *εἶναι* ∼) r *οὐδὲ* BLvA^{c} *πῶσ* T | *γὰρ πάντοτε* ∼ T *εἶναι* = Cass. *Λ* > B | *οὐ — 4 τέλος*] *οὐδέποτε γὰρ τοῦ εἶναι ἠδύνατο ἀρχὴν λαβεῖν, ὅτι ὁ πάντοτε ὢν ἀρχὴν οὐκ ἔχει λόγος θεός, οὐδέ ποτε ὑπομένει τέλος.* schreibt Loofs. Ich hatte vermutet: *οὐ πάντων γὰρ ἀρχὴ εἶναι ἠδύνατο εἰ ἀρχὴν ἔλαβεν· ὅτι δὲ ὁ πάντων ὢν ἀρχὴ ἀρχὴν οὐκ ἔχει, λόγος θεός ἐστι οὐδέ ποτε ὑπομένει τέλος.* (vgl. I 4, 17 und 23). Doch unsern Text las schon Cass. und die Corruptel ist vortheodoretisch | **5** *υἱός*^{2} = *Λ*] *ἐστιν υἱόσ* TCass. | **6** *ὁμολογοῦμεν — υἱόν* > B | *δύναμιν εἶναι τοῦ πρ̄ō̄* ArCass. (aber *filium patris* ∼ Codd. LP) *τοῦ πρ̄ō̄ δύναμιν εἶναι* z *τοῦ πῡ̄ō̄ εἶναι δύναμιν* T *potentiam patris esse Λ* *τὸν* 2] *αὐ τὸν* Loofs | **7** *λόγον*^{1} auf Rasur A^{c} | *θεοῦ*] *τοῦ θεοῦ* B | *εἶναι* BArzCass. *εἶναι υἱὸν* T > *Λ* | *παρὸν* B | **8** *δύναμιν* = Cass. *Λ*] *ἀληθῆ δύναμιν* T | *ἀληθῆ δὲ υἱὸν* Brz*Λ* *verumque filium* Cass. *καὶ υἱὸν ἀληθῆ* T *υἱὸν* A | *παραδίδομεν* B | **9** *λέγομεν τὸν υἱὸν* ∼ L | **10** *ἐκεῖνοι* auf Rasur A^{c} | *ἢ* (*ἢ* > sT) *διὰ τοῦτο θεοὶ εἶεν τοῦ* BrT *aut* (*gratia regenerationis* ∼) *dii erunt* Cass. *ἢ διὰ τοῦτο θεοὶ ἢ ἐν τῶ* z und, alles auf Rasur, A^{c}; vielleicht vor der Rasur in A eine bessere Lesart wie: *ἢ διὰ υἱοθεσίαν ἢ τοῦ* Loofs nach *aut propter adoptionem vel Λ*, oder *ἢ διὰ τὸ θέσει υἱοὶ εἶναι τοῦ* vgl. oben I 4, 31 S. 17, 2 | *χάριτι* NG | *ἢ*^{2} = *aut* Cass. *vel Λ*] *ἤσ* T | **11** *οὐ* = *non Λ*] *οὐδὲ* B *neque* Cass. | *ὑπόστασιν* = *substantiam* Cass. *Λ*] *οὐσίαν* T | **12** *ἥτις*] *εἴ τισ* B | *καὶ*^{2} = Cass. > A*Λ* **14** *τῶ ἀνθρώπω* BA^{c}szTCass. *Λ* *τῶν ἀνθρώπων* N und vor Rasur A | *διαφέρει* = Cass.] *διαφορεῖ* A | *δὲ* = Cass. *Λ*] *καὶ* T

»τῇ κοινῇ κτίσει, ὅτι καὶ πρωτότοκος ἐκ τῶν νεκρῶν. ὁμο- 45
»λογοῦμεν ἕνα εἶναι θεόν, ὁμολογοῦμεν μίαν πατρὸς καὶ υἱοῦ θεό-
»τητα. οὐδέ τις ἀρνεῖταί ποτε τὸν πατέρα τοῦ υἱοῦ μείζονα, οὐ δι'
»ἄλλην ὑπόστασιν, οὐ διὰ τὴν διαφοράν, ἀλλ' ὅτι αὐτὸ τὸ ὄνομα
»τοῦ πατρὸς μεῖζόν ἐστι τοῦ υἱοῦ. αὕτη δὲ αὐτῶν ἡ βλάσφημος καὶ
»διεφθαρμένη ἑρμηνεία, τούτου ἕνεκα εἰρηκέναι αὐτὸν φιλονεικοῦσιν
»»ἐγὼ καὶ ὁ πατὴρ ἕν ἐσμεν« διὰ τὴν συμφωνίαν καὶ τὴν ὁμό-
»νοιαν.

»Κατέγνωμεν πάντες οἱ καθολικοὶ τῆς μωρᾶς καὶ οἰκτρᾶς 46
»αὐτῶν διανοίας. ὥσπερ ἄνθρωποι θνητοὶ ἐπειδὴ διαφέρεσθαι ἤρ-
»ξαντο προσκεκρουκότες διχονοοῦσι καὶ εἰς διαλλαγὴν ἐπάνεισιν,
»οὕτως διάστασις καὶ διχόνοια μεταξὺ πατρὸς θεοῦ παντοκράτορος
»καὶ τοῦ υἱοῦ εἶναι δύναται, λέγουσιν· ὅπερ ἀτοπώτατον καὶ νοῆσαι
»καὶ ὑπολαβεῖν. ἡμεῖς δὲ καὶ πιστεύομεν καὶ διαβεβαιούμεθα καὶ 47
»οὕτω νοοῦμεν, ὅτι ἡ ἱερὰ φωνὴ ἐλάλησεν »ἐγὼ καὶ ὁ πατὴρ ἕν
»ἐσμεν« καὶ διὰ τὴν τῆς ὑποστάσεως ἑνότητα, ἥτις ἐστὶ μία τοῦ
»πατρὸς καὶ μία τοῦ υἱοῦ. καὶ τοῦτο δὲ πιστεύομεν πάντοτε, ἀν-
»άρχως καὶ ἀτελευτήτως τοῦτον μετὰ τοῦ πατρὸς βασιλεύειν καὶ μὴ

1 Kol. 1, 15 u. 18 — **3** vgl. Joh. 14, 28 — **7** Joh. 10 30 — **15/16** Joh. 10, 30

B A N + GS (s) = r L + FV (v) = z T

1 *κοινῇ* = *communi* Cass. *Λ*] *καινῇ* T und Loofs, der schreibt: *τὸ πρωτότοκος δὲ τῷ ἀνθρώπῳ διαφέρει καὶ τῇ καινῇ κτίσει* | *ἐκ τῶν* Ar Kol. *ἐκ* BzT **2** *μίαν* = Cass. *Λ*] *μίαν εἶναι* B | **3** *ποτε* rzT Cass. *Λ* übergeschrieben Ac > AB | *τὸν μείζονα τοῦ υἱοῦ πρα* T | **4** *ὑπόστασιν* = *substantiam Λ*] *οὐσίαν* T *essentiam* Cass. | *οὐ διὰ τὴν* BA Cass. *οὐδὲ διὰ τὴν* zAc *οὐδὲ τὴν* r *οὐδὲ* T *nec Λ οὐδέ τινα* Loofs | **5** *τοῦ υἱοῦ ἐστιν* ∾ T | *αὐτῶν* > N | **9** *πάντες* BA *Λ δὲ πάντες* rzTAc Cass. | **10** *ὥσπερ* B Cass. *Λ καὶ ὥσπερ* rz *ὥσπερ γὰρ* T *καὶ* (*καὶ* am Rand Ac) *ὥσπερ γὰρ οἱ* (*γὰρ οἱ* gestrichen) A | *ἐπεὶ* T | *διαφέρεσθαι* ALVT *differunt Λ διαφθείρεσθαι* BrF *corrumpi* Cass. | **12** *διάστασις καὶ διχόνοια* ArzT Cass. *διαστάσεις καὶ δειχονοίας* B *separationes et discordiam* (mit Abkürzungsstrich) *Λ διαστάσεις καὶ διχόνοιαι* Loofs | *πατρὸς* Am Vs | vor *θεοῦ* + *καὶ* L | **13** *καὶ τοῦ υἱοῦ* > B | *τοῦ* > T | *εἶναι δύναται* Br (*δύναται* zweimal S) z *esse posse* Cass. *δύναται εἶναι* T *δυνατὸν εἶναι* A *esse potuerunt Λ* = *ἠδύναντο εἶναι* Loofs | *νοῆσαι* BAT *intelligere* Cass. *Λ ὑπονοῆσαι* rzAc | **14** *ὑποβαλεῖν* A | *καὶ*[2] = *et* Cass. > T *Λ* | **15** *ἡ ἱερὰ φωνὴ Π* = *sacra scriptura* Cass. *ἱερᾷ φωνῇ* Loofs = *sacra voce Λ* | **16** *ὑποστάσεως* = *substantiae Λ*] *οὐσίας* T *essentiae* Cass. | *ἐστὶ* = Cass. *Λ* > T | **17** *μία* > T *Λ* | *πάντοτε* = Cass. *Λ* > T | **18** *τοῦτον* nach *βασιλεύειν* ∾ B > r | *τοῦ* > s

»ἔχειν μήτε χρόνον μήτε ἔκλειψιν αὐτοῦ τὴν βασιλείαν, ὅτι ὁ πάντοτε 48
»ἔστιν οὐδέ ποτε τοῦ εἶναι ἤρξατο οὐδὲ ἐκλείπειν δύναται.

»Πιστεύομεν καὶ παραλαμβάνομεν τὸν παράκλητον τὸ ἅγιον
»πνεῦμα, ὅπερ ἡμῖν αὐτὸς ὁ κύριος καὶ ἐπηγγείλατο καὶ ἔπεμψεν.
»καὶ τοῦτο πιστεύομεν πεμφθέν· καὶ τοῦτο οὐ πέπονθεν, ἀλλ' ὁ ἄν-
»θρωπος ὃν ἐνεδύσατο, ὃν ἀνέλαβεν ἐκ Μαρίας τῆς παρθένου, τὸν
»ἄνθρωπον τὸν παθεῖν δυνάμενον· ὅτι ἄνθρωπος θνητός, θεὸς δὲ
»ἀθάνατος. πιστεύομεν ὅτι τῇ τρίτῃ ἡμέρᾳ ἀνέστη οὐχ ὁ θεὸς ἐν 49
»τῷ ἀνθρώπῳ, ἀλλ' ὁ ἄνθρωπος ἐν τῷ θεῷ ἀνέστη, ὄντινα καὶ
»προσήνεγκε τῷ πατρὶ ἑαυτοῦ δῶρον, ὃν ἠλευθέρωσεν. πιστεύομεν 50
»δὲ ὅτι εὐθέτῳ καιρῷ καὶ ὡρισμένῳ πάντας καὶ περὶ πάντων αὐτὸς
»κρινεῖ. τοσαύτη δέ ἐστιν αὐτῶν ἡ ἄνοια καὶ οὕτω παχεῖ σκότῳ ἡ
»διάνοια αὐτῶν ἐκτετύφλωται, ἵνα μὴ δυνηθῶσιν ἰδεῖν τὸ φῶς τῆς
»ἀληθείας. οὐ συνιᾶσιν ᾧ λόγῳ εἴρηται »ἵνα καὶ αὐτοὶ ἐν ἡμῖν
»ἓν ὦσι«. σαφές ἐστι διὰ τί ἕν· ὅτι οἱ ἀπόστολοι πνεῦμα ἅγιον 51
»τοῦ θεοῦ ἔλαβον· ἀλλ' ὅμως αὐτοὶ οὐκ ἦσαν πνεῦμα, οὐδέ τις
»αὐτῶν ἦ λόγος ἦ σοφία ἦ δύναμις ἦν οὐδὲ μονογενὴς ἦν. »ὥσπερ«
»φησίν »ἐγὼ καὶ σὺ ἕν ἐσμεν, οὕτως καὶ αὐτοὶ ἐν ἡμῖν ἓν
»ὦσιν«. ἀλλ' ἀκριβῶς διέστειλε ἡ θεία φωνή· »ἐν ἡμῖν ἓν ὦσι«
»φησίν· οὐκ εἶπεν· »ὥσπερ ἡμεῖς ἕν ἐσμεν, ἐγὼ καὶ ὁ πατήρ«· ἀλλ' 52

13 vgl. I Tim. 6, 16 — **14/15. 18/19** Joh. 17, 21. vgl. Hilar. De trin. 8, 11

B A N + GS (s) = r L + FV (v) = z T

1 *χρόνον* BA Cass. *Λ χρόνον + διορίζοντα* rzT am Rand Ac | *ἔκλειψιν* schreibt Loofs *defectum* Cass. *ἐκλείψειν* T *ἐκλείπειν* BArz *minui Λ* | *ὃ* BrT *Λ* > Az Cass. | **2** *οὔτέποτε* AL *οὔποτε* v | *ἐκλιπεῖν* N | **3** *πιστεύομεν* BAT Cass. *Λ πιστεύομεν δὲ* rzAc | **4** *καὶ*[1] > T Cass. *Λ* | **5** *καὶ τοῦτο πιστεύομεν πεμφθέν* BrT Cass. gestrichen in A > z | *καὶ τοῦτο*[2] BArz *sed is* Cass. *καὶ ὅτι ὁ θεὸς* T | *πέπονθεν* BrT Cass. *πεπονθός* z *πέπονθώς* (*ώς* auf Rasur Ac) A hinter *πέπονθεν* + *ἅπαγε* N | *ὁ* ausradiert A | **6** *ἐκ — παρθένου*] *ἐκ τῆσ ὑπερενδόξου καὶ ὑπερευλογημένου δεσποίνησ ἡμῶν θεοτόκου καὶ ἀεὶ παρθένου μαρίασ* N | **7** *τὸν παθεῖν δυνάμενον* am Rand Ac | **8** *τῇ* > B | *οὐχὶ* T | **10** *ἑαυτοῦ πρὸι* ~ N | *ἠλευθέρωσεν* BAT Cass. *Λ ἠλευθέρωσεν + ἐκ τῆσ ἁμαρτίασ καὶ τῆσ φθορᾶσ* rz am Rand Ac | **11** *καὶ*[2] BANT Cass. *Λ* > sz | **12** *δέ* > N | *ἐστιν αὐτῶν = Λ*] *αὐτῶν ἐστιν* A | *ἦ*[1] As | *σκότει* B | **13** *διάνοια* aus *ἄνοια* corr. Ac | **14** *συνήσασιν* B | **17** *ἦ λόγοσ* rzT Cass. *ἦ /// λόγοσ* A *λόγοσ* B *sol* falsche Lesung: *ΗΛΙΟΣ*) *Λ* | *ἦν οὐδὲ = Λ*] *οὐδὲ* T *aut* Cass. | **18** *ἐγώ φησιν* A | **19** *ἀλλ' — 20 φησίν* > T | *ἀλλ' — ὦσι* > V | *ἀλλ'* BrF *Λ ἀλλὰ καὶ* AL *igitur* Cass. | **20** *οὐκ εἶπεν* > L | *ἐγὼ* BALT Cass. *Λ καὶ ἐγὼ* rv | **20f** *ἀλλ' οἱ* BA Cass. *Λ ἀλλ' ἵνα οἱ* rzT

»οἱ μαθηταὶ ἐν ἑαυτοῖς σύζυγοι καὶ ἡνωμένοι ἕν εἰσι τῇ πίστει, τῇ »ὁμολογίᾳ, ⟨ἵνα⟩ καὶ ἐν τῇ χάριτι καὶ τῇ εὐσεβείᾳ τῇ τοῦ θεοῦ πατρὸς »καὶ τῇ τοῦ κυρίου καὶ σωτῆρος ἡμῶν συγχωρήσει καὶ ἀγάπῃ ἓν »εἶναι δυνηθῶσιν.«

Ἐκ τῶνδε τῶν γραμμάτων ἔστι μαθεῖν τῶν μὲν κατηγόρων τὴν 53
συκοφαντίαν, τῶν δὲ πάλαι δικασάντων τὴν ἀδικίαν, καὶ πρὸς τούτοις τῶν δογμάτων τὴν ὑγείαν. οὐ γὰρ μόνον τὰ περὶ τῆς θείας ἡμᾶς ἐδίδαξαν φύσεως οἱ μακάριοι πατέρες, ἀλλὰ καὶ τὴν περὶ τῆς οἰκονομίας διδασκαλίαν προσήνεγκαν.

Ταῦτα ὁ Κώνστας μεμαθηκὼς ἠθύμησε μὲν τοῦ ἀδελφοῦ τὴν 54
εὐκολίαν ὁρῶν, ἐχαλέπηνε δὲ κατὰ τῶν ταῦτα τετυρευκότων καὶ τὴν βασιλέως ἠπατηκότων εὐχέρειαν. δύο δὴ οὖν τῶν εἰς τὴν Σαρδικὴν συνεληλυθότων ἐκλεξάμενος ἐπισκόπους πρὸς τὸν ἀδελφὸν μετὰ γραμμάτων ἀπέστειλεν· συναπέστειλε δὲ αὐτοῖς καὶ στρατηγὸν (Σαλιανὸς δὲ τούτῳ ὄνομα ἦν), ὃς εὐσεβείᾳ τε καὶ δικαιοσύνῃ διέλαμπεν. τὰ δὲ γράμματα οὐ παραίνεσιν μόνον εἶχε καὶ συμβουλήν, ἀλλὰ 55
καὶ ἀπειλὴν εὐσεβεῖ πρέπουσαν βασιλεῖ. πρῶτον μὲν γὰρ ἐπέστειλε τῷ ἀδελφῷ τοῖς ἐπισκόποις τὰς ἀκοὰς ὑποσχεῖν καὶ τὰς ὑπὸ Στεφάνου καὶ τῶν ἄλλων τολμωμένας παρανομίας μαθεῖν, καὶ μέντοι

12—15 vgl. Nicetas Thesaur. V 30 PG 139, 1390 A — **16** — S. 119, 8 vgl. Socrat. II 22, 3—23, 2. Sozomen. III 20, 1—2. Rufin. H. E. X 20, S. 986, 10. Philostorg. III 12

* **10**—S. 122, 2 Cass. IV 25 — **12—16** Niceph. H. E. IX 21

B [bis **11** *ταῦτα τε*] A H [H von **10** *ταῦτα* an] N (n) + GS (s) = r B² [B² von **11** *τετυρευκότων* an] L + FVR [R von **11** *τετυρευκότων* an] (v) = z T

1 *ἑαυτοῖσ* Bv *semetipsis* Cass. *Λ* *αὐτοῖσ* ArLT | *εἰσι* BArz *ὦσι* T *sint* Cass. *Λ* | *τῇ πίστει τῇ ὁμολογία* BArT*Λ* *τῇ πίστει καὶ ὁμολογία* z *et* (*ex* Cod. L) *fide confessione* Cass. Codd. LP *τῇ πίστεως ὁμολογίᾳ* Loofs | **2** *⟨ἵνα⟩ καὶ* Loofs *et ut Λ καὶ Π* Cass. | *ἐν* = Cass. *Λ* > B | *τῇ εὐσεβεία* Br *ἐν τῇ εὐσεβεία* z *εὐσεβεία* AT *pietate* Cass. *Λ* | *θεοῦ πρ̅σ̅* BArT Cass. *patris Λ* *θεοῦ καὶ πρ̅σ̅* z | **6** *δικάτων* (σάν) A^c | **7** *ὑγίειαν* z | *μόνον* > B | **8** *ἡμᾶς* = *nos* Cass. > T | *περὶ* > B | **9** *οἰκονομίας* = Cass.] *θείασ οἰκονομίασ* s | **10** *θ̅* am Rand Brz | *Ταῦτα* — **14** *στρατηγὸν* > T* | *μὲν* übergeschrieben A^c | **11** *ἐχαλέπαινεν* B, *doluit* Cass. | *τετορνευκότων* A | **13** *ἐπισκόπους ἐκλεξάμενος* ∾ L | **13/14** *μετὰ γραμμάτων πρὸς τὸν ἀδελφὸν* ∾ A | **16** *μόνον* r Cass. in *μόνην* corr. A^c *μόνην* zT | **17** *ἐπέστειλε* (*ἐπέστει* auf Rasur A^c) A *ἐπέσκηψε* T *enuntiavit* Cass.

καὶ Ἀθανάσιον ἀποδοῦναι τῇ ποίμνῃ, δήλης καὶ τῆς συκοφαντίας γεγενημένης καὶ τῆς τῶν πάλαι δικασάντων παρανομίας καὶ δυσμενείας. προστέθεικε δέ, ὡς, εἰ μὴ πεισθείη καὶ τὰ δίκαια πράξοι, αὐτὸς 56
τὴν Ἀλεξάνδρειαν καταλήψεται καὶ τὸν Ἀθανάσιον ἀποδώσει τοῖς ποθοῦσι προβάτοις καὶ τῶν δυσμενῶν ἐξελάσει τὸ στῖφος. ταύτην δεξάμενος ὁ Κωνστάντιος τὴν ἐπιστολήν (ἐν Ἀντιοχείᾳ δὲ τηνικαῦτα ἐτύγχανεν ὤν), ὑπέσχετο δράσειν ἅπερ ὁ τῶν ὠδίνων ἐπήγγειλε κοινωνός. ἀλλ' ἐπὶ τούτοις ἀλγήσαντες οἱ τῇ ἀληθείᾳ πολεμεῖν 57
εἰωθότες τὸ παμμίαρον ἐκεῖνο καὶ δυσσεβὲς κατεσκεύασαν δρᾶμα. κατήχθη μὲν γὰρ παρὰ τὴν ὑπώρειαν τῶν ἀρχιερέων ἡ ξυνωρίς, ὁ δὲ στρατηγὸς καταγωγὴν ἑτέραν εἰλήφει.

Στέφανος δὲ (αὐτὸς γὰρ τῆς Ἀντιοχέων ἐκκλησίας κατέχων τοὺς 9
οἴακας ὑποβρύχιον ἐποίει τὸ σκάφος) εἶχε μὲν καὶ ἄλλους τῶν τυραννικῶν συνεργοὺς τολμημάτων, οἷς χρώμενος τοὺς τῶν ὀρθῶν ἀντεχομένους δογμάτων παντοδαπαῖς περιέβαλλε συμφοραῖς. ἠγεῖτο δὲ 2
τούτων νέος τις θρασύτητι μὲν συζῶν, τὸν δὲ παράνομον ἀσπαζόμενος βίον· ὃς οὐ μόνον τοὺς ἐκ τῆς ἀγορᾶς ἀπῆγε προπηλακίζων καὶ αἰκιζόμενος, ἀλλὰ καὶ ταῖς οἰκίαις ἐπιὼν ἀναίδην καὶ ἄνδρας ἐξῆγε καὶ γυναῖκας σεμνότητι κοσμουμένας. καὶ ἵνα μὴ σφόδρα μηκύνω τὴν τούτου διηγούμενος πονηρίαν, τὸ κατὰ τῶν ἀρίστων ἀνδρῶν τολμηθὲν διηγήσομαι· ἀπόχρη γὰρ τεκμηριῶσαι τὰ κατὰ τῶν ἀστῶν ὑπ' ἐκείνου παρανόμως πραχθέντα.

Οὗτος πρός τινα χαμαιτύπην παραγενόμενος ἔφησε ξένους ἔν- 3

10—S. 121, 22 vgl. Nicetas Thesaur. V 30 PG 139, 1390 AB — **23**—S. 121, 23 vgl. Athanas. Histor. Arian. ad monach. 20

* **15**—S. 121, 22 Niceph. H. E. IX 23. Cramer Anecd. Paris. II 95, 12

A HN (n) + GS (s) = r B^2L + FVR (v) = z T

1 *καὶ Ἀθανάσιον — 2 δικασάντων*] *παῖλον καὶ ἀθανάσιον καὶ τοὺς λοιποὺς ἀποδοῦναι ταῖς ποίμναις δῆλον καὶ τῶν συκοφαντιῶν γεγενημένων καὶ τῆς τῶν παλαίων ἀθανασίω δικησάντων* T* | **2** *πάλαι* > r, *priscorum* Cass. | **2 3** *δυσμενείας καὶ παρανομίας* ∼ n, Cass. wie im Text | **3** *προστέθεικε* AB²L *προσέθηκε* rvT **5** *ἀπελάσει* n | *ταύτην — 8 κοινωνός* > T* | **7** *ἅπερ* = *quae* Cass.] *ὅπερ* n | **8** *ἀλλ' ἐπὶ — 9 εἰωθότες* = Cass.] *οἱ δὲ τῇ ἀληθεία πολεμεῖν ἐγνωκότες ἐπὶ τούτοις ἀλγήσαντες* T* | **10** *γὰρ* > L | *παρὰ*] *ὑπὸ* r | **12** ϑ̄ am Rand A nach *γὰρ* + *ἦν* A | nach *ἐκκλησίας* + *αὐτὸς* T | **15** *περιέβαλλε* AHLV Cass. *περιέβαλε* sB²FRT *τε ἔβαλε* N | **16** *μὲν συζῶν*] *ζῶν* B² | **17** *προπηλακίζων*] *προφυλακίζων* G *φυλακίζων* S | **18** *ἀνέδην* HS | **22** *ἀστῶν* AHs *αὐτῶν* N *ἀρίστων* zA^{c}T | *παρανόμως ὑπ' ἐκείνου* ∼ T

ἀγχος ἐληλυθότας δεῖσθαι νύκτωρ αὐτῆς. εἶτα πεντεκαίδεκα στασιώτας λαβὼν καὶ τούτους ἐν ταῖς κατὰ τὴν ὑπώρειαν αἱμασιαῖς κατακρύψας, ἦκεν ἄγων τὴν χαμαιτύπην· καὶ τὸ συγκείμενον ἐπιφθεγξάμενος σύνθημα καὶ μαθὼν ὡς πάρεισι τοῦ δράματος οἱ συνίστορες, ἦκε παρὰ τὴν αὔλιον θύραν τῆς τῶν ἀνδρῶν ἐκείνων καταγωγῆς. καὶ ταύτην ἀνεφγυῖαν εὑρὼν (ἕνα γὰρ τῶν οἰκετῶν τοῦτο δρᾶσαι χρήμασιν ἐπεπείκει) εἰσήγαγε τὴν γυναῖκα· καὶ τοῦ οἴκου τὴν θύραν ἐπιδείξας, ἔνθα δὴ καθεύδειν θάτερον τῶν ἀρχιερέων συνέβαινεν, εἴσω γενέσθαι προσέταξεν, αὐτὸς δὲ τοὺς στασιώτας καλέσων ἐξῆλθεν. συνέβη δὲ τὸν μὲν Εὐφρατᾶν (τοῦτο γὰρ ἦν ὄνομα τῷ πρεσβυτέρῳ) ἐν τῷ προδόμῳ καθεύδειν, ὁ δὲ Βικέντιος (οὕτως γὰρ ὁ ἕτερος ὠνομάζετο) ἐν τῷ ἐνδοτέρῳ θαλάμῳ κατέμενεν. εἴσω δὲ τῶν θυρῶν τῆς χαμαιτύπης γενομένης, τοῦ κτύπου τῶν ποδῶν ὁ Εὐφρατᾶς αἰσθόμενος (σκότος δὲ ἦν) ἤρετο τίς ὁ βαδίζων· φθεγξαμένης δὲ ἐκείνης, θορύβου μεστὸς ὁ Εὐφρατᾶς ἐγένετο, δαίμονα τοπάσας εἶναι γυναικείαν φωνὴν μιμησάμενον, καὶ παραυτίκα τὸν σωτῆρα Χριστὸν εἰς ἐπικουρίαν ἐκάλει. ὁ δὲ Ὄναγρος (οὕτω γὰρ ὁ τοῦ πονηροῦ στίφους ἡγεμονεύων προσηγορεύετο, ἐπειδὴ πρὸς ταῖς χερσὶ καὶ τοῖς ποσὶν ὅπλοις κατὰ τῶν εὐσεβούντων ἐκέχρητο) μετὰ τοῦ στίφους εἰσελήλυθε, παρανόμους ἀποκαλῶν τοὺς παρανομίας δικαστὰς ἔσεσθαι προσδοκῶντας. βοῆς δὲ πλείστης γενομένης, συνέδραμον μὲν οἱ οἰκέται, ἐξανέστη δὲ καὶ ὁ Βικέντιος. καὶ τὴν αὔλιον ἀποκλείσαντες θύραν, ἑπτὰ μὲν τῶν στασιωτῶν συλλαβεῖν ἠδυνήθησαν (ὁ δέ γε Ὄναγρος σὺν τοῖς ἄλλοις ἀπέδρα). ἐφρουρεῖτο δὲ σὺν ἐκείνοις καὶ ἡ γυνή. ὑπὸ δὲ τὴν ἕω τὸν σὺν αὐτοῖς ἀφικόμενον διαναστήσαντες στρατηγὸν κατέλαβον τὰ βασίλεια· καὶ τῶν Στεφάνου τολμημάτων καταβοῶντες ἔλεγον μὴ δεῖσθαι δίκης μηδὲ βασάνου τὰ τούτου παρανομήματα. ὁ δέ γε στρατηγὸς διαφερόντως ἐβόα, ἀντι-

4 5 6 7 8 9

A HN (n) + GS (s) = r B²L + FVR [R bis **4** *δράματος οἱ*] (v) = z T

1 καὶ αὐτῆς B² | **7** *ἐπεπήκει* A | *καὶ τοῦ* auf Rasur A | **8** *ἐπιδείξας*|| A | *τῶν ἀρχιερέων καθεύδειν θάτερον* A | **8/9** *συνέβη* B² | **9** *δὲ* > T | **9/10** *ἐξῆλθεν καλέσων* ~ T | **10** *συνέβη* — **12** *κατέμενεν* Aᵐ | *εὐφράταν* ALv | **11** *δὲ*] *δέ γε* ALv | **12** *ὀνομάζεται* T | *κατέμενεν* ArvTCass. *κατέμεινεν* B²L | **14** u. **15** *εὐφράτας* ALv | *δὲ*] *γὰρ* T | **15** *δαίμονας* T **17** *εἰσ* Aˢ | *ὀνάγριος* T, *Onager* Cass. | **19** *τοῖς ποσὶν* > A | **20** *εἰσελθὼν* und *ἀπεκάλει* T | nach *τοὺς* + *τῆσ* gestrichen A | **21** *γεγενημένης* A **22** *μὲν* > An, übergeschrieben Aᶜ | **24** *γε* > AB² | *τοῖς ἄλλοις* — **25** *σὺν* > s | **25** *ὑπὸ τὴν ἕω δὲ* ~ T | **27** *βασάνου* AHB²v *βασάνων* NsLT, *verberibus* Cass. | **28** *τούτου* AzTCass. *τούτων* r | *γε* > B²

βολῶν κελεῦσαι τὸν βασιλέα μὴ συνοδικῶς ἀλλὰ δικαστικῶς ἐξετασθῆναι τὸ παράνομον τόλμημα, καὶ τοὺς τῶν ἐπισκόπων κληρικοὺς ὑπισχνεῖτο πρώτους εἰς αἰκίαν ἐκδώσειν, χρῆναι δὲ καὶ τοῦ Στεφάνου τοὺς ὑπηρέτας ταῦτα παθεῖν. ἐκείνου δὲ ἀναίδην ζυγομαχοῦντος καὶ λέγοντος μὴ δεῖν κληρικοὺς ὑπομεῖναι πληγάς, ἔδοξε καὶ βασιλεῖ καὶ τοῖς ἄρχουσιν ἔνδον ἐν τοῖς βασιλείοις τοῦ πράγματος γενέσθαι τὴν βάσανον. καὶ πρῶτον μὲν ἤροντο τὴν γυναῖκα, τίς αὐτὴν εἰς τὴν τῶν ἐπισκόπων ἀπήγαγε καταγωγήν. ἡ δὲ ἔφη νέον τινὰ πρὸς αὐτὴν ἀφικόμενον τὴν τῶν ξένων ἐπιδημίαν καὶ χρείαν εἰπεῖν, καὶ ὡς ἑσπέρας ἀφικόμενος ἀπήγαγέ τε εἰς τὴν καταγωγήν, καὶ τὸν οἰκεῖον ἐπιζητήσας λόχον καὶ τοῦτον εὑρὼν εἴσω τε τῆς αὐλίου θύρας εἰσήγαγε καὶ εἰς τὸν πρόδομον εἰσελθεῖν παρηγγύησε. προσετίθει δὲ καὶ τοῦ ἐπισκόπου τὴν πεῦσιν καὶ τὸ γενόμενον δέος καὶ τὴν εὐχὴν καὶ τῶν ἐπεισελθόντων τὴν ἔφοδον. ταῦτα μεμαθηκότες οἱ δικασταὶ τῶν συνειλημμένων εἰς μέσον ἄγουσι τὸν νεώτατον· ὃς οὐκ ἀναμείνας τὴν ἀπὸ τῶν μαστίγων ἀνάγκην τὸ συντεθὲν ἐγύμνωσε δρᾶμα, καὶ τὸν Ὄναγρον ταῦτα πάντα δεδρακέναι καθωμολόγησεν· ἀχθεὶς δὲ ἐκεῖνος τὸν Στέφανον ἔφη ταῦτα προστεταχέναι.

Οὕτω τοῦ Στεφάνου τὴν πονηρίαν μεμαθηκότες, τοῖς τηνικαῦτα παροῦσι τῶν ἐπισκόπων καθελεῖν τοῦτον ἐπέτρεψαν καὶ τῆς ἐκκλησίας ἐξήλασαν. οὐ μὴν παντάπασιν ἡ ἐκκλησία τῆς Ἀρειανικῆς ἠλευθερώθη λώβης. Λεόντιος γὰρ μετ' ἐκεῖνον τῆς προεδρίας ἔτυχεν, ἀνὴρ Φρὺξ μὲν τὸ γένος, τὴν δὲ γνώμην κρυψίνους καὶ τὰς ὑφάλους πέτρας μιμούμενος. ἀλλὰ τὰ μὲν κατὰ τοῦτον μικρὸν ὕστερον διηγήσομαι. τότε δὲ ὁ Κωνστάντιος, τὰ κατὰ τῶν ἐπισκόπων τυρευόμενα τῇ πείρᾳ μεμαθηκώς, ἐπέστειλεν Ἀθανασίῳ τῷ

26 unten II 24 — **27 f** vgl. Socrat. II 23, 4. Athanas. Histor. Arian. ad monach. 21

A HN (n) + GS (s) = r B²L + FVR [R von **12** *παρηγγύησε* an] (v) = z T

1 *δικαστικῶς* Arz Cass. *πολιτικῶς* T | **3** *4* *τοὺς* vor *τοῦ* ∽ n *ἀνέδην* HS | **5** *καὶ*¹ > B² | **7** *πρῶτον* AnSVT Cass. *πρώτην* GB²LF *ἤροντο* ArB²LT Cass. *ἠρώτων* v | **10** *ὡσ* übergeschrieben Ac | *τε* > T **11** *τε* > nT | **12** *παρεγγύησε* A *παρεσκεύασεν* B² | **14** *ἐπεισελθόντων* rzT *supervenientium* Cass. *ὑπεισελθόντων* A | **20** *Οὕτω*: *ī* am Rand HSS | *Οὕτω τοῦ*] *οὕτω τε* r *sic igitur* Cass. | **22** *ἀρειανῆσ* T | **23** *μετ' ἐκεῖνον τῆσ* AT *τῆσ μετ' ἐκεῖνον* rz | **24** *ἐτύγχανεν* B² | *τὸ μὲν γένος Φρύξ* ∽ n | **25** *ὑφάλασ* T | *μὲν* übergeschrieben Ac | *κατὰ τοῦτον*] *κατ' αὐτὸν* B² | **26** *δὲ* AT *δὴ* rz

μεγάλῳ καὶ ἅπαξ καὶ δὶς καὶ μέντοι καὶ τρίς, προτρέπων ἐκ τῆς Ἑσπέρας ἐπανελθεῖν. ἐγὼ δὲ τὴν μέσην ἐπιστολὴν μικρὰν οὖσαν ἐνθήσω τῇ συγγραφῇ.

»Κωνστάντιος Νικητὴς Αὔγουστος Ἀθανασίῳ. **11**

»Εἰ καὶ τὰ μάλιστα διὰ προτέρων γραμμάτων ἐδηλώσαμεν ὅπως »ἀμερίμνως εἰς τὸ ἡμέτερον κομιτάτον παραγένῃ διὰ τὸ μάλιστα »βούλεσθαι ἡμᾶς ἀποστεῖλαί σε εἰς τὰ ἴδια, ὅμως καὶ νῦν ταῦτα τὰ »γράμματα πρὸς τὴν σὴν στερρότητα δεδώκαμεν· δι' ὧν καὶ προ»τρεπόμεθα χωρὶς τινος ἀπιστίας καὶ φόβου ἐπιβῆναί σε δημοσίοις »ὀχήμασι καὶ σπουδάσαι πρὸς ἡμᾶς, ἵνα ὧν ἐπιθυμεῖς ἀπολαῦσαι »δυνηθῇς.«

Οὕτως αὐτὸν ἐπανελθόντα εὐμενῶς τε εἶδε καὶ τὴν Ἀλεξανδρέων **12**
ἀπολαβεῖν ἐκκλησίαν ἐκέλευσεν. ἀλλ' οἱ τότε παραδυναστεύοντες, τὴν Ἀρειανικὴν εἰσδεδεγμένοι νόσον, ἔφασκον χρῆναι τὸν Ἀθανάσιον μίαν παρασχεῖν ἐκκλησίαν τοῖς κοινωνεῖν οὐ βουλομένοις αὐτῷ. ταῦτα ἐκείνων μὲν τῷ βασιλεῖ, τοῦ δὲ βασιλέως πρὸς αὐτὸν εἰρηκότος, ἔφη δίκαιον εἶναι τοῖς βασιλέως προστάγμασιν εἴκειν, βούλεσθαι μέντοι καὶ αὐτὸς ἀπαγγεῖλαί τινα καὶ αἰτῆσαι. τοῦ δὲ βασιλέως **2**
ὑποσχομένου δώσειν ὅπερ ἂν αἰτήσοι προθύμως, δεῖσθαι ἔφη καὶ τοὺς ἐν Ἀντιοχείᾳ τοῖς τὰς ἐκκλησίας κατέχουσι κοινωνεῖν οὐ βουλομένους εὐκτηρίου νεῴ, καὶ δίκαιον ἕνα καὶ τούτοις τῶν οἴκων παρασχεθῆναι τῶν θείων. ἐπειδὴ δὲ ἐπένευσε βασιλεὺς ὀρθὴν εἶναι καὶ **3**

4—11 bei Athanas. Apol. c. Arian. 51. Socrat. II 23, 8—9. Symeon. Vita Athanas. 10 — **13**—S. 123, 4 vgl. Rufin. H. E. X 20, S. 986, 17—987, 9. Sozomen. III 20, 5—7. Socrat. II 23, 33—38. Vita Athanas. 18 PG 25 CCI. Photius (258) ebd. 10 CCXIX. Symeon. Vita Athanas. 11

A HN (n) + GS (s) = r B^2L + FVR (v) = z T [bis **2** *ἐπανελθεῖν*]

1 *καὶ δὶς καὶ μέντοι καὶ τρίς*] *καὶ μέντοι καὶ δὶσ καὶ τρίσ* A | **2** *μέσην* Am | **4** *ια* am Rand HSS | **6** *ἀμέριμνοσ* AS, aber corr. A^c | **10** *πρὸσ ἡμᾶσ* A rB^2vAthan.Socr. *πρὸσ ἡμᾶσ* + *καταλαβεῖν* L und übergeschrieben A^c | *ἐπιθυμῆσ* ALv | **12** *ιβ* am Rand HSS | **13** *ἐκκλησίαν ἀπολαβεῖν* ∾ nV | **14** *ἔφασκον* A *ἔφασαν* rz | **17** vor *βασιλέωσ* + *τοῦ* rB^2 | *προστάγμασιν* A = Sozom., *ἐπιτάγμασιν* rz | **18** *αὐτὸσ*] *αὐτὸν* An | *ἀπαγγεῖλαί* n *ἐπαγγεῖλαί* (*ἐ* auf Rasur A^c) A *ἐπαγγεῖλαί* sz | *καὶ αἰτῆσαι* An > sz | **20** *τοὺσ*] *τοῖσ* s | **20/21** *βουλομένουσ* HB^2 *βουλομένοισ* die übr. HSS | **21** *εὐκτηρίων νεῶν* HS *εὐκτηρίω νεώ* N | *καὶ*[1] > s | *τῶν οἴκων*] *οἶκον* n | **22** *ὁ βασιλεὺσ* nL

δικαίαν ἐπιψηφίσας τὴν αἴτησιν, ἀντεῖπον οἱ τῆς αἱρετικῆς φάλαγγος προστατεύοντες, μηδετέροις χρῆναι παρασχεθῆναι τὰς ἐκκλησίας εἰπόντες. οὕτω τὸν Ἀθανάσιον θαυμάσας Κωνστάντιος ἀπέπεμψεν εἰς τὴν Ἀλεξάνδρειαν. ἐτεθνήκει δὲ ὁ Γρηγόριος, ὑπ' αὐτῶν ἐκείνων 4
5 δεξάμενος τὴν σφαγήν. θεασάμενοι δὴ οὖν τὸν νομέα δημοθοινίας ἐπετέλουν καὶ ἑορτὰς λαμπροτάτας, αὐτόν τε γεραίροντες καὶ τὸν θεὸν ἀνυμνοῦντες.

Ἀλλὰ πάλιν σμικροῦ διεληλυθότος χρόνου Κώνστας μὲν τοῦ βίου τὸ τέρμα κατείληφεν. Κωνστάντιον δὲ οἱ ἄγοντες οὗπερ 13
10 ἐβούλοντο ἀνέμνησαν τῆς Ἀθανασίου χάριν πρὸς τὸν ἀδελφὸν γεγενημένης διαφορᾶς, καὶ ὡς μικροῦ δεῖν τὰ τῆς φύσεως δεσμὰ διαρρήξαντες πόλεμον ἂν κατ' ἀλλήλων ἐκίνησαν. τούτοις ὑπαχθεὶς ὁ 2
Κωνστάντιος οὐκ ἐλαθῆναι μόνον ἀλλὰ καὶ σφαγῆναι τὸν θεῖον προσέταξεν Ἀθανάσιον, καί τινα Σεβαστιανὸν ἐξέπεμψε στρατηγὸν
15 μετὰ στρατιᾶς ὅτι μάλιστα πλείστης, ἀνελεῖν κελεύσας ὡς ἀλιτήριον. ὅπως δὲ καὶ οὗτος ἐπεστράτευσε κἀκεῖνος διέφυγεν, αὐτὸς ὁ ταῦτα 3
πεπονθὼς καὶ παραδόξως σωθεὶς κάλλιον διηγήσεται. ἐν γὰρ τῇ τῆς φυγῆς Ἀπολογίᾳ ταῦτα διέξεισιν·

»Ἐξετασάτωσαν ὅμως καὶ τὸν τρόπον τῆς ἀναχωρήσεως καὶ 4
20 »μανθανέτωσαν παρὰ τῶν ἰδίων. ἦσαν γὰρ Ἀρειανοὶ συνδραμόντες »τοῖς στρατιώταις εἰς τὸ παροξύνειν αὐτοὺς καὶ ἀγνοοῦσι δεικνύναι »ἡμᾶς. καὶ εἰ καὶ οὕτως ἀσυμπαθεῖς τυγχάνουσιν, ἀλλὰ κἂν ἀκού»οντες ἠρεμείτωσαν αἰσχυνόμενοι. νὺξ μὲν γὰρ ἤδη ἦν καὶ τοῦ λαοῦ »τινες ἐπαννύχιζον, προσδοκωμένης συνάξεως. ὁ δὲ στρατηλάτης 5
25 »ἐξαίφνης ἐπέστη μετὰ στρατιωτῶν πλέον ἢ πεντακισχιλίων, ἐχόν»των ὅπλα καὶ ξίφη γυμνὰ καὶ τόξα καὶ βέλη καὶ ῥόπαλα, καθὰ καὶ »πρότερον εἴρηται. καὶ τὴν μὲν ἐκκλησίαν αὐτὸς περιεκύκλωσε στήσας

12—14 vgl. Socrat. II 26, 7 — **19**—S. 124, 22 Athanas. Apol. de fuga sua 24 — **26** ebd. 6. unten S. 126, 4/5.

* **8—18** Cass. V 1 — **19**—S. 124, 22 Cass. V 2

A HN (n) + GS (s) = r B²L + FVR [R bis 3 *ἀπέπεμψεν*] (v) = z T [von **19** an]

1 *ψηφίσασ* B² | **2** *τὰσ ἐκκλησίασ παρασχεθῆναι* AS | **4** *ὁ* > A | **6** *τε* > r | **8** *ιγ* am Rand HSS | *διεληλυθότοσ* A *παρεληλυθότοσ* rz **14** *Σεβαστιανὸν* = S. 126, 3] *Συριανὸν* bei Athan. Apol. ad Const. 25, Apol. de fuga sua 24 **17** nach *κάλλιον* + *δὲ* ausradiert A | *γὰρ* r *nam* Cass. *δὲ* Az | **19** *ἀθανασίου* am Rand A | *ἐξεταζέτωσαν* Athan. | *καὶ*² As | **20** *Ἀρειανοὶ*] *ἀδριανοῖσ* A | **22** *καὶ εἰ καὶ* Athan. *et licet* Cass. *καὶ εἰ* vT *εἰ καὶ* rB² und, *καὶ* ausradiert, A *εἰ* L | *οὕτωσ* szTAthan. *οὕτωσ δὲ* An | **25** *πλεῖον* TAthan.

»τοὺς στρατιώτας σύνεγγυς, ὡς μὴ δύνασθαί τινας ἐξελθόντας ἀπὸ
»τῆς ἐκκλησίας παρελθεῖν αὐτούς. ἐγὼ δὲ ἄλογον ἡγούμενος ἐν 6
»τοσαύτῃ συγχύσει καταλεῖψαι τοὺς λαοὺς καὶ μὴ μᾶλλον προκινδυ-
»νεύειν αὐτῶν, καθεσθεὶς ἐπὶ τοῦ θρόνου προέτρεπον τὸν μὲν διά-
»κονον ἀναγινώσκειν ψαλμόν, τοὺς δὲ λαοὺς ὑπακούειν »ὅτι εἰς τὸν
»αἰῶνα τὸ ἔλεος αὐτοῦ«, καὶ πάντας οὕτως ἀναχωρεῖν καὶ εἰς τοὺς
»οἴκους ἀπιέναι. ἀλλὰ τοῦ στρατηλάτου λοιπὸν ἐπεισελθόντος καὶ 7
»τῶν στρατιωτῶν περιλαβόντων τὸ ἱερατεῖον ἕνεκεν τοῦ συλλαβεῖν
»ἡμᾶς, οἱ μὲν εὑρεθέντες ἐκεῖ κληρικοὶ καὶ οἱ ἀπὸ τῶν λαῶν ἐβόων
»καὶ ἠξίουν ἀναχωρεῖν ἤδη καὶ ἡμᾶς. ἐγὼ δὲ μᾶλλον ἀντέλεγον μὴ
»πρότερον ἀναχωρήσειν εἰ μὴ πάντες καθ' ἕκαστον ὑπεξέλθοιεν.
»ἀναστὰς οὖν καὶ προστάξας εὐχήν, οὕτως ἀντηξίουν ἀπιέναι τοὺς
»πάντας, βέλτιον εἶναι λέγων ἐμὲ κινδυνεύειν ἢ βλαβῆναί τινας ἐξ
»ὑμῶν. ἐξελθόντων τοίνυν τῶν πλείστων καὶ τῶν λοιπῶν ἐπακο- 8
»λουθούντων, οἱ σὺν ἡμῖν ὄντες ἐκεῖ μοναχοὶ καί τινες τῶν κληρικῶν
»ἀνελθόντες εἵλκυσαν ἡμᾶς. καὶ οὕτως ἐπὶ μάρτυρι τῇ ἀληθείᾳ, τῶν
»στρατιωτῶν τῶν μὲν περιεστηκότων τὸ ἱερατεῖον τῶν δὲ περιερχο-
»μένων τὴν ἐκκλησίαν, διήλθομεν τοῦ κυρίου ὁδηγοῦντος καὶ αὐτοῦ
»φυλάττοντος, καὶ λαθόντες αὐτοὺς ἀνεχωρήσαμεν δοξάζοντες μεγάλως
»αὐτὸν τὸν θεόν, ὅτι μήτε προδεδώκαμεν τὸν λαόν, ἀλλὰ καὶ προπέμ-
»ψαντες αὐτούς, διασωθῆναι καὶ διαφυγεῖν τὰς χεῖρας τῶν ζητούντων
»ἠδυνήθημεν.«

5/6 Psal. 117, 1—3 u. 29. Psal. 135, 1—26

A HN (n) + GS (s) = r B²L + FV (v) = z T

9 *κληρικοὶ* rzT Cass. Athan. *καὶ κληρικοὶ* A | *ἐβόων* Arz Cass. Athan. *ἀνεβόων* T | **10** *καὶ*¹ > LvAthan., vgl. *poscentes* Cass. | *ἤδη* = Athan.] *δὴ* B² | *καὶ ἡμᾶς* rzT Cass. Athan. *ἡμᾶς* A | *ἀντέλεγον μᾶλλον* ∾ T | **11** *καθ' ἕκαστον ὑπεξέλθοιεν* ArT Cass. Athan. *ὑπεξέλθοιεν* (*ἐξέλθοιεν* v) *καθ' ἕκαστον* z **12** *προσευχὴν προστάξας* B² | *τοὺς*] *πρότερον τοὺς* Athan. > r | **13** *ἐξ* Arz Athan. *ἀφ'* T | **14** *τῶν*¹ rT Athan. gestrichen in A > z | **15** *ἐκεῖ* AnzT Cass. Athan. *ἐκεῖνοι* s | **17** *τῶν μὲν* sB²LAᶜT Athan. Cod. Bas. *τῶν* v *μὲν* An Athan. Cod. Par. | *περιεστηκότων* = Cass. Athan.] *προεστηκότων* L | *τῷ ἱερατείῳ* nG | **19** *λαθόντες* AB²L Athan. *λανθάνοντες* rvT | *ἀνεχωρήσαμεν* = Athan.] *ἀνεχωροῦμεν* n | *μεγάλως* Arz Cass. Athan. > T | **20** *αὐτὸν* AzT Athan. > r Cass. | *μήτε* rB²T Athan. *neque* Cass. *μὴ* ALv | *προδεδώκαμεν* rB²vAᶜT Cass. Athan. *προδέδωκε* AL | *καὶ* rzT Athan. > A | **21** *αὐτοὺς* übergeschrieben Aᶜ | *διαφυγεῖν* A Athan. *διεκφυγεῖν* rzT, s. S. 125, 1 | *τὰς* > s

Οὕτω τούτου τὰς μιαιφόνους ἐκείνων διαφυγόντος χεῖρας, Γεώρ- **14**
γιος μὲν λύκος ἕτερος τῶν προβάτων ἐκείνων ἐπιστεύθη τὴν ἐξουσίαν, ὠμότερον δὲ λύκου παντὸς καὶ ἄρκτου καὶ παρδάλεως τοῖς προβάτοις ἐχρῆτο. τὰς μὲν γὰρ διὰ βίου τὴν παρθενίαν ὑπεσχημένας οὐ τὴν 5 *Ἀθανασίου μόνον ἀρνεῖσθαι κοινωνίαν ἀλλὰ καὶ τῶν πατέρων ἀναθεματίζειν τὴν πίστιν ἠνάγκαζε. σύνεργον δὲ τῆς ὠμότητος εἶχε* **2** *Σεβαστιανόν τινα τῶν στρατιωτικῶν καταλόγων ἡγούμενον, ὃς ἐν μέσῃ τῇ πόλει πυρὰν ἀνάψας καὶ ταύτῃ τὰς παρθένους γυμνὰς παρα-*
στήσας ἀρνεῖσθαι τὴν πίστιν ἐκέλευεν. αἱ δὲ θέαμα δεινὸν ὁμοῦ **3**
10 *καὶ ἐλεεινὸν πιστοῖς ὁμοῦ καὶ ἀπίστοις προκείμεναι, καὶ τὴν ἐσχάτην ἀτιμίαν τιμὴν μεγίστην ἐνόμιζον καὶ τὰς ὑπὲρ τῆς πίστεως μάστιγας ἀσμένως ὑπέμενον. καὶ ταῦτα δὲ σαφέστερον ὁ τούτων ποιμὴν διηγήσεται.*

»Εἶτα ἐλθὼν τῇ Τεσσαρακοστῇ ὁ παρ᾽ αὐτῶν ἀποσταλεὶς ἐκ **4**
15 *»Καππαδοκίας Γεώργιος ἠΰξησεν ἃ παρ᾽ αὐτῶν μεμάθηκε κακά. μετὰ »γὰρ τὰ ἑβδομα τοῦ Πάσχα παρθένοι εἰς δεσμωτήριον ἐβάλλοντο, »ἐπίσκοποι ἤγοντο ὑπὸ στρατιωτῶν δεδεμένοι, ὀρφανῶν καὶ χηρῶν »ἡρπάζοντο αἱ οἰκίαι, καὶ ἁρπαγαὶ καὶ ἔφοδοι κατὰ τῶν οἰκιῶν ἐγί-»νοντο καὶ νυκτὸς Χριστιανοὶ κατεφέροντο, ἐπεσφραγίσθησαν οἰκίαι*
20 *»καὶ ἀδελφοὶ κληρικῶν ὑπὲρ τῶν ἀδελφῶν ἐκινδύνευον. καὶ δεινὰ* **5**
»μὲν ταῦτα, δεινότερα δὲ τὰ μετὰ ταῦτα τολμήματα. τῇ γὰρ ἑβδομάδι »μετὰ τὴν ἁγίαν Πεντηκοστὴν ὁ λαὸς νηστεύσας ἐξῆλθε περὶ τὸ

14—S. 127, 13 Athanas. Apol. de fuga sua 6 — 7. vgl. Vita Athanas. 20 PG 25 CCIII. bei Socrat. II 28 [= Symeon. Vita Athanas. 12. Niceph. H. E. IX 29. Cass. V 3]

A HN (n) + GS (s) = r B²L + FV (v) = z T

1 $\overline{\iota\delta}$ am Rand HSS | **2** *ἐξουσίαν*] *ἐκκλησίαν* v | **3** vor *ὠμότερον* + *ὡς* v | *ἄρκτον*] *ἄρκου* AL | *παρδάλεως καὶ ἄρκτου* ∼ T | **4** *ἐκέχρητο* T *ὑπισχημένας* ANB²T | **5** *μόνον* Ar *μόνου* T *μόνην* z | **8** *πυρὰν* T *πῦρ* Arz | *ἅψας* T | **8/9** *παραστήσας* AB²v *περιστήσας* rLT, s. S. 126, 9 | **9** *ἐκέλευεν* HB²v *ἐκέλευον* A *ἐκέλευσεν* NsLT | **9/10** *δεινὸν ὁμοῦ καὶ ἐλεεινὸν* T und, *ὁμοῦ* gestrichen, A *ἐλεεινὸν ὁμοῦ καὶ δεινὸν* B² *δεινὸν καὶ ἐλεεινὸν* rLv | **10/11** *καὶ τὴν ἐσχάτην ἀτιμίαν τιμὴν μεγίστην* T *καὶ τὴν ἀτιμίαν τιμὴν μεγίστην* (*μεγίστην τιμὴν* ∼ n) r *τιμὴν μεγάλην τὴν ἀτιμίαν* z und auf Rasur A^c | **14** am Rand *ἀθανασίου* A | **15** *κακὰ μεμάθηκε* ∼ B² | **18** *αἱ* > VT Athan. Socr. *ἁρπαγαὶ καὶ Π ἅρτοι* Athan. Socr. (aber *ἁρπαγαὶ καὶ* Symeon > Cass.) | **19** *οἱ Χριστιανοὶ* Athan. Socr. | **20** *κληρικῶν* AszT Athan. Socr. > n | **21** *τὰ* übergeschrieben A^c | **22** *ἐξῆλθον* T | *περὶ* = Athan. Socr. *ἐπὶ* B²

>κοιμητήριον εὔξασθαι, διὰ τὸ πάντας ἀποστρέφεσθαι τὴν πρὸς
>Γεώργιον κοινωνίαν. ἀλλὰ τοῦτο μαθὼν ὁ παμπόνηρος αὐτὸς 6
>παροξύνει τὸν στρατηλάτην Σεβαστιανόν, Μανιχαῖον ὄντα. καὶ
>λοιπὸν αὐτὸς μετὰ πλήθους στρατιωτῶν ὅπλα καὶ ξίφη γυμνὰ καὶ
>τόξα καὶ βέλη φερόντων ὥρμησεν ἐν αὐτῇ τῇ κυριακῇ κατὰ τῶν
>λαῶν. καὶ ὀλίγους εὑρὼν εὐχομένους (οἱ γὰρ πλεῖστοι λοιπὸν διὰ 7
>τὴν ὥραν ἀναχωρήσαντες ἦσαν), τοιαῦτα εἰργάσατο οἷα παρ' αὐτῶν
>ἔπρεπεν ἀκούσαντα πρᾶξαι. πυρκαϊὰν γὰρ ἀνάψας καὶ στήσας παρ-
>θένους παρὰ τὸ πῦρ, ἠνάγκαζε λέγειν ἑαυτὰς τῆς Ἀρείου πίστεως
>εἶναι. ὡς δὲ νικώσας αὐτὰς ἔβλεπε, γυμνώσας λοιπὸν οὕτως κατέ- 8
>κοψεν εἰς τὰ πρόσωπα, ὡς μετὰ χρόνον αὐτὰς μόλις ἐπιγνωσθῆναι.
>ἄνδρας δὲ κρατήσας τεσσαράκοντα καινοτέρῳ τρόπῳ κατέκοψεν.
>ῥάβδους γὰρ τὰς ἀπὸ τῶν φοινίκων ⟨εὐθὺς τεμὼν⟩ ἐν αὐταῖς ἐχούσας
>ἔτι τοὺς σκόλοπας, τὰ νῶτα τούτων οὕτως ἐξέδειρεν ὡς τινὰς μὲν
>πολλάκις χειρουργηθῆναι διὰ τοὺς ἀποπαγέντας ἐν αὐτοῖς σκόλοπας,
>τινὰς δὲ καὶ μὴ φέροντας ἀποθανεῖν. πάντας μὲν οὖν τοὺς περι- 9
>λειφθέντας ἀθρόως καὶ τὰς παρθένους ἐξώρισαν εἰς τὴν μεγάλην
>Ὄασιν· τὰ δὲ σώματα τῶν τετελευτηκότων οὐδὲ τοῖς ἰδίοις κατὰ
>τὴν ἀρχὴν ἀποδοθῆναι πεποιήκασιν, ἀλλ' ἔκρυψαν ὡς ἠθέλησαν,

A HN (n) + GS (s) = r B²L + FV (v) = z T

2 *αὐτὸς* rLvT Athan. Socr. *οὗτος* AB² | **4** *ὅπλα* — **5** *φερόντων* auf Rasur Ac **5** *καὶ βέλη* = Athan. Socr. > v | **6** *γὰρ* = Athan. Socr.] *γὰρ* + *δὴ* ausradiert A , *λοιπὸν* = Athan. Socr. > T | **7** *παρ' αὐτῶν* = Athan. Socr.] *παρ' αὐτοῦ* H Symeon | **8** *ἔπρεπεν ἀκούσαντα πρᾶξαι* ATAthan. *ἔπρεπε* (*παρ' αὐτοῦ* ∾) *ἀκούσαντας πρᾶξαι* Symeon *ἀκούσαντα ἔπρεπε πρᾶξαι* rLv und, mit Hinweisungsbuchstaben *β*, *α*, *γ*, Ac *ἔπρεπε πρᾶξαι* B² *ἔπρεπε πραχθῆναι* Socr. | **9** *αὐτὰς* A | **10** nach *ἔβλεπε* + *καὶ μὴ φροντιζούσας τοῦ πυρός* Athan. Socr. | **10/11** *κατέκοψεν* Asz Athan. *κατέκοψεν αὐτῶν* T *αὐτὰς κατέκοψεν* n *κατέκοψεν αὐτὰς* Socr. | **11** *πρόσωπα* ArT Athan. Socr. *πρόσωπα* + *τύπτεσθαι κελεύων* z und am Rand Ac | **13** *ῥάβδους γὰρ τὰς* ANGz Athan. Socr. *ῥάβδους γὰρ τοὺς* T *ῥάβδοις γὰρ ταῖς* HS | *εὐθὺς τεμὼν* > *Π*, hergestellt nach Athan. Socr. und nach den Accus. *ῥάβδους . . . ἐχούσας* der meisten HSS | *ἐχούσας* NGLvT Athan. Socr. *ἐχούσαις* HSB² und, *ι* gestrichen, A | **14** *ἔτι*] *ἐπὶ* T | **15** *διὰ* — *σκόλοπας* = Athan. Socr. > s] *παγέντας* L | **16** *μὲν οὖν*] *μὲν* G *δὲ* S | **16/17** *περιληφθέντας* ArB²Athan. Socr. Cod. A | **17** *τὰς παρθένους* rB²T Socr. Cod. A Symeon. Nic. Vita Athanasii *τῶν* (*τῶν* auf Rasur Ac) *παρθένων* A Lv *τὴν παρθένον* Athan. Socr. Codd. FCM (= Cass. *quandam virginem*) | *ἐξώρισαν* = Athan.] *ἐξορίσας* T *ἐξώρισεν* Socr. Codd. AFCM (= Cass.) Nic. Symeon *ἀποστέλλει* Vita Athanasii | **18** *ὅασαν* Ns Socr. Cod. A | *τελευτησόντων* T | **18 19** *κατὰ τὴν ἀρχὴν* = Athan. Socr. > T

»ἅταφα βαλόντες, ὑπὲρ τοῦ δοκεῖν αὐτοὺς λανθάνειν τὴν τοσαύτην
»ὠμότητα. πράττουσι δὲ τοῦτο πεπλανημένοι τῇ διανοίᾳ οἱ παρά- 10
»φρονες· τῶν γὰρ οἰκείων τῶν τετελευτηκότων, χαιρόντων μὲν διὰ
»τὴν ὁμολογίαν, θρηνούντων δὲ διὰ τὰ σώματα, μείζων ἐξηχεῖτο κατ'
5 »αὐτῶν ὁ τῆς ὠμότητος ἔλεγχος. καὶ γὰρ εὐθὺς ἀπὸ τῆς Αἰγύπτου 11
»καὶ τῶν Λιβυῶν ἐξώρισαν μὲν ἐπισκόπους Ἀμμώνιον, Μούϊον, Γάϊον,
»Φίλωνα, Ἑρμῆν, Πλήνιον, Ψενόσιριν, Νειλάμμωνα, Ἄγαθον, Ἀνάγαμ-
»φον, Μάρκον, Ἀμμώνιον ἕτερον, Μάρκον ἕτερον, Δρακόντιον, Ἀδέλφιον,
»Ἀθηνόδωρον, καὶ πρεσβυτέρους Ἱέρακα καὶ Διόσκορον. καὶ οὕτω
10 »πικρῶς ἤλασαν αὐτοὺς ὡς τινὰς μὲν αὐτῶν ἐν ταῖς ὁδοῖς, τινὰς δὲ
»ἐν αὐτῷ τῷ ἐξορισμῷ ἀποθανεῖν. ἐφυγάδευσαν δὲ ἐπισκόπους πλείους
»ἢ τριάκοντα. σπουδὴ γὰρ ἦν αὐτοῖς κατὰ τὸν Ἀχαάβ, εἰ δυνατόν,
»ἐξᾶραι τὴν ἀλήθειαν.«

Καὶ παραμυθητικοὺς δὲ λόγους ταῖς παρθένοις ἐκείναις αἳ τὰ 12
15 παγχάλεπα ἐκεῖνα ὑπέμειναν γράφων, καὶ ταῦτα ἐντέθεικε·

»Διὰ τοῦτο μηδὲ γινέσθω τις ὑμῶν περίλυπος, εἰ καὶ θαπτο- 13
»μέναις ὑμῖν φθονοῦσιν οἱ δυσσεβεῖς καὶ κωλύουσι τὰς ἐκφοράς. καὶ

* **6—9** Nicetas Thesaur. VI 10 PG 140, 16 D — **14**—S. 128, 8 Cass. V 3

A HN (n) + GS (s) = r B^2L + FV (v) = z T

1 *βαλόντεσ* ArT Athan. *βάλλοντεσ* z Socr. Codd. AFC | **2** *τῇ διανοίᾳ* AT Athan. Socr. *τὴν διάνοιαν* rzA^c | **3** *τῶν*^{2} > A | *τελευτηκότων* T | **4** *μείζων* AnGLvT *μεῖζον* SB^2Athan. Socr. | **5** nach *τῆς*^{1} + *ἀσεβείας καὶ* Athan. Socr. | *ἔλεγχοσ* Arz Athan. Socr. *πόλεμοσ* T | **6** *Μοΐϊον* = Athan.] *μαΐϊον* L *μώϊον* Cod. Nicet. *Θμοῦϊν* Socr. | **7** *πλείνιον* T | *Ψενόσιριν* = Cod. Nicet. Athan. Socr.] *ψινόσιριν* H *ψεννόσιριν* T | *νειλάμμωνα* ANL Cod. Nicet. Socr. *νιλάμμωνα* HsT *νηλάμμωνα* v *λιλάμωνα* B^2 *πηλάμμωνα* Athan. Codd. Par. Bas. | *ἄγαθον* T Cod. Nicet. Athan. *ἀγάπιον* rz und auf Rasur A^c *Ἀγάθωνα* Socr. | **7/8** *Ἀνάγαμφον* = Athan. Socr.] *ἄναμφον* s *ἄγαμφον* Cod. Nicet. | **8** *μάρκον, ἀμμώνιον, ἕτερον* (*ἀμμώνιον ἕτερον.* interpung. nT) *μάρκον* (+ *ἕτερον.* n), *δρακόντιον, ἀδέλφιον* rzT Athan. Socr. *μάρκον δρακόντιον ἀδέλφιον ἀμμώνιον ἕτερον καὶ ἕτερον μάρκον* A | **10** *αὐτῶν* übergeschrieben A^c | **11** *ἐν αὐτῷ* Arz Athan. Socr. *ἐπ' αὐτῶν* T | *ἐφυγάδευσαν* rB^2vT Athan. Socr. *ἐφύνευσαν* L *ἐφόν[illegible]ευσαν* (*ον* auf Rasur A^c) A | **11/12** *πλείουσ ἢ*] *πλείουσ* (*ἡ* auf Rasur A^c) A *πλεῖον ἤ* B^2 *πλείουσ* Athan. Socr. Codd. | **13** *τὴν* AB^{2}L Athan. Socr. *καὶ τὴν* rv | **16** *διὰ τοῦτο* ArT Cass. *διὰ τοῦτο* + *φησὶ* z und übergeschrieben A^c | **16/17** *θαπτομέναισ ὑμῖν* rT *θαπτομένοισ ὑμῖν* Lv und, *οἷσ* u. *ἵν* auf Rasur, A^c *θαπτομένουσ ὑμᾶσ* B^2 | **17** *φθονῶσιν* B^2F

»μέχρι γὰρ τούτων ἡ καταστροφὴ τῶν Ἀρειανῶν ἔφθασε· καὶ τὰς »μὲν πύλας κλείουσι, περὶ δὲ τὰ μνήματα ὡς δαίμονες καθέζονται, »ἵνα μή τις τῶν ἀπογενομένων ἀποτεθῇ.«

Ταῦτα μὲν οὖν καὶ τὰ προσόμοια τούτοις ὁ Γεώργιος ἐν Ἀλεξαν- **14**
δρείᾳ εἰργάζετο. ὁ δὲ θεῖος Ἀθανάσιος οὐδὲν χωρίον ὀχυρὸν ἐνόμιζεν εἰς ἀσφάλειαν, τοῦ βασιλέως ἢ ζῶντα ἀχθῆναι προστεταχότος ἢ τεθνεῶτος κομισθῆναί οἱ τὴν κεφαλὴν καὶ μισθὸν τῷ τοῦτο δρῶντι ὑπισχνουμένου ὅτι μάλιστα πλεῖστον.

Αὐτὸς δὲ δὴ ὁ Κωνστάντιος, Μαγνεντίου μετὰ τὴν Κώνσταντος **15**
τελευτὴν τῆς Ἑσπέρας κεκρατηκότος, ἐπὶ τὴν Εὐρώπην ἐξώρμησε,
κατὰ τῆς ἐκείνου τυραννίδος στρατεύων. ἀλλ' οὐδὲ ὁ χαλεπὸς οὗτος **2**
πόλεμος τὸν κατὰ τῶν ἐκκλησιῶν κατέλυσε πόλεμον· πείθουσι γὰρ δὴ τὸν πάντα ῥᾳδίως πειθόμενον καὶ τὴν αἱρετικὴν εἰσδεξάμενον νόσον, εἰς Μεδιόλανον (πόλις δὲ αὕτη τῆς Ἰταλίας) σύνοδον συνα-
γεῖραι, καὶ πρῶτον μὲν τοὺς συνεληλυθότας ἅπαντας ἀναγκάσαι τῇ παρὰ τῶν ἀδίκων ἐκείνων δικαστῶν ἐν Τύρῳ γεγενημένῃ καθαιρέσει συνθέσθαι, εἶθ' οὕτως Ἀθανασίου τῶν ἐκκλησιῶν ἐξελαθέντος ἑτέραν **3**
πίστεως ἐκθέσθαι διδασκαλίαν. ἀλλὰ συνῆλθον μὲν τὰ βασιλικὰ δεξά-
μενοι γράμματα, οὐδέτερον δὲ ὁρᾶσαι τῶν εἰρημένων ἠνέσχοντο, ἀλλ' ἄντικρυς παρόντα τὸν βασιλέα διελέγξαντες ὡς ἄδικα παρεγγυῶντα καὶ δυσσεβῆ, καὶ τῶν ἐκκλησιῶν ἐξηλάθησαν καὶ τὰς τῆς οἰκουμένης ἐσχατιὰς οἰκεῖν κατεκρίθησαν. καὶ τοῦτο δὲ πάλιν Ἀθανά-
σιος ὁ θαυμάσιος ἐν ἐκείνῃ τῇ Ἀπολογίᾳ συγγέγραφε.

»Τίς τοσοῦτον δύναται μνημονεῦσαι ὅσον ἐκεῖνοι πεποιήκασιν; **4**

5—22 vgl. Rufin. H. E. X 19, 985, 20—24. X 20—21, 987, 14—988, 2 — **9—22** Sozomen. IV 8, 5—6 und 9, 1—4. Socrat. II 36 — **24**—S. 129, 18 Athanas. Apol. de fuga sua 4—5

* **19**—S. 129, 18 Cass. V 16

A HN (n) + GS (s) = r B^2L + FV (v) = z T [bis **8** u. von **22** *τοῦτο* an]

2 *ἐγκαθέζονται* B^2 | **6** *ἢ*^{1} > T, *aut* Cass. | *προστεταχότος ἀχθῆναι* ~ T | **7** *οἱ* AT *αὐτοῦ* rz, *caput eius . . . sibi . . . afferri* Cass. | *τούτω* A | **8** *ὑπισχνομένου* A | *ὅτι μάλιστα* > B^2 | **9** *ιε* am Rand HSS | *αὐτὸς δὲ δὴ οὗτος δὲ* L | **12** *κατέλνε* B^2 | **13** *δὴ*] *ἤδη* V > B^2L | *τὸν* As | vor *πάντα* + *τὰ* B^2 | **14/15** *συνεγεῖραι* A | **15** *ἅπαντας* AB^2 > rLv | **16** *δικαστῶν ἐν Τύρῳ* > B^2 | nach *δικαστῶν* + *καθέκαστον* Lv und am Rand Ac | **17** nach *συνθέσθαι* + *τῇ ἐν τύρω δηλονότι γεγενημένῃ* B^2 | **18** *ἐκθέσθαι διδασκαλίαν* A *διδασκαλίαν ἐκθέσθαι* rz | **23** *ὁ θαυμάσιος* Am | *συγγεγράφηκε* T | **24** *τοσοῦτον* = Cass. Athan.] *τοιοῦτον* v

»ἄρτι γὰρ εἰρήνην ἐχουσῶν τῶν ἐκκλησιῶν καὶ τῶν λαῶν εὐχομένων »ἐν ταῖς συνάξεσιν, ὁ μὲν ἐπίσκοπος τῆς Ῥώμης Λιβέριος καὶ Παυλῖνος »ὁ τῆς μητροπόλεως τῶν Γαλλίων καὶ Διονύσιος ὁ τῆς μητροπόλεως »τῆς Ἰταλίας καὶ Λουκίφερ ὁ τῆς μητροπόλεως τῶν κατὰ Σαρδανίαν »νήσων καὶ Εὐσέβιος ἀπὸ τῆς Ἰταλίας, οἱ πάντες ἐπίσκοποι ἀγαθοὶ »καὶ τῆς ἀληθείας κήρυκες, ἁρπάζονται καὶ ἐξορίζονται· πρόφασιν »οὐδεμίαν ἔχοντες ἢ ὅτι μὴ συνέθεντο τῇ Ἀρειανῇ αἱρέσει μηδὲ ὑπέ»γραψαν αὐτοῖς καθ' ἡμῶν ἐν αἷς ἔπραξαν συκοφαντίαις. περὶ γὰρ »τοῦ μεγάλου καὶ εὐγηροτάτου καὶ ὁμολογητοῦ ἀληθῶς Ὁσίου περιττόν »ἐστιν ἐμὲ καὶ λέγειν· ἴσως γὰρ ἐγνώσθη πᾶσιν ὅτι καὶ τοῦτον ἐξο»ρισθῆναι πεποιήκασιν, οὐ γὰρ ἄσημος ἀλλὰ καὶ πάντων μάλιστα »περιφανὴς ὁ γέρων. ποίας γὰρ οὐχ ἡγήσατο συνόδου καὶ λέγων »ὀρθῶς οὐ πάντας ἔπεισε; ποία ἐκκλησία τῆς τούτου προστασίας οὐκ »ἔχει μνήματα κάλλιστα; τίς ὀδυρόμενός ποτε προσελθὼν αὐτῷ οὐ »χαίρων ἀπῆλθεν ἀπ' αὐτοῦ; τίς ἤτησε δεόμενος καὶ οὐκ ἀνεχώρησε »τυχὼν ὧν ἠθέλησεν; καὶ ὅμως καὶ κατὰ τούτου τετολμήκασιν, ὅτι »καὶ οὗτος εἰδὼς ἃς ποιοῦσι διὰ τὴν ἀσέβειαν αὐτῶν συκοφαντίας »οὐχ ὑπέγραψε ταῖς καθ' ἡμῶν ἐπιβουλαῖς.«

Ὁποῖα μὲν δὴ κατὰ τῶν ἁγίων ἐκείνων ἀνδρῶν ἐτολμήθη, τὰ **6** συγγεγραμμένα διδάσκει· ὁπόσα δὲ καὶ ἄλλοις ἐπεβούλευσαν πλείστοις οἱ τῆς Ἀρειανικῆς φάλαγγος προστατεύοντες, πάλιν ὁ θεῖος οὗτος ἀνὴρ ἐν τῷδε διηγήσατο τῷ συγγράμματι.

»Τίνα γάρ ποτε διώκοντες καὶ καταλαβόντες οὐχ ὕβρισαν ὡς **7**

23—S. 130, 20 Athanas. Apol. de fuga sua 3

A HN (n) + GS (s) = r B^2L + FV (v) = z T

3 *γαλλίων* ANB^2T *γαλλιῶν* sLv | **4** *τῆς*^{1} > rT | *τῆς Ἰταλίας — μητροπόλεως* > Lv | *σαρδηνίαν* rF *σαρδανίων* T *Sardiniae* Cass. | **7** *τῇ* > T *ἀρειανῇ* Arz Athan. *ἀρειανικῇ* T | **8** *αὐτοῖς* = Athan.] *αὐτοὶ* VT | *ἔπραξαν* AnT *ἔγραψαν* z *ὑπέγραψαν* (*ὑπέ* auf Rasur G) s *ἐπλάσαντο διαβολαῖς καὶ* Athan. | **9** *ὁμολογητοῦ* > L | **10** *ἐμὲ* = Athan. > B^2T | *καὶ*^{1} T Athan. ausradiert in A *etiam* Cass. > rz | *καὶ*^{2} rzT Athan. Cass. > A | **12** *οὐ καθηγήσατο* Athan. **13** *οὐ* > An, übergeschrieben Ac | nach *ποία* + *δὲ* B^2 + *τις* Athan., *quae* Cass. **14** *μνήματα* AT *μνημόσυνα* rz *μνημεῖα* Athan. *memoriam* Cass. | *κάλλιστα* ArT *τὰ κάλλιστα* z Athan. | *ὀδυρώμενός* A | *ποτε* nach *αὐτῷ* ~ T | **16** *τυχὼν* = Athan.] *ἐπιτυχὼν* n | **17** *οὗτος* Arz *αὐτὸς* T Athan., nicht übersetzt von Cass. **19** *ἁγίων* > L | *ἀνδρῶν ἐκείνων* ~ L | *τετολμήκασι* T | **20** *διδάξει* B^2 **23** *ὡς* = Athan.] *καθὼς* B^2

»ἠθέλησαν; τίνα ζητοῦντες καὶ εὑρόντες οὐχ οὕτως διέθηκαν ὡς ἦ »τελευτῆσαι κακῶς ἢ λωβηθῆναι πανταχόθεν; ἃ γὰρ οἱ δικασταὶ »δοκοῦσι ποιεῖν, ταῦτα ἐκείνων ἐστὶν ἐνεργήματα· καὶ μᾶλλον οὗτοι »τῆς ἐκείνων προαιρέσεως καὶ πονηρίας εἰσὶν ὑπηρέται. ποῖος τοίνυν 8
»τόπος οὐκ ἔχει τῆς κακίας αὐτῶν ὑπόμνημα; τίνα φρονοῦντα κατ' »αὐτῶν οὐ συνεσκεύασαντο, πλασάμενοι προφάσεις κατὰ τὴν Ἰεζάβελ; »ποία νῦν ἐκκλησία οὐ θρηνεῖ διὰ τὰς ἐκείνων ἐπιβουλάς; Ἀντιόχεια »μὲν δι' Εὐστάθιον τὸν ὁμολογητὴν καὶ ὀρθόδοξον, Βαλανέαι δὲ δι' »Εὐφρατίωνα, καὶ Πάλτος μὲν καὶ Ἀντάραδος διὰ Κυμάτιον καὶ Καρ»τέριον, ἡ δὲ Ἀδριανούπολις δι' Εὐτρόπιον τὸν φιλόχριστον καὶ τὸν »μετ' αὐτὸν Λούκιον, τὸν πολλάκις παρ' αὐτῶν καὶ ἁλύσεις φορέ»σαντα καὶ οὕτως ἀποθανόντα, καὶ Ἄγκυρα μὲν διὰ Μάρκελλον, Βέροια »δὲ διὰ Κῦρον καὶ Γάζα δι' Ἀσκληπᾶν. τούτους γὰρ πολλὰ πρότερον 9
»ὑβρίσαντες, καὶ ἐξορισθῆναι πεποιήκασιν οἱ δόλιοι. Θεόδουλον δὲ καὶ »Ὀλύμπιον ἀπὸ τῆς Θράκης ὄντας καὶ ἡμᾶς καὶ πρεσβυτέρους ἡμετέ»ρους οὕτως ἐποίησαν ζητηθῆναι, ὡς εἰ εὑρεθείημεν κεφαλῆς ὑπο»στῆναι τιμωρίαν· καὶ τάχα ἂν ἀπεθάνομεν οὕτως, εἰ μὴ παρὰ »γνώμην αὐτῶν ἐφύγομεν καὶ τότε. τοιαῦτα γάρ ἐστι τὰ μὲν κατὰ »τῶν περὶ Ὀλύμπιον πρὸς τὸν ἀνθύπατον Δονάτον, τὰ δὲ καθ' ἡμῶν »πρὸς Φιλάγριον δοθέντα γράμματα.«

Ταῦτα τῆς δυσσεβοῦς συμμορίας τὰ κατὰ τῶν ἁγίων τολμήματα.

A HN (n) + GS (s) = r B²L + FVR [R von **3** *ταῦτα* an] (v) = z T

2 *πανταχόθεν* am Rand Ac | **3** *ταῦτα* = Athan. Cod. Par.] *καὶ ταῦτα* AN *κατ'* Athan. Cod. Bas. | **4** *πονηρίας* = Athan.] *πολιτείας* n | **7** nach *ἐκείνων* + *κατὰ τῶν ἐπισκόπων αὐτῶν* Athan. | **8** *βαλανίαι* T | **9** *εὐφρατίωνα* rLvT Athan. *εὐφράτιον* B² *εὐφρατίονα* (α übergeschrieben Ac) A | *πάλτος* B²Athan. Cod. Bas. *πλάτος* Athan. Cod. Par. *πόλτος* T *πόντος* rLv, und (*ον* auf Rasur Ac) A | *ἀντάρατος* NG *ἀντάραντος* H | *κυμάτιον* TAthan. *κυντιανὸν* rz und auf Rasur Ac | **10** *εὐτρόπιον* ArzAthan. *εὐπρέπιον* T | **11** *μετ' αὐτὸν* ATAthan. *μετὰ τοῦτον* rz | **12** *μὲν διὰ* — **13** *Κῦρον* = Athan. > s | *βέρροια* T | **13** *κύρον* T | *ἀσκλήπαν* T | *γὰρ Π μὲν γὰρ* Athan. | **14** *ὑβρίσαντες* ArzAthan. *ἐξυβρίσαντες* T | *καὶ ἐξορισθῆναι* Am | *καὶ*¹ > TAthan. | *δόλιοι* = Athan.] *δείλαιοι* n | **15** *ὄντας Π ἐπισκόπους* Athan. | *ἡμᾶς* szTAthan. *ἡμᾶς δὴ* n und, *δὴ* gestrichen, A | **15/16** *ἡμετέρους* = Athan. > B² | **16** *οὕτω̃ς ἡμε̃τέρους* A | *ὡς*] *ὥστε* Athan. > B² | *εὑρέθημεν* A | **17** *καὶ τάχα ἂν* Am | **18** *γάρ ἐστι τὰ* ArzAthan. > T | **19** *τῶν περὶ* ASAthan. *τὸν περὶ* GLv *τὸν* nT *περὶ* B² | *δονᾶτον* GLv | **21** *ταῦτα* An *τοιαῦτα* sz > T

Ὅσιος δὲ οὗτος Κορδούβης ἐπίσκοπος ἦν, καὶ ἐν τῇ μεγάλῃ διαπρέψας κατὰ Νίκαιαν συνόδῳ καὶ τῶν ἐν Σαρδικῇ συνεληλυθότων πρωτεύσας.

Ἐγὼ δέ γε Λιβερίου τοῦ πανευφήμου τὴν ὑπὲρ τῆς ἀληθείας παρρησίαν καὶ τοὺς ἀξιαγάστους λόγους οἷς ἐχρήσατο πρὸς Κωνστάντιον ἐνθεῖναι βούλομαι τῇ συγγραφῇ. ἀνάγραπτοι γὰρ παρὰ τῶν τηνικαῦτα φιλοθέων γεγένηνται, ὡς ἱκανοὶ παραθῆξαι καὶ διεγεῖραι πρὸς ζῆλον τῶν θείων τοὺς ἐραστάς. οὗτος δὲ μετὰ Ἰούλιον, ὃς Σίλβεστρον διεδέξατο, τὴν Ῥωμαίων ἴθυνεν ἐκκλησίαν.

10 *Διάλογος Κωνσταντίου βασιλέως καὶ Λιβερίου ἐπισκόπου Ῥώμης.* **16**

Κωνστάντιος βασιλεὺς εἶπεν· »Ἡμεῖς, καὶ διὰ τὸ Χριστιανόν σε »εἶναι καὶ ἐπίσκοπον τῆς ἡμετέρας πόλεως, ἄξιον ἐκρίναμεν καὶ τοῦτο »μεταστειλάμενοι παραινοῦμέν σοι τῆς ἀπορρήτου ἀπονοίας τοῦ ἀνοσίου »Ἀθανασίου τὴν κοινωνίαν ἀρνήσασθαι. τοῦτο γὰρ ἡ οἰκουμένη εὖ »ἔχειν ἐδοκίμασε συνόδου τε ψηφίσματι ἀλλότριον τῆς ἐκκλησιαστικῆς »κοινωνίας ἔκρινε.«

Λιβέριος ἐπίσκοπος εἶπεν· »Βασιλεῦ, τὰ ἐκκλησιαστικὰ κρίματα **2** »μετὰ πολλῆς δικαιοκρισίας γίνεσθαι ὀφείλει. διόπερ εἰ δοκεῖ σου τῇ »εὐσεβείᾳ, κριτήριον συσταθῆναι κέλευσον· καὶ εἰ ὀφθείη Ἀθανάσιος »ἄξιος καταδίκης, τότε κατὰ τὸν τῆς ἐκκλησιαστικῆς ἀκολουθίας »τύπον ἐξενεχθήσεται ἡ κατ' αὐτοῦ ψῆφος. οὐδὲ γὰρ οἷόν τε κατα»ψηφίσασθαι ἀνδρὸς ὃν οὐκ ἐκρίναμεν.«

10—S. 137, 12 vgl. Sozomen. IV 11, 3—12. Athanas. Histor. Arian. ad monach. 35—40

* **4**—S. 136, 11 Cass. V 17 — **10**—S. 137, 23 Vaticanus syriac. 145 f. 65v fgd. (= **Σ**)

A HN (n) + GS (s) = r B²L + FVR (v) = z T

1 *οὗτος* übergeschrieben Ac | *κορδούβης* A *κοδρούβης* GV *ὁ κορδούβης* T | *καὶ ἐν*] *κἂν* A *καὶ* T | **2** *κατὰ νίκαιαν* An > szT | **4** *δέ γε* z *quidem* Cass. *δὲ καὶ* A *δὲ* rT | **8** *τὸν θεῖον* B² | nach *δὲ* + *ὁ λιβέριος* T | **10** ις am Rand HSS | *Διάλογος* — **11** *Ῥώμης* > AV | *ἐπισκόπου* = **Σ**] *πάπα* r **12** *ὁ βασιλεὺς* B²T | **13** *καὶ*¹ zweimal T am Ende und Anfang der Zeile **15** *γὰρ* übergeschrieben Ac | **18** *ὁ ἐπίσκοπος* B²LR | *ἐπίσκοπος* = Cass. **Σ** > T | **19** *γίνεσθαι* = **Σ**] *κρίνεσθαι* L | *διόπερ εἰ δοκεῖ σου* AT *διόπερ εἰ σου δοκεῖ* rB²LF *διό σου εἴπερ δοκεῖ* VR *si videtur pictati tuae* Cass. | **21** *ἐκκλησιαστικῆς ἀκολουθίας* = Cass.] *ἐκκλησίασ* B² | **22** *οὐδὲ* — **23** *ἐκρίναμεν* = Cass. **Σ** > n

Κωνστάντιος ὁ βασιλεὺς εἶπεν· »Πᾶσα ἡ οἰκουμένη κατεψηφί- 3
»σατο περὶ τῆς ἀνοσιότητος αὐτοῦ, καὶ ὡς ἐξ ἀρχῆς τὸν καιρὸν
»διαπαίζει.«

Λιβέριος ἐπίσκοπος εἶπεν· »Ὅσοι ὑπέγραψαν, οὐκ αὐτόπται τῶν 4
»γεγενημένων ἦσαν, ἀλλὰ διὰ δόξαν καὶ φόβον καὶ ἀτιμίαν τὴν
»παρὰ σοῦ.«

Ὁ βασιλεύς· »Τί ἐστι δόξα καὶ φόβος καὶ ἀτιμία;« 5

Λιβέριος· »Ὅσοι τὴν δόξαν τοῦ θεοῦ οὐκ ἀγαπῶσι, τὰς παρὰ σοῦ 6
»μᾶλλον δωρεὰς προτιμήσαντες, ὃν μὴ ταῖς ὄψεσιν εἶδον οὐ κρίναντες
»κατέκριναν· ὅπερ ἐστὶν ἀλλότριον Χριστιανῶν.«

Ὁ βασιλεύς· »Καίτοι κέκριται κατὰ πρόσωπον ἐν τῇ γενομένῃ 7
»συνόδῳ ἐν Τύρῳ, καὶ ἐν τῇ συνόδῳ κατεψηφίσαντο πάντες οἱ ἐπί-
»σκοποι τῆς οἰκουμένης.«

Λιβέριος· »Οὐδέ ποτε κατὰ πρόσωπον κέκριται ὁ ἄνθρωπος· ὅσοι 8
»γὰρ τότε συνελθόντες κατεψηφίσαντο αὐτοῦ, ἀναχωρήσαντος Ἀθα-
»νασίου ἐκ τοῦ κριτηρίου, κατεψηφίσαντο.«

Εὐσέβιος ὁ εὐνοῦχος εἶπεν· »Ἐν τῇ συνόδῳ τῇ κατὰ Νίκαιαν 9
»ἀλλότριος τῆς καθολικῆς πίστεως ἀπεδείχθη.«

Λιβέριος· »Πέντε μόνοι ἐπέκριναν τῶν συμπλευσάντων αὐτῷ ἐν 10
»τῷ Μαρεώτῃ, οὓς ἀπέστειλαν κατὰ τοῦ ἐγκαλουμένου συστήσασθαι

A HN (n) + GS (s) = r B²L + FVR (v) = z T

1 *ὁ βασιλεὺς* = Cass. *Σ* > nV | *ὁ* > As | **2** *περὶ* übergeschrieben Ac *ὡς*] *ὧν* v | *τῶν καιρῶν* Lv, *tempus illudit* Cass. | **3** *διαπέζει* T | **4** *ἐπίσκοπος εἶπεν* = Cass. > n | *ἐπίσκοπος* > TΣ | *οὐκ αὐτόπται* — **5** *διὰ δόξαν* ArT Cass. *Σ διὰ δόξαν οὐκ αὐτοπροαιρέτω γνώμη ἐποίησαν* (*ὑπέγραψαν* B²) z **7** vor *ὁ* + *καὶ* nV | nach *βασιλεὺς* + *εἶπε* B²Cass. *Σ* | *φόβος καὶ δόξα* ∼ B², Cass. *Σ* wie im Text | **8** nach *Λιβέριος* + *εἶπεν* B²Cass. *Σ* | **9** *οὐ κρίναντες* ArzCass. *Σ* > T | **10** *κατέκριναν* AszTΣ *κατεδίκασαν* n *adiudicaverunt* Cass. | **11** *ὁ*] *καὶ ὁ* n | nach *βασιλεὺς* + *εἶπεν* B²Cass. *Σ* | nach *καίτοι* + *γε* T *ἐν* rzTCass. *Σ καὶ ἐν* A | **12** *καὶ ἐν τῇ συνόδῳ* ArzCass. *ἐν ᾗ* TΣ | *κατεψηφίσαντο* AΣ *συνεψηφίσαντο* rzT *γρ. συνε* am Rand A (oder Ac?) *contra eum pariter decreverunt* Cass.; ob *συγκατεψηφίσαντο*? | **14** nach *Λιβέριος* + *εἶπεν* B²Cass. *Σ* *ὁ* As | **16** *ἐκ τοῦ κριτηρίου* = Cass. *Σ* > v | *ἐκ* > L, gestrichen in A | *κατεψηφίσαντο* ArTCass. *Σ κατεψηφίσαντο* + *ἀλόγως* z und am Rand Ac | **17** *ὁ* übergeschrieben Ac | vor *εὐνοῦχος* + *δυσσεβὴς* s | *νίκαιαν Π* Cass. *Σ*, unmöglich; ob *Αἰλίαν* oder *Μαρίαν* (= *Μαρεώτην*)? Jülicher | **18** *ἀπεδείχθη* vor *τῆς καθ.* ∼ A, Cass. *Σ* wie im Text | **19** nach *Λιβέριος* + *ἔφη* B²Cass. *Σ* | *ἐπέκριναν τῶν συμπλευσάντων* rzTCass. *ἐπέκριναν οἱ συμπλεύσαντες Σ ἐπικριθέντων συμπλεῦσαι* A | **20** *οὓς* //// A

»κατ᾽ αὐτοῦ ὑπομνήματα. ἀπὸ τούτων τοίνυν τῶν ἀποσταλέντων 11
»οἱ δύο τεθνήκασι, Θεογόνιος καὶ Θεόδωρος, οἱ δὲ λοιποὶ τρεῖς ζῶσι.
»τουτέστι Μάρις καὶ Οὐάλης καὶ Οὐρσάκιος· ἀπὸ τούτων τῶν ἀπο-
»σταλέντων, κατὰ Σαρδικὴν τοῦ πράγματος τούτου ἕνεκα συνεκρο-
»τεῖτο ψῆφος· οἳ ἐν τῇ συνόδῳ βιβλία ἐπιδεδώκασι, συγγνώμην αἰ-
»τοῦντες ἐφ᾽ οἷς ἐν τῷ Μαρεώτῃ κατὰ συκοφαντίαν ἐκ μονομεροῦς
»συνεστήσαντο κατὰ Ἀθανασίου ὑπομνήματα· ἅτινα βιβλία αὐτῶν
»νῦν ἔχομεν μετὰ χεῖρας. τίνι τούτων δεῖ πείθεσθαι ἡμᾶς, βασιλεῦ,
»κοινωνεῖν, τοῖς πρότερον καταψηφισαμένοις καὶ ἐκ δευτέρου συγ-
»γνώμην αἰτήσασιν ἢ τοῖς νῦν τούτων καταψηφισαμένοις;«

Ἐπίκτητος ἐπίσκοπος εἶπεν· »Βασιλεῦ, οὐ πίστεως ἕνεκεν σήμερον 12
»οὐδὲ κριμάτων ἐκκλησιαστικῶν ἀντιποιούμενος Λιβέριος τὸν λόγον
»ποιεῖται, ἀλλ᾽ ἵνα τοῖς ἐν Ῥώμῃ συγκλητικοῖς καυχήσηται, ὡς συλλο-
»γισάμενος τὸν βασιλέα.«

Ὁ βασιλεὺς εἶπε Λιβερίῳ· »Πόστον εἶ μέρος τῆς οἰκουμένης, ὅτι 13
»σὺ μόνος συναίρῃ ἀνθρώπῳ ἀνοσίῳ καὶ τῆς οἰκουμένης τὴν εἰρήνην
»καὶ ὅλου τοῦ κόσμου λύεις;«

Λιβέριος· »Οὐ διὰ τὸ ἐμὲ μόνον εἶναι ὁ τῆς πίστεως ἐλαττοῦται 14
»λόγος· καὶ γὰρ κατὰ τὸ παλαιὸν τρεῖς μόνοι εὑρίσκονται ἀντιστάν-
»τες προστάξει.«

Εὐσέβιος εὐνοῦχος εἶπεν· »Τὸν βασιλέα ἡμῶν Ναβουχοδονόσορ 15
»ἐποίησας.«

Λιβέριος· »Οὐχί, ἀλλ᾽ οὕτως ἀλόγως καταδικάζεις ἄνθρωπον ὄν 16

5—10 vgl. unten 140, 3 f. Athanas. Apol. c. Arian. 58 — **19/20** Daniel 3, 12 f

A HN (n) + GS (s) = r B²L + FVR (v) = z T

1 *τῶν ἀποσταλέντων* = Cass. Σ > nG | **2** *οἱ*¹ > T | *θεογόνιος* sB²F *o* nach *γ* ausradiert AH *θεόγνιος* NLVRT *Theognius* Cass. Codd. LP | **3** *τουτέστι* = Cass. Σ > n | *μάρις* AsLvTCass. *μάρησ* nB² | *ἀπὸ Π ab* Cass., *κατὰ* Val., Σ las auch *ἀπὸ*, hat aber außerdem **4** *καὶ* vor *κατὰ Σαρδικὴν*; ob *ἀπὸ* = latein. *de*? | **4** *ἕνεκεν* B | **5** *ἐπεδώκασι* T .| **7** *συνεστήσαντο Π*, aber *ἡσαντο* auf Rasur A^{c} *confecerunt* Cass. *συνεθήκαντο* Ausgaben | *ἅ /// τινα ////* A | *βιβλία* am Rand A (oder A^{c}?) | **8** nach *χεῖρας* + *αὐτῶν* gestrichen A | *τίνι* ArLVCass. *τίνι δὲ* B²FRT | *τούτων* Nm | *δεῖ τούτων* ∼ Hs | **9** *καὶ ἐκ* — **10** *αἰτήσασιν* am Rand A^{c} | **10** *ἢ τοῖσ* — *καταψηφισαμένοισ* auf Rasur A^{c} | **12** *Λιβέριος* > ACass. Σ | **15** *ὁ*] *ὁ δὲ* A | *πόστον* = Cass. Σ] *πόσον* SB² | **16** *συναίρεισ* z | **18** nach *Λιβέριος* + *ἔφη* B²Cass. Σ | *ἐμὲ μόνον εἶναι* rzTCass. Σ *εἶναί με μόνον* A | **20** *προστάξει*] *πρὸσ τάξιν* L und, wie es scheint. Σ, *praecepto regis* Cass. | **21** *ὁ εὐνοῦχοσ* nB² *εὐνοῦχοσ* + *τοῦ βασιλέωσ* Σ *ναβουχοδονόσωρ* B² | **23** nach *Λιβέριος* + *εἶπεν* TCass. Σ

»οὐκ ἐκρίναμεν. ἀλλὰ καὶ ἐγὼ ἀξιῶ πρότερον οἰκουμενικὴν ὑπο-
»γραφὴν προχειρίσαι βεβαιοῦσαν τὴν πίστιν τὴν κατὰ Νίκαιαν ἐκ-
»τεθεῖσαν, ἵν' οὕτως ἀνακληθέντων τῶν ἀδελφῶν ἡμῶν ἀπὸ τοῦ
»ἐξορισμοῦ καὶ ἀποκατασταθέντων τοῖς ἰδίοις τόποις, εἰ ὀφθείησαν
»οἱ νῦν θορύβους ἐγγεννῶντες ταῖς ἐκκλησίαις συγκατατιθέμενοι τῇ
»ἀποστολικῇ πίστει, τότε ἐπὶ τὴν Ἀλεξανδρέων οἱ πάντες ἀπαντή-
»σαντες, ἔνθα ὁ ἐγκαλούμενος καὶ οἱ ἐγκαλοῦντές εἰσι καὶ ὁ ἀντι-
»ποιούμενος αὐτῶν, ἐξετάσαντες τὰ περὶ αὐτῶν συμπεριενεχθῶμεν.«

Ἐπίκτητος ἐπίσκοπος εἶπεν· »Ἀλλ' ὁ δρόμος τῶν δημοσίων οὐχ 17
»ὑποστήσεται τὴν χρείαν τῆς τῶν ἐπισκόπων παρόδου.«

Λιβέριος· »Οὐ χρείαν ἔχει τὰ ἐκκλησιαστικὰ δημοσίου δρόμου· αἱ 18
»γὰρ ἐκκλησίαι ἱκαναί εἰσιν ἕως τῆς θαλάσσης διαπέμψασθαι τοὺς
»ἑαυτῶν ἐπισκόπους.«

Ὁ βασιλεύς· »Τὰ ἤδη τύπον ἐσχηκότα ἀναλύεσθαι οὐ δυνατόν 19
»ἐστι· τῶν γὰρ πλειόνων ἐπισκόπων ἡ ψῆφος ἰσχύειν ὀφείλει. σὺ
»μόνος εἶ ὁ ἀντιποιούμενος τῆς φιλίας τοῦ ἀνοσίου ἐκείνου.«

Λιβέριος εἶπεν· »Βασιλεῦ, οὐδέ ποτε ἠκούσαμεν, μὴ παρόντος τοῦ 20
»ἐγκαλουμένου, κριτοῦ ἀνοσιότητα καταγέλλοντος, ἰδίαν ἔχθραν εἰσφέ-
»ροντος πρὸς τὸν ἄνθρωπον.«

Ὁ βασιλεύς· »Πάντας μὲν κοινῶς ἠδίκησεν, οὐδένα δὲ οὕτως ὡς 21
»ἐμέ. ὅστις μὴ ἀρκεσθεὶς ἐπὶ τῇ ἀπωλείᾳ τοῦ μειζοτέρου μου ἀδελ-
»φοῦ, οὐδὲ τὸν μακαρίτην Κώνσταντα ἐπαύσατο παροξύνων εἰς ἡμε-
»τέραν ἔχθραν, εἰ μὴ ἡμεῖς πλείονι ἡμερότητι ὑπηνέγκαμεν τὴν
»τοῦ παροξύνοντος καὶ τοῦ παροξυνομένου ῥοπήν. οὐδὲν δέ μοι

A HN (n) + GS (s) = r B²L + FVR (v) = z T

2 *προχειρίσαι* As *προχωρῆσαι* nzT, *proferri* Cass. | *κατὰ Νίκαιαν*] *ἐν νικαία* T | **5** *οἱ* > A | *ἐγγεννῶντες* = Cass. Σ] *ἐμποιοῦντεσ* B² | *συγκατατεθειμένοι* A | **6** *τὴν* A *τῆσ* rzT | **9** *ἐπίσκοπος εἶπεν* = Cass. Σ > n | **10** *τῆς* > T | **11** nach *Λιβέριος* + *εἶπεν* B²Cass. Σ + *ἐπίσκοποσ εἶπεν* T | *δημόσιον δρόμον* B² | **14** vor *ὁ* + *καὶ* n | nach *βασιλεὺς* + *εἶπεν* B²Cass. Σ | **16** *ὁ ἀντιποιούμενοσ — ἐκείνου* ArTΣ *ὁ τῆσ φιλίασ ἐκείνου τοῦ ἀνοσίου ἀντιποιούμενοσ* zCass. | **17** *εἶπεν* = Cass. Σ > r | *βασιλεῦ* = Cass. Σ > A | **18** *ἰδίαν* ArTΣ *ὡσ ἰδίαν* z und, *ὡσ* übergeschrieben, Ac, *nisi quia propria videntur haec odia* Cass. | **18/19** *εἰσφέροντοσ* rΣ *εἰσφέρων* z und, *ων* auf Rasur, Ac *εἰσάγειν* T | **19** *πρὸσ τὸν ἄνθρωπον* Az *τῶ ἀνθρώπω* rT | **20** nach *βασιλεὺς* + *εἶπεν* B²Cass. Σ **21** *ἐπὶ* > Lv, /// A | *μου* > s | **22** *κώνσταντα* //// A | *παροξύνων* ArT *παροτρύνων* z | **23** *ὑπηνέγκαμεν* ATΣ *ὑφήκαμεν* B² *ὑφηγήσαμεν* Lv *ὑφηγησάμενοι* Ns > mit leerem Raum H, *temperassemus* Cass. | **24** *παροξύναντοσ* LT, *impellentis* Cass. | *δέ* rB²LTAsRm Cass. > FV

»τοιοῦτον κατόρθωμα, οὐδὲ τὸ κατὰ Μαγνέντιον καὶ Σιλβανόν, »ὡς τοῦ μιαροῦ ἐκείνου περιαιρουμένου τῶν ἐκκλησιαστικῶν πραγ»μάτων.«

Λιβέριος· »Μὴ διὰ τῶν ἐπισκόπων ἀμύνου τὴν ἔχθραν, βασιλεῦ. **22**
»αἱ γὰρ χεῖρες τῶν ἐκκλησιαστικῶν εἰς τὸ ἁγιάζειν εὐκαιρεῖν ὀφεί»λουσιν. ὅθεν, εἴ σοι δοκεῖ, κέλευσον ἀνακληθῆναι τοὺς ἐπισκόπους »εἰς τοὺς ἰδίους τόπους. καὶ εἰ ὀφθείησαν ὁμόφρονες τοῦ σήμερον »ἀντιποιουμένου τῆς κατὰ Νίκαιαν ἐκτεθείσης ὀρθοδόξου πίστεως, »τότε συνελθόντες ἐπὶ τὸ αὐτὸ ἴδοιεν ὑπὲρ εἰρήνης τοῦ κόσμου, ἵνα
»μὴ τὸν μὴ ἁμαρτήσαντα ἄνδρα χαραχθῆναι δοκιμασθῇ.«

Ὁ βασιλεύς· »Ἔν ἐστι τὸ ζητούμενον. βούλομαι γάρ σε ἀσπασά- **23**
»μενον τὴν πρὸς τὰς ἐκκλησίας κοινωνίαν πάλιν εἰς τὴν Ῥώμην ἀπο»στεῖλαι. διὰ τοῦτο πείσθητι τῇ εἰρήνῃ καὶ ὑπογράψας ὑπόστρεψον »εἰς τὴν Ῥώμην.«

Λιβέριος· »Ἤδη τοῖς ἀδελφοῖς τοῖς ἐν Ῥώμῃ ἀπεταξάμην. μείζους **24**
»γάρ εἰσιν οἱ ἐκκλησιαστικοὶ θεσμοὶ τῆς ἐν Ῥώμῃ διατριβῆς.«

Ὁ βασιλεύς· »Οὐκοῦν τριῶν ἡμερῶν ἔχεις σκέψεως διάστημα· εἰ **25**
»βούλει, ὑπογράψας ὑπόστρεψον εἰς τὴν Ῥώμην, ἢ ἐννόησον ἐν ποίῳ »τόπῳ μετατεθῆναι βούλει.«

Λιβέριος· »Τὸ τῶν τριῶν ἡμερῶν διάστημα οὐ μετατίθησι λο- **26**
»γισμόν· ὅθεν ὅπου βούλει ἀπόστειλόν με.«

Ὁ βασιλεύς, μετὰ δύο ἡμέρας κριθέντος Λιβερίου καὶ μὴ μετα- **27**
τεθέντος τοῦ λογισμοῦ, εἶπεν ἐξορισθῆναι εἰς τὴν Βέροιαν τῆς Θρᾴκης.

A HN (n) + GS (s) = r B²L + FVR (v) = z T

1 *τοιοῦτον*] *οὕτω* A > Cass. **Σ** | nach *κατόρθωμα* + *ἔσται* gestrichen A, *est* Cass. **Σ** | *τὸ* > T | **7** *εἰ* > GL | nach *εἰ* + *μὴ* gestrichen A **8** *τῆσ — πίστεωσ* A**Σ** *ἐν τῇ — ἐκτεθείσῃ ὀρθοδόξῳ πίστει* rzT *quem . . . defendimus secundum fidem* usw. Cass. | **9** *εἴδοιεν* AGB² | **10** *μὴ*¹ > n | *μὴ*² > A | *ταραχθῆναι* T, *reprobetur iniuste* Cass., »damit keine ungerechte Strafe verhängt werde« **Σ** | **11** *ὁ*] *ὁ δὲ* T | **13** *διὰ τοῦτο — 14 ῥώμην* AzT Cass. **Σ** > r | *τῇ εἰρήνῃ*, beide *η* auf Rasur, A | **18. 19. 21** *βούλῃ* GB² | **18** *ὑπόστρεψον* und *ἐννόησον* Parm.] *ὑποστρέψαι* und *ἐννοῆσαι* in A, die Accente über beiden *o* gestrichen und beide *αι* auf Rasur Ac *Romae revertere aut certe cogita* Cass. *ὑποστρέψαι* und *ἐννοῆσαι* rzT | **20** *Λιβέριος* > T | *τῶν* übergeschrieben Ac | *ἡμερῶν* ArT Cass. **Σ** *ἡμερῶν* + *ἢ μηνῶν* z und auf Rasur Ac **22** *μετὰ δύο ἡμέρας* nach *Λιβερίου* ~ T, Cass. **Σ** wie im Text | *κριθέντος* = *examinato* Cass. *gefragt* **Σ**] *κληθέντοσ* ST | **22. 23** *κατατεθέντοσ* L

ἐκβάντος δὲ Λιβερίου, ὁ βασιλεὺς ἀπέστειλεν αὐτῷ πεντακοσίους ὁλοκοτίνους εἰς δαπάνας. Λιβέριος εἶπε τῷ προσκομίσαντι· »ἄπελθε, δὸς αὐτὰ τῷ βασιλεῖ· χρείαν γὰρ ἔχει δοῦναι τοῖς στρατιώταις αὐτοῦ«. ὁμοίως ἡ βασίλισσα ἔπεμψεν αὐτῷ τὰ αὐτά. Λιβέριος εἶπεν· »ἀπόδος 28
5 αὐτὰ τῷ βασιλεῖ· χρείαν γὰρ αὐτῶν ἔχει εἰς τὴν τῶν στρατιωτῶν ἐξοδίασιν. ἐὰν δὲ μὴ χρείαν ἔχῃ ὁ βασιλεύς, δότω αὐτὰ Αὐξεντίῳ καὶ Ἐπικτήτῳ· χρείαν γὰρ ἔχουσιν αὐτῶν«. ὡς δὲ παρ' αὐτῶν οὐκ ἔλαβεν, Εὐσέβιος ὁ εὐνοῦχος προσφέρει αὐτῷ ἑτέρους. Λιβέριος δὲ 29
εἶπεν αὐτῷ· »τὰς ἐκκλησίας τῆς οἰκουμένης ἠρήμωσας, καὶ ὡς κατα-
10 δίκῳ ἐλεημοσύνην μοι προσφέρεις; ἄπελθε, πρῶτον γενοῦ Χριστιανός«. καὶ μετὰ τρεῖς ἡμέρας μηδὲν δεξάμενος ἐξωρίσθη.

Ὁ μὲν δὴ νικηφόρος τῆς ἀληθείας ἀγωνιστὴς τὴν Θρᾴκην ὡς 17
προσετάχθη κατέλαβεν. δύο δὲ διεληλυθότων ἐτῶν, ὁ μὲν Κωνστάντιος εἰς τὴν Ῥώμην ἀφίκετο· αἱ δὲ τῶν ἐν τέλει καὶ ἀξιωμάτων
15 ὁμόζυγοι τοὺς ἄνδρας ἐλιπάρουν ἱκετεῦσαι τὸν Κωνστάντιον ἀποδοῦναι τὸν νομέα τῇ ποίμνῃ, φάσκουσαι εἰ μὴ πείσαιεν, αὐτοὺς μὲν καταλείψειν, πρὸς δὲ τὸν μέγαν ἐκεῖνον δραμεῖσθαι ποιμένα. οἱ δὲ 2
ἔφασαν δεδιέναι τὸν βασιλέως θυμόν· »ἄνδρας γὰρ ὄντας οὐδεμιᾶς ἴσως ἀξιώσει συγγνώμης, ὑμῖν δὲ ἀντιβολούσαις φειδοῦς δήπουθεν
20 μεταδώσει καὶ δυοῖν θάτερον, ἢ τὴν ἱκετηρίαν δέξεται, ἢ μὴ πειθόμενος ἀπαθεῖς ἀποπέμψει«. ταύτην δεξάμεναι τὴν εἰσήγησιν αἱ ἀξιέπαινοι γυναῖκες μετὰ τῆς συνήθους πολυτελείας προσῆλθον τῷ βα-

* **1—3** Synax. 927, 49 — **12**—S. 137, 21 Cass. V 18 — **13**—S. 137, 21 Polydeukes 344, 18

A HN (n) + GS (s) = r B²L + FVR (v) = z T

1 *δὲ* B²TΣ ausradiert A > rLv Cass. | *αὐτῷ* nach *ὁλοκοτίνους* ∼ A | **1 2** *ὁλοκοτίνους* ArB²FR mT *χρυσίνους* LVR Synax. am Rand Ac | **2** *προσκομίσαντι*] *προκομίσαντι* B² *κομίσαντι* A Sozom. IV 11, 10 *deferenti* Cass. | **3** *γὰρ* As **4** *αὐτῷ τὰ αὐτά*] *αὐτὰ τῶ αὐτῶ* r | **5** *αὐτῶν* = Σ > B² Cass. | **6** *ὁ βασιλεὺς* vor *χρείαν* ∼ B² Cass. Σ | *ἔχει* sB² | **7** *αὐτῶν*¹] *τούτων* B² | **8** *αὐτῷ προσφέρει* ∼ T, *obtulit ei* Cass. | **9** *αὐτῷ εἶπεν* ∼ sB²LFR | *καὶ* übergeschrieben Ac | **10** *ἐλεημοσύνην* Am **12** *ις* am Rand HSS | **13** *προτετάχθη* B² | **14** *ἀξιωμάτων* ANsz *ἀξιωματικῶν* T *ἀξιώμασιν* H *senatorum* Cass. *συγκλητικῶν* Σ; man erwartet *ἀξιωτάτων* wie in den ähnlichen Fällen, s. Register | **15** *ἐλιπάρουν* = Cass. Σ] *ἐκλιπαροῦσαι παρεκάλουν* B² | **16** *εἰ*] *ὡς εἰ* T | *πείσοιεν* r *πείσειεν* L | **17** *καταλεῖψαι* rL *καταλιπεῖν* T | *μέγα* T | *διαδραμεῖσθαι* r **18** *τὸν βασιλέως θυμόν* = Cass. Σ > r | *θυμόν* /// A | **20** *δυεῖν* A *ἱκετείαν* A | *δέξηται* AsB²FR | **21** *ἐκπέμψει* T | *ταύτην* = Cass.] *ταύτην δὲ* T

σιλεῖ, ὅπως περιφανεῖς ἐκ τῆς ἐσθῆτος ὑπολαβὼν αἰδοῦς αὐτὰς καὶ
φειδοῦς ἀξιώσῃ. οὕτω δὲ προσελθοῦσαι ἱκέτευον οἰκτεῖραι πόλιν 3
τοσαύτην ποιμένος ἐστερημένην καὶ ταῖς τῶν λύκων ἐπιβουλαῖς
εὐάλωτον γενομένην. ὁ δὲ ἔφη μὴ δεῖσθαι νομέως ἑτέρου τὴν πόλιν,
ποιμένα δὲ ἔχειν προμηθεῖσθαι δυνάμενον. καὶ γὰρ ἐκεχειροτόνητο
μετὰ τὸν μέγαν Λιβέριον τῶν διακόνων τις τῶν ἐκείνου (Φίλιξ ὄνομα
τούτῳ ἦν), ὃς τὴν μὲν ἐκτεθεῖσαν ἐν Νικαίᾳ πίστιν ἄσυλον διε-
φύλαττε, τοῖς δέ γε διαφθείρουσι ταύτην ἀδεῶς ἐκοινώνει. οὐδεὶς 4
μέντοι τῶν οἰκούντων τὴν Ῥώμην εἰς εὐκτήριον εἰσελήλυθεν οἶκον
ἔνδον ὄντος ἐκείνου· τοῦτο δὲ καὶ αἱ γυναῖκες ἔφασαν ἐκεῖναι τῷ
βασιλεῖ. οὗ δὴ χάριν ἐπικαμφθεὶς προσέταξε μὲν τὸν πάντα ἄριστον
ἐκεῖνον ἐπανελθεῖν, κοινῇ δὲ ἀμφοτέρους τὴν ἐκκλησίαν ἰθύνειν.
τούτων ἐν τῷ ἱπποδρόμῳ τῶν γραμμάτων ἀναγνωσθέντων, ἐξεβόησε 5
τὸ πλῆθος, δικαίαν εἶναι λέγον τοῦ βασιλέως τὴν ψῆφον· διχῇ γὰρ
διῃρῆσθαι τοὺς θεατὰς ἀπὸ τῶν χροιῶν τὰς ἐπωνυμίας ἔχοντας, καὶ
χρῆναι τὸν μὲν τούτων, τὸν δὲ ἐκείνων ἡγεῖσθαι. οὕτω κωμῳδή- 6
σαντες τοῦ βασιλέως τὰ γράμματα κοινὴν ἀφῆκαν φωνήν· »εἷς θεός,
εἷς Χριστός, εἷς ἐπίσκοπος«. αὐτὰς γὰρ θεῖναι τὰς φωνὰς ὑπέλαβον
δίκαιον. μετὰ ταύτας τοῦ φιλοχρίστου δήμου τὰς εὐσεβείᾳ καὶ δι- 7
καιοσύνῃ κοσμουμένας βοὰς ἐπανῆκε μὲν Λιβέριος ὁ θεσπέσιος, ὁ δὲ
Φίλιξ ὑποχωρήσας ἑτέραν ᾤκησε πόλιν. ταῦτα τοῖς ἐν Μεδιολάνῳ
τοῖς ἐπισκόποις συμβεβηκόσι συνῆψα, τὴν τοῦ διηγήματος ἁρμονίαν
φυλάττων. ἐπὶ δὲ τὴν τῶν γεγενημένων πάλιν ἐπάνειμι τάξιν.

Τῶν γὰρ τῆς πίστεως προμάχων ἐξελαθέντων, νομίσαντες οἱ 18

6—21 vgl. Socrat. II 37, 92 u. 94 — **24**—138, 10 vgl. Rufin. H. E. X 22, 988, 4—8

* **12** Synax. 927, 54

A HN(n)+GS(s)=r B^2[bis **18** *ἐπίσκοπος*] B^3[von **18** *αὐτὰς* an] L + FVR(v)=z T

2 *ἀξιώσει* NGT *ἀξιώσοι* FR, *οι* auf Rasur AV **4** *νομέως* — **5** *προμηθεῖσθαι* > L | **5** *ἔχει* VR | **6** *τῶν*^{2} A^s | *φίλιξ* rB^2T Cod. Polyd. *φίληξ* L *φήληξ* Av | **6/7** *ἦν ὄνομα τούτῳ* ~ A | **10** *ἐκεῖναι ἔφασαν* ~ T | **12** *τὴν ἐκκλησίαν* Arz Cass. Σ *τὰσ ἐκκλησίασ* T | **14** *λέγον* AΣ *λέγοντεσ* rz > TCass. | *ψῆφον*] *κρίσιν* T | *γὰρ* A^s | **15** *διαιρεῖσθαι* n *διηρεῖσθαι* (*η* auf Rasur A^c) A *τοὺς — χροιῶν* > H | *χροῶν* Nsv *χροιῶν* (*ι* auf Rasur A^c) Λ | **16** *τοῦτον* und *ἐκεῖνον* A | **19** *εὐσεβεία* ArzΣ *εὐσεβεῖσ* TCass. | **20** *βοὰσ* Arz *φωνὰσ* T *voces* Cass. Σ | *θεσπέσιος*] *θαυμάσιοσ* Lv *ἐπίσκοποσ* T *sanctissimus* Cass. *μέγασ* Σ | **21** *φίλιξ* rT Cod. Polyd. *φίληξ* B^3L *φήληξ* Av | **22** *τοῖς ἐπισκόποις συμβεβηκόσι* > mit leerem Raum H | *συμβεβηκόσι* auf Rasur vor *τοῖς ἐπ.* ~ B^3 *συμβεβηκότα* Ns | **23** *τὴν* > AN | **24** *ιη* am Rand HSS

τὴν βασιλέως γνώμην μετατιθέντες εἰς ἅπερ ἐβούλοντο, εὐπετῶς μάλα καταλύσειν τὴν ἀντίπαλον αὐτοῖς πίστιν καὶ τὴν Ἀρείου βεβαιώσειν διδασκαλίαν, ἔπεισαν τὸν Κωνστάντιον εἰς τὴν Ἀρίμηνον καὶ τοὺς τῆς Ἑῴας καὶ τοὺς τῆς Ἑσπέρας συναγαγεῖν ἐπισκόπους, καὶ προστάξαι τὴν οὐσίαν καὶ τὸ ὁμοούσιον περιελεῖν ἐκ τῆς πίστεως, τὰ κατὰ τῆς Ἀρείου κακοτεχνίας ἐξευρεθέντα παρὰ τῶν πατέρων μηχανήματα· ταῦτα γὰρ ἔλεγον τὴν τῶν ἐκκλησιῶν πεποιηκέναι διαίρεσιν. ἐπειδὴ 2
δὲ συνῆλθον, φενακίσαι μὲν ἐπειράθησαν οἱ τῆς Ἀρείου λώβης μετειληχότες τῶν συναθροισθέντων τὸ πλῆθος, καὶ διαφερόντως τοὺς Ἑσπερίους ἁπλοῖς ἤθεσι κεχρημένους. ἔφασκον δὲ μὴ χρῆναι δυοῖν ἕνεκα λέξεων, καὶ τούτων ἀγράφων, διασπασθῆναι τῆς ἐκκλησίας τὸ σῶμα. ἀλλ' εἰπεῖν μὲν ὅμοιον τῷ γεγεννηκότι τὸν υἱὸν κατὰ πάντα, τὸ δὲ τῆς οὐσίας παραλιπεῖν ὡς ἄγραφον ὄνομα. ἀλλὰ τῆς ἐξαπάτης αἰ- 3
σθόμενοι τοὺς μὲν ταῦτα λέγοντας ἀπεκήρυξαν, αὐτοὶ δὲ τῷ βασιλεῖ τὴν οἰκείαν γνώμην διὰ γραμμάτων ἐδήλωσαν. παῖδες γὰρ ἔφασαν εἶναι καὶ κληρονόμοι τῶν ἐν Νικαίᾳ συνεληλυθότων πατέρων· »εἰ δέ τι τῶν παρ' ἐκείνων γραφέντων ἀφελεῖν ἢ προσθεῖναί τι τοῖς ἄριστα κειμένοις τολμήσαιμεν, νόθους ἑαυτοὺς ἀποφανοῦμεν, κατήγοροι τῶν γεγεννηκότων γιγνόμενοι.«

Σαφέστερον δὲ αὐτῶν τὸν ἀκριβῆ κανόνα τῆς πίστεως τὰ παρ' 4
αὐτῶν γραφέντα πρὸς Κωνστάντιον ἐπιδείξει.

12/13 vgl. Athanas. De synod. 8. Socrat. II 37, 23—24. Sozomen. IV 17, 5. unten S. 146, 2 f — **15/16** vgl. Röm. 8, 17 — **17** vgl. Apok. 22, 18—19

* **7—16** u. **19 20** Cass. V 20

A HN (n) + GS (s) = r B³L + FVR (v) = z T

1 *ἐβούλοντο* — **3** *διδασκαλίαν*] *ἐβούλοντο τὴν μὲν τῶν πατέρων εὐπετῶσ μάλα καταδύσαι διδασκαλίαν, τὴν δὲ τοῦ ἀρείου βεβαιῶσαι* V | **2** *καταλύσειν — πίστιν*] *καταδύσειν διδασκαλίαν* LFR | *αὐτοῖς* nur in A | *καὶ* > Lv, ausradiert A **4** *ἀγαγεῖν* L | **5** *τὰ* As | *τῆσ* übergeschrieben B³ | **6** *κακοτεχνίασ* ArT am Rand B³ *μανίασ* z | **7** *γὰρ*] *ἐκεῖνοι* r | **10** *κεχρημένοισ* v | *μὴ δὲ* ∾ L *δυεῖν* B³ | **12** *μὲν* As übergeschrieben nach *ὅμοιον* B³ | **13/14** *ἀλλὰ — αἰσθόμενοι* = Cass.] *καὶ* T | **13** *ἀλλὰ* ArCass. *ἀλλὰ γὰρ* z *γὰρ* übergeschrieben Ac | **15** *ἔφασαν*] *ἔφασκον* A | **16** *ἐν νικαίᾳ* Am | *προπατέρων* nS, *patrum* Cass. | **17** *γραφέντων* — **21** *αὐτῶν* > s | **19** *γιγνόμενοι* AHT *γενόμενοι* Nz | **20** *αὐτὸν* Lv | *τὰ* > v | **21** *ἐπιδεῖξαι* v

»Ἐπιστολὴ γραφεῖσα Κωνσταντίῳ βασιλεῖ παρὰ τῆς ἐν Ἀριμήνῳ
»συναθροισθείσης συνόδου.

»Ἔκ τε τῆς τοῦ θεοῦ κελεύσεως καὶ τοῦ τῆς σῆς εὐσεβείας προσ- 19
»τάγματος τὰ πάλαι δογματισθέντα γεγενῆσθαι πιστεύομεν. εἰς γὰρ
»Ἀρίμηνον ἐκ πασῶν τῶν πρὸς δύσιν πόλεων εἰς τὸ αὐτὸ πάντες οἱ
»ἐπίσκοποι συνήλθομεν, ἵνα καὶ ἡ πίστις τῆς καθολικῆς ἐκκλησίας
»γνωρισθῇ καὶ οἱ τἀναντία φρονοῦντες ἔκδηλοι γένωνται. ὡς γὰρ ἐπὶ 2
»πλεῖστον διασκοποῦντες εὑρήκαμεν, ἄριστον ἐφάνη τὴν πίστιν τὴν
»ἔκπαλαι διαμένουσαν, ἣν καὶ οἱ προφῆται καὶ τὰ εὐαγγέλια καὶ οἱ
»ἀπόστολοι διὰ Ἰησοῦ Χριστοῦ τοῦ κυρίου ἡμῶν ἐκήρυξαν, τοῦ καὶ
»τῆς σῆς βασιλείας φρουροῦ καὶ τῆς σῆς ῥώσεως προστάτου, ἵνα
»ταύτην κατέχοντες φυλάξωμεν καὶ φυλάττοντες μέχρι τέλους διατη-
»ρήσωμεν. ἄτοπον γὰρ καὶ ἀθέμιτον ἐφάνη τῶν ὀρθῶς καὶ δικαίως 3
»ὡρισμένων τι μεταλλάξαι καὶ τῶν ἐν Νικαίᾳ κοινῇ μετὰ τοῦ ἐνδοξοτάτου
»Κωνσταντίνου τοῦ σοῦ πατρὸς καὶ βασιλέως ἐσκεμμένων· ὧν ἡ διδα-
»σκαλία καὶ τὸ φρόνημα διῆλθέ τε καὶ ἐκηρύχθη εἰς πάσας ἀνθρώπων
»ἀκοάς τε καὶ διανοίας, ἥτις ἀντίπαλος μόνη καὶ ὀλετὴρ τῆς Ἀρείου
»αἱρέσεως ὑπῆρξε, δι' ἧς οὐ μόνον αὕτη, ἀλλὰ καὶ αἱ λοιπαὶ αἱρέσεις
»καθῃρέθησαν, ἐν ᾗ ὄντως καὶ τὸ προσθεῖναί τι σφαλερὸν καὶ τὸ
»ἀφελέσθαι ἐπικίνδυνον ὑπάρχει, ὡς εἴπερ θάτερον γένοιτο, ἔσται τοῖς
»ἐχθροῖς ἄδεια τοῦ ποιεῖν ἅπερ βούλονται.

1—S. 143, 6 bei Athanas. De synod. 10. Socrat. II 37, 54. Sozomen. IV 18. vgl. Hilar. Fragm. VIII

*** 1**—S. 143, 6 Cass. V 21

A HN (n) + GS (s) = r B³L + FVR (v) = z T

1 $\overline{\iota\theta}$ am Rand HSS | **1/2** *Ἐπιστολὴ — συνόδου* > AV | **3** *ἔκ τε* B³T Athan. Socr. *ἐκ* ||| A *ἐκ* rLv Cass. | *τοῦ*² As | **4** *πάλαι* ||| A | *γεγενῆσθαι πιστεύομεν* rT Athan. Socr. *πιστεύομεν γεγενῆσθαι* z *πιστεύομεν* A Cass. *γενέσθαι πιστεύομεν* Sozom. | **5** *πρὸς δύσιν πόλεων*] *πόλεων τῶν πρὸς δύσιν* T | *εἰς* ArT Athan. Socr. *ἐπὶ* z Sozom. | **6** *ἐπισκοποῦντες* B³ | **8** *ἄριστον II* Cass. *ἀρεστὸν* Athan. Socr. Sozom. *placuit* Hil. | **11** *σῆς*¹ > LV | *σῆσ*² AL Cass. Athan. Socr. Sozom. Hil. > rB³vT | **12** *κατέχοντες*] *κατασχόντες* S Athan. Socr. Sozom. | **13** *καὶ ἀθέμιτον* > Lv | *ἐφάνη καὶ ἀθέμιτον* ∼ A, Cass. Athan. Socr. Sozom. wie im Text | **15** *ὧν* > ALFR | **16** *διῆλθόν* L | *ἀνθρώπων*] *ἀνθρωπίνας* T | **17** *τε* A Athan. Socr. Sozom. > rzT Socr. Cod. A | *διανοίας καὶ ἀκοὰς* ∼ L | *μόνης* T | **18** *δι'* As | *αὕτη* AvT Athan. Codd. Par. Bas. Sozom. *illa* Cass. *αὐτὴ* rB³L | **19** *τὸ*¹ As | vor *σφαλερὸν* + *χαλεπὸν καὶ* n, fehlt in Cass. Athan. Socr. Sozom. | *τὸ*² > Nv | **20** *ἔσται*] *εἶναι* v | **21** *τοῦ*] *τοῦτο* L | *ὅπερ* Lv

»Ὅθεν Οὐρσάκιός τε καὶ Οὐάλης, ἐπειδὴ μέτοχοί τε καὶ σύμφωνοι 4
»τοῦ Ἀρειανοῦ δόγματος ἦσαν καθεστηκότες, τῆς ἡμετέρας κοινωνίας
»χωρισθέντες ἀπεφάνθησαν. ἧς ἵνα μετάσχωσιν, ἐφ' οἷς ἑαυτοῖς συνε-
»γνώκεισαν πλημμελήσαντες, μετανοίας τε καὶ συγγνώμης ἠξίουν
»τυχεῖν, ὡς καὶ τὰ ἀντίγραφα τὰ ὑπ' ἐκείνων γεγενημένα μαρτυρεῖ, δι' 5
»ὧν ἁπάντων φειδὼ γεγένηται καὶ τῶν ἐγκλημάτων συγγνώμη (ἦν δὲ
»ὁ καιρὸς καθ' ὃν ταῦτα ἐπράττετο ὅτε ἐν Μεδιολάνῳ τὸ συνέδριον
»τῆς συνόδου συνεκροτεῖτο, συμπαρόντων δὲ καὶ τῶν πρεσβυτέρων τῆς
»τῶν Ῥωμαίων ἐκκλησίας), ἐγνωκότες δὲ ἅμα καὶ τὸν μετὰ τελευτὴν
»ἄξιον μνήμης Κωνσταντῖνον μετὰ πάσης ἀκριβείας καὶ ἐξετάσεως τὴν
»συγγραφεῖσαν πίστιν ἐκτεθεικότα, ἐπειδὴ δὲ ὡς ἐξ ἀνθρώπων ἐγένετο
»βαπτισθεὶς καὶ πρὸς τὴν ὀφειλομένην εἰρήνην ἀνεχώρησεν, ἄτοπον
»εἶναι μετ' ἐκεῖνόν τι καινοτομεῖν καὶ τοσούτους ἁγίους ὁμολογητὰς
»καὶ μάρτυρας τοὺς καὶ τοῦδε τοῦ δόγματος συγγραφεῖς τε καὶ ἐφευ-
»ρετὰς παριδεῖν, οἵτινες κατὰ τὸν παλαιὸν τῆς ἐκκλησίας θεσμὸν
»ἅπαντα φρονοῦντες διαμεμενήκασιν. ὧν ὁ θεὸς τὴν πίστιν καὶ εἰς 6
»τοὺς σοὺς χρόνους τῆς βασιλείας μετέδωκε διὰ τοῦ δεσπότου ἡμῶν
»Ἰησοῦ Χριστοῦ, δι' οὗ σοι καὶ τὸ βασιλεύειν οὕτως ὑπῆρξεν ὡς καὶ
»τῆς καθ' ἡμᾶς οἰκουμένης κρατεῖν.

A HN (n) + GS (s) = r B³L + FVR (v) = z T

1 *τε* rB³Athan. Socr. Sozom. > ALvT | *ἐπειδὴ* am Rand B³ > v | nach *ἐπειδὴ* + *ἔκπαλαι* Athan. Socr. *πάλιν* Sozom. *aliquando* Hil.; Cass. wie im Text *τε*²] *δὲ* v | **2** *ἀρειανοῦ* Athan. Sozom. Socr. Cod. M Cass. Hil. *ἀρείου* ///// in A, *ου* von A^c *ἀρριανοῦ* T *ἀρειανικοῦ* rSocr. *ἀρείου* z Sozom. Cod. B | *καθεστηκότες* rB³LT Athan. Socr. Sozom. *καθεστῶτες* v *καθε////στό////τες* (*στο* auf Rasur A^c) A | vor *τῆς* + *καὶ* Athan. Socr. Sozom., fehlt bei Cass. | **3** nach *ἵνα* + *μὴ* L | **5** *ὡσ* R Athan. Socr. Sozom. am Rand B³ *sicut* Hil. > die übr. HSS, *et rescripta eorum ita se habere testantur* Cass. | *ἀντίγραφα Π rescripta* Cass. *ἔγγραφα* Athan. Socr. Sozom. *scripta* Hil. | **6** *γέγηται* B³ | **7** *ὅτε* > v | **8** *ἐκροτεῖτο* Lv und (aber *συν* gestrichen) A | *δὲ* Arv (gestrichen AHR) Athan. Socr. Sozom. *δὴ*, *ἡ* auf Rasur, B³ *τε* L > T | **9 f** Wiederholung, in anderer Fassung, von S. 139, 13 f? **9** *καὶ* > T | *τελευτὴν* rT Athan. Socr. Sozom. *τὴν τελευτὴν* Az | **11** *δὲ ὡς* = Athan. Socr. Sozom. > mit leerem Raum H | **12** nach *ἄτοπον* + *ἐνομίσαμεν* H; Athan. Socr. Sozom. wie im Text; *incongruum esse iudicamus* Cass., Umarbeitung; *nefas putamus* Hil., der aber die Stelle in sehr abweichender Fassung gibt | **13** *////μετ' ἐκεῖνον τι ///* A | *τι* > v | **14** *τοὺς καὶ*] *καὶ τοὺσκαὶ* in A, das erste *καὶ* gestrichen und dahinter übergeschrieben A^c | **14/15** *ἐφευρετὰς*] *εὑρεγέτασ* A, *εὑρετὰς* Athan. Socr. Sozom. | **15** *παριδεῖν Π ὑπεριδεῖν* Athan. Socr. Sozom. *despicere* Cass. | **16** *ἅπαντασ* T | *ὁ* > A | **17** *διὰ* HT = Cass. Athan. Socr. Sozom. *καὶ διὰ* die übr. HSS | **18** *δι' οὗ σοι*] *δι' ἧσ* B³ | **19** vor *κρατεῖν* + *οὕτω* L

»Πάλιν γοῦν οἱ ἐλεεινοὶ καὶ οἰκτροὶ τῷ φρονήματι ἀθεμίτῳ τολ-
»μήματι τῆς δυσσεβοῦς φρονήσεως κήρυκας ἑαυτοὺς ἀνήγγειλαν καὶ
»ἐπιχειροῦσιν ἀνατρέπειν πᾶν ἀληθείας σύνταγμα. ὡς γὰρ κατὰ τὸ 7
»σὸν πρόσταγμα συνέδριον τῆς συνόδου συνεκροτεῖτο, κἀκεῖνοι τῆς
»ἰδίας ἀπάτης ἐγύμνουν τὴν σκέψιν. ἐπειρῶντο γὰρ πανουργίᾳ τινὶ
»καὶ ταραχῇ προσφέροντές τι καινοτομεῖν, τῆς τοιαύτης ἑταιρίας συνα-
»λισκομένους εὑρόντες Γερμανίων τινα καὶ Αὐξέντιον καὶ Γάϊον,
»τοὺς τὴν αἵρεσιν καὶ διχοστασίαν ἐμποιοῦντας· ὧν ἡ διδασκαλία 8
»μία μὲν οὖσα πᾶν πλῆθος βλασφημιῶν ὑπερβέβηκεν. ὡς δὲ συνεῖδον
»οὐχὶ τῆς αὐτῆς προαιρέσεως ὄντας οὔτε ὁμογνωμονοῦντας ἐφ' οἷς κακῶς
»ἐφρόνουν, εἰς τὸ συμβούλιον ἡμῶν μετήγαγον ἑαυτοὺς ὡς δοκεῖν
»⟨ἕτερόν⟩ τι γράφειν. ἦν δὲ ὁ καιρὸς βραχὺς ὁ καὶ τὰς γνώμας αὐτῶν 9
»ἐξελέγχων.

»Ἵν' οὖν μὴ τοῖς αὐτοῖς ἀεὶ τὰ τῆς ἐκκλησίας περιπίπτῃ καὶ ταραχὴ καὶ θόρυβος καλινδούμενος ἅπαντα συγχέῃ, βέβαιον ἐφάνη τὰ
»πάλαι ὡρισμένα ἔννομα καὶ ἀμετακίνητα διαφυλάττειν, τοὺς δὲ προ-
»ειρημένους τῆς ἡμετέρας κοινωνίας ἀποκεχωρίσθαι· δι' ἣν αἰτίαν 10
»τοὺς ἀναδιδάξοντας πρέσβεις πρὸς τὴν σὴν ἐπιείκειαν ἀπεστάλκαμεν,
»τὴν γνώμην τοῦ συνεδρίου διὰ τῆς ἐπιστολῆς μηνύσοντας. τοῖς δὲ
»πρέσβεσι πρό γε πάντων τοῦτο παρεκελευσάμεθα τὸ τὴν ἀλήθειαν
»πιστώσασθαι ἐκ τῶν πάλαι ἀρχαίων καὶ δικαίων ὁρμωμένους· οἳ καὶ

8 vgl. Gal. 5, 20. I Kor. 3, 3

A HN (n) + GS (s) = r B³L + FVR (v) = z T

2 *ἀνήγγειλαν ἑαυτοὺς* ∼ T | *ἀνήγγειλεν* B³ | **4** vor *συνέδριον* + *τὸ* Athan. Socr. Sozom. | **6** *καινοτομεῖν τί, τί* gestrichen, A | *τοιαύτης*] *οὖν* A | **6 7** *συναλισκομένησ* (*ησ* auf Rasur Ac) A | **7** *Γερμάνιον* = Socr. *germanium* Cass. Cod. L (*germanum* Cod. P)] *γερμανόν* A in *γερμάνιόν* corr. Ac *Γερμήνιον* Athan. Codd. Par. Bas. Sozom. *Germinio* Hil. | *τινα καὶ Π* Cass. > Athan. Socr. Sozom. | **8** *αἵρεσιν Π* Cass. *ἔριν* Athan. Socr. Sozom. | **9** *μία μὲν οὖσα* B³v Athan. Socr. *una quidem existens* Cass. *διαμένουσα* ALT *μένουσα* rSozom. Cod. H *μὴ μένουσα* Sozom. Cod. B | *πᾶν* > r | *δὲ*] *οὖν* r | **10** *αὐτῆς* = Socr. Sozom. Cod. B] *τοιαύτησ* B³Athan., *suae voluntatis* Cass. | **12** *ἕτερόν τι* Athan. Sozom. *ἕτερον* Socr. *aliud* Cass. *τι Π* | nach *δὲ* + *καὶ* T, Cass. wie im Text | **14** *αὐτοῖς* > L | **14 15** *καὶ ταραχὴ* > Lv | **15** *ἅπαντα* = Cass. Athan. Socr.] *ἅπαντασ* s Sozom. | **16** *ἀκίνητα* T | *φυλάττειν* HL Sozom. *διαφυλάττειν* (*δια* Ac) A | **18** *τοὺς* > v | *ἀναδιδάξοντασ* AnST (aber *ο* auf Rasur A) Athan. Socr. Sozom. Cass. *ἀναδιδάξαντασ* Gz | **19** *δι' ἐπιστολῆσ* T | **20** *τοῦτο πρό γε πάντων* ∼ B³ | *τὸ*] *τῷ* AT *τὸ καὶ* B³ | **21** *καὶ δικαίων* szT Cass. Athan. Socr. *καὶ δικαίων* (*καὶ* Ac) A *δικαίων* n *δικαίωσ* Sozom. HSS

›τὴν σὴν ὁσιότητα ἀναδιδάξουσιν ὅτι οὐχ ὥσπερ ἔφησεν Οὐρσάκιός
›τε καὶ Οὐάλης ἔσται εἰρήνη, εἴπερ τι τῶν δικαίων ἀνατραπείη. πῶς 11
›γὰρ εἰρήνην οἷόν τε ἄγειν τοὺς τὴν εἰρήνην καταλύοντας; μᾶλλον
›γὰρ ἔρις καὶ ταραχὴ ἐκ τούτων σὺν ταῖς λοιπαῖς πόλεσι καὶ τῇ
›Ῥωμαίων ἐκκλησίᾳ γενήσεται. διὸ δὴ ἱκετεύομεν τὴν σὴν ἐπιείκειαν,
›ἵνα προσηνέσιν ἀκοαῖς καὶ γαληνῷ βλέμματι τοὺς ἡμετέρους πρέσβεις
›ἀθρήσειας μήτε πρὸς ὕβριν τῶν τετελευτηκότων καινόν τι μεταλ-
›λάττειν ἐπιτρέψειας, ἀλλ᾽ ἐάσῃς ἐμμένειν ἡμᾶς τοῖς παρὰ τῶν προ-
›γόνων ὁρισθεῖσί τε καὶ νενομοθετημένοις, οὓς ἅπαντα μετὰ ἀγχινοίας
›τε καὶ φρονήσεως καὶ πνεύματος ἁγίου πεποιηκέναι φήσαιμεν ἄν.
›τὰ γὰρ νῦν παρ᾽ ἐκείνων καινοτομούμενα τοῖς μὲν πιστεύσασιν ἀπι- 12
›στίαν ἐμποιεῖ, τοῖς δὲ ἀπιστοῦσιν ὠμότητα.

›Ἱκετεύομεν δὲ ἵνα κελεύσῃς τοὺς ἐν ἀλλοδαπαῖς διατρίβοντας,
›οὓς καὶ τὸ τῆς ἡλικίας ἐπίπονον καὶ τὸ τῆς πενίας ἐνδεὲς τρύχει,
›τὴν εἰς τὰ οἰκεῖα ἀνακομιδὴν ῥᾳδίαν ποιήσασθαι, ἵνα μὴ ἔρημοι τῶν
›ἐπισκόπων ἀφῃρημένων αἱ ἐκκλησίαι διαμένωσιν. ἔτι δὲ πρὸς ἅπασι 13
›καὶ τοῦτο δεόμεθα, ἵνα μηδὲν μήτε ἐλλείπῃ τι τῶν προϋπαρξάντων
›μήτε πλεονάζῃ, ἀλλὰ πάντα ἄρρηκτα διαμένοι ἐκ τῆς τοῦ σοῦ πατρὸς
›εὐσεβείας καὶ εἰς τὸν νῦν χρόνον διαφυλαττόμενα, μήτε λοιπὸν ἡμᾶς
›μοχθεῖν καὶ τῶν ἰδίων παροικιῶν ἀλλοτρίους ἐπιτρέψειας γενέσθαι,

A HN (n) + GS (s) = r B³L + FVR (v) = z T

1 *ὥσπερ*] *ὡσ* A | *ἔφησεν II ait* Cass. *ἔφησαν* Athan. Socr. Sozom. | **2** *εἴπέρ τι* aus *περὶ* corr. A | **6** *γαληνῶ* rT *γαληνίω* z und (*ίω* auf Rasur Ac) A *γαληναίῳ* Athan. Socr. *γαληνιαίῳ* Sozom. | **7** nach *ἀθρήσειας* + *καὶ* B³, *et respicias et audias* Hil., Cass. Athan. Socr. Sozom. wie im Text | *μήτε* ALT Athan. Socr. *μηδὲ* rB³v Sozom. | *τελευτηκότων* T | *ποιεῖν καινόν* T | nach *τι* + *καὶ* T | **8** *ἐάσῃς* HSFV Athan. Socr. Sozom. *ἐάσοις* B³ *ἐάσεις* ANGLRT | **9** *νομοθετημένοις* A | *οὓς*] *ὡσ* B | **11** *πιστεύσασιν* T Sozom., Athan. Socr. wie im Text | **12** *ὠμότητα II* Athan. Socr. Sozom. *crudelitatem* Cass. Cod. L (*credulitatem* Cod. P Ausgaben); *infideles ad credulitatem retantur accedere* Hil. und so im Urtext Val., unrichtig; vielmehr lat. *duritiam* = *σκληροκαρδίαν* oder *σκληρότητα*, vgl. Mark. 16, 14 Röm. 2, 5 | **13** *δὲ II* Cass. *δὲ ἔτι* Athan. Socr. Sozom. | *κελεύσεις* GB³T nach *κελεύσῃς* + *τοὺς* (*τοὺς* > Athan.) *ἐπισκόπους* Athan. Socr. Sozom. = Hil., Cass. wie im Text | **14** *ἡλικίασ — τὸ τῆσ* Am | **16** *ἀφῃρημένων II* Cass. *ἀφωρισμένων* Athan. Sozom. > Socrat. Hil. | *διαμείνωσιν* HSLv | **16/17** *καὶ πρὸσ ἅπασι* ∼ A | **17** *μήτε*] *μηδὲ* s | *ἐλλίπῃ* nv | *τι* = Socr. > v Athan. Sozom. | **18** *πλεονάζει* AL | *σοῦ* > T | **19** nach *νῦν* + *τε καὶ εἰσ τὸν ἑξῆσ* A, Cass. Athan. Socr. Sozom. Hil. wie im Text | *μήτε*] *μήτε τοίνυν* L *μὴ τοίνυν* B³ | **20** *ἰδίων* = Socr. Sozom.] *οἰκείων* B³T Athan.

»ἀλλ᾽ ἵνα οἱ ἐπίσκοποι σὺν τῷ ἰδίῳ λαῷ μετ᾽ εἰρήνης εὐχαῖς τε καὶ »λατρείαις σχολὴν ἄγοιεν, ἱκετεύοντες ὑπὲρ τῆς σῆς βασιλείας τε καὶ σωτη»ρίας καὶ εἰρήνης, ἣν ἡ θειότης εἰς τὸ διηνεκές σοι χαριεῖται. οἱ δὲ ἡμέ»τεροι πρέσβεις τὰς ὑπογραφὰς καὶ τὰς τῶν ἐπισκόπων προσηγορίας »κομίζουσιν, οἵτινες καὶ ἐξ αὐτῶν τῶν θείων γραφῶν τὴν σὴν ὁσι»ότητα ἀναδιδάξουσιν.«

Τούτων γραφέντων καὶ τῶν πρέσβεων ἀποσταλέντων, οἱ βασιλεῖ 14
*παραδυναστεύοντες καὶ τῆς αἱρέσεως προστατεύοντες τὴν μὲν ἐπι*στολὴν λαβόντες ἀπέδοσαν τῷ βασιλεῖ, τοὺς δὲ πρέσβεις οὐκ εἰσήγα*γον, περὶ τὰς κοινὰς εἰλεῖσθαι φροντίδας τὸν κρατοῦντα φήσαντες· ταῦτα δὲ ἔδρων ἡγούμενοι τοὺς ἐπισκόπους, δυσχεραίνοντας τοῦ χρόνου τὸ μῆκος καὶ τὰς ἐγκεχειρισμένας πόλεις ποθοῦντας καταλα*βεῖν, ἀναγκασθήσεσθαι διορύξαι καὶ καταλῦσαι τὸν κατὰ τῆς αἱρέσεως ἐξευρεθέντα περίβολον. ἀλλ᾽ οὐδὲν ὤνησε τὸ μηχάνημα· πάλιν γὰρ οἱ 15
*γενναῖοι τῆς πίστεως πρόμαχοι ἑτέραν ἐπιστολὴν ἐξέπεμψαν τῷ βα*σιλεῖ, καὶ τοὺς πρέσβεις δεχθῆναι καὶ σφᾶς ἀπολυθῆναι παρακαλοῦντες. *ἐντίθημι δὲ καὶ ταύτην τῇ συγγραφῇ.*

»Νικητῇ Κωνσταντίῳ Εὐσεβεῖ βασιλεῖ οἱ ἐν Ἀριμήνῳ ἐπίσκοποι. 20

*»Τὰ γράμματα τῆς σῆς εὐμενείας ἐδεξάμεθα, δέσποτα ἐνδοξότατε »αὐτοκράτορ, ἅτινα περιέχει ὅτι διὰ τὴν δημοσίαν ἀνάγκην τέως »τοὺς ἡμετέρους πρέσβεις θεωρῆσαι οὐκ ἠδυνήθης. καὶ ἡμᾶς δὲ κε»λεύεις τὴν τούτων ἐπάνοδον ἐκδέξασθαι, ὅπως τὸν ἡμέτερον σκοπὸν

7—10 vgl. Athanas. De synod. 55. Socrat. II 37, 75—81. Sozomen. IV 19, 1—2 — **18**—S. 144, 16 bei Athanas. De synod. 55 und Socrat. II 37, 83 eine andere Übersetzung des lateinischen Urtexts. Inhaltsangabe bei Sozomen. IV 19, 3

A HN (n) + GS (s) = r B³L + FVR (v) = z T [bis **10** *φήσαντες*]

1/2 *εἰς εὐχάς* (*εὐωχίασ* Sozom. HSS) *τε καὶ λατρείας* Athan. Socr. Sozom. | **2** *τε* > rL Athan. | **2/3** nach *σωτηρίας* + *τε* L | **3** *ἣν* As | *ἡ* > A | **4** *πρέσβεις* > B³ | *ἐπιγραφὰσ* B³ | **5** *καὶ* > B³ | *γραφῶν* AzT Athan. Socr.] *γραμμάτων* rSozom. | **5/6** *ὁσιότητα* = Athan. Socr. Cod. M *religionem* Cass.] *θειότητα*, *ει* aus *ε* corr., T *θειότητα* Socr. Sozom. | **6** *ἀναδιδάξωσιν* T | **7** nach *τούτων* + *γὰρ* B³ | *πρεσβευτῶν* T | **8** *καὶ τῆσ αἱρέσεωσ προστατεύοντεσ* AB³LTm > rv | **9** *ἐπέδοσαν* B³ *ἀπέδωκαν* T | nach *δέ* + *γε* T | **10** *περὶ* — *φήσαντεσ* auf Rasur Ac | **11/12** *τοῦ χρόνου* > L | **13** *κατὰ τῆσ* auf Rasur Ac | **16** *σφᾶσ* nur B³ | **17** *τίθημι* A | *τὴν συγγραφήν* B³ | **18** am Rand *π̄* AL *ιη* V | *Νικητῇ* — *ἐπίσκοποι* > Lv Athan. Socr. | *εὐσεβεῖ* > A | **21** *καὶ* > n | **22** *ὅπωσ*] *οὕτωσ* A, *ἕωσ ἂν* Athan. Socr.

»καὶ τὰ δόγματα τῶν προγόνων ἡ σὴ εὐσέβεια ἐπιγνῷ. ἀλλὰ μὴν 2
»ἐκεῖνο ὃ ἐπηγγέλμεθα, οὐδενὶ τρόπῳ ἑαυτοὺς ἀπὸ τῆς ἰδίας προθέ-
»σεως ἀναχωρήσαντας, καὶ νῦν δὲ τούτοις τοῖς γράμμασι τὴν σὴν εὐ-
»μένειαν ἀναδιδάσκομεν, καὶ παρακαλοῦμεν εὐμενεῖ προσόψει τὰ γράμ-
»ματα τῆς ἡμετέρας ταπεινότητος, ἐν οἷς νῦν τῇ εὐσεβείᾳ σου ἀπο-
»κρινόμεθα, κἀκεῖνα ἅτινα διὰ τῶν ἡμετέρων πρέσβεων τῇ σῇ
»εὐσεβείᾳ ἀνήνεκται ἃ ἐνετειλάμεθα, ἡδέως προσδέξῃ. ὡς δὲ εἴη 3
»στυγνὸν καὶ ἀνακόλουθον ἵνα τοῖς μακαριωτάτοις σου καιροῖς το-
»σαῦται ἐκκλησίαι ἄνευ ἐπισκόπων δοκῶσιν εἶναι, ἡ σὴ εὐμένεια
»ὁμοίως ἡμῖν γινώσκει. διὸ δὴ πάλιν, ἐνδοξότατε αὐτοκράτορ,
»δεόμεθα ἵνα πρὸ τῆς δεινότητος τοῦ χειμῶνος, εἰ ἀρέσκει τῇ σῇ
»φιλανθρωπίᾳ, εἰς τὰς ἐκκλησίας τὰς ἡμετέρας ἐπανελθεῖν κελεύσῃς,
»ὅπως δυνηθῶμεν τῷ παντοκράτορι θεῷ καὶ τῷ Χριστῷ τῷ υἱῷ
»αὐτοῦ, τῷ δεσπότῃ καὶ σωτῆρι ἡμῶν, ὑπὲρ τῆς καταστάσεως τοῦ
»κράτους σου ἅμα μετὰ τῶν λαῶν, καθὼς ἐποιήσαμεν καὶ ποιοῦμεν.
»μεγίστας ἱκεσίας προσενεγκεῖν.«

Μετὰ τήνδε τὴν ἐπιστολὴν τὸν βασιλέως θυμὸν παραθήξαντες 21
ἄγουσιν ἄκοντας τῶν ἐπισκόπων τοὺς πλείστους εἴς τινα πόλιν τῆς
Θρᾴκης (Νίκη δὲ ὄνομα ταύτῃ) καὶ πείθουσι, τοὺς μὲν βουκολήσαντες
δι' ἁπλότητα τοὺς δὲ δεδιξάμενοι, τὴν πάλαι κατὰ τῆς εὐσεβείας
αὐτοῖς ἐξευρεθεῖσαν ἐξεργάσασθαι μηχανήν, καὶ τὴν μὲν οὐσίαν καὶ
τὸ ὁμοούσιον ἐξορύξαι τῆς πίστεως, ἐνθεῖναι δὲ ἀντὶ τούτων τὸ
ὅμοιον. ἐντίθημι δὲ καὶ ταύτην τῇ ἱστορίᾳ, οὐχ ὡς εὖ ἔχουσαν, ἀλλ' 2

17—22 vgl. Socrat. II 37, 95—96. Sozomen. IV 19, 7 f

A HN (n) + GS (s) = r B³L + FVR [R bis **23** *ἔχουσαν*] (v) = z T [von **19** *Νίκη* an]

2 *ἐπηγγελόμεθα* B³ | *ἰδίας*] *οἰκείας* B³ | **3** *δὲ*] *δὴ* auf Rasur B³ *ἐν* H **3,4** *εὐμένειαν*] *εὐσέβειαν* L | **4** *καὶ παρακαλοῦμεν εὐμενεῖ* Aᵐ | *προσόψει*] *προσώπω, ὥπω* auf Rasur, B³ | **5** *τῇ εὐσεβείᾳ σου* szAᶜ *τῆσ εὐσεβείασ οὐκ* n und, vor Rasur, A | **7** *εὐσεβείᾳ*] *εὐλαβεία* A *εὐμενεία* L | *ἀνήνεκται ἃ*] *ἀνενεχθῆναι*, mit geschickter Correctur, H; vgl. Athan. Socr.: *κἀκεῖνα ἃ διὰ τῶν πρέσβεων ἡμῶν ἐνετειλάμεθα ἡδέως ὑποδέξῃ* (*ὑποδέξασθαι* Socr. Cod. A) | **8** *τοῖς*] *ἐν τοῖσ* n | **10** *δὴ* > s | **11** *ἵνα* ausradiert H | **12** *κελεύσῃσ* B³ Athan. Socr. *κελεύσεισ* L am Rand Aᶜ > Arv | **13** *τῷ υἱῷ*] *καὶ υἱῷ* B³ | **17** *κα* am Rand HSS | *τήνδε τὴν* auf Rasur Aᶜ | **19** *ὄνομα δὲ ταύτῃ νίκη* L | *τοὺσ μὲν* übergeschrieben B³ | **20** *δεδιξάμενοι* ASB³L (*δι* aus *δει* corr. AL) *δεδηξάμενοι* T *διδαξάμενοι* n *ἤδη δεξάμενοι* Gv | **22** vor *τῆς* + *ἀπὸ* gestrichen A | **23** *ὅμοιον*] *ὁμοιούσιον* T | *ἀλλ'* — S. 145, 1 *διελέγχουσαν* > rv

ὡς τὴν Ἀρείου συμμορίαν διελέγχουσαν. οὐδὲ γὰρ ταύτης οἱ νῦν δυσσεβοῦντες ἀνέχονται, ἀλλ᾽ ἀντὶ τοῦ ὁμοίου κηρύττουσι τὸ ἀνόμοιον.

»Πίστις ἐκτεθεῖσα ἐν Νίκῃ τῆς Θράκης.

»Πιστεύομεν εἰς ἕνα καὶ μόνον ἀληθινὸν θεὸν πατέρα παντοκράτορα. **3**
»ἐξ οὗ τὰ πάντα, καὶ εἰς τὸν μονογενῆ υἱὸν τοῦ θεοῦ, τὸν πρὸ πάντων
»αἰώνων καὶ πρὸ πάσης ἀρχῆς γεννηθέντα ἐκ τοῦ θεοῦ, δι᾽ οὗ τὰ πάντα
»ἐγένετο, τά τε ὁρατὰ καὶ τὰ ἀόρατα, γεννηθέντα δὲ μονογενῆ, μόνον ἐκ
»μόνου τοῦ πατρός, θεὸν ἐκ θεοῦ, ὅμοιον τῷ γεγεννηκότι αὐτὸν πατρί, κα-
»τὰ τὰς γραφάς, οὗ τὴν γέννησιν οὐδεὶς οἶδεν εἰ μὴ μόνος ὁ γεννήσας αὐτὸν
»πατήρ. τοῦτον οἴδαμεν μονογενῆ θεοῦ υἱὸν πέμποντος τοῦ πατρὸς παρα- **4**
»γεγενῆσθαι ἐκ τῶν οὐρανῶν, καθὼς γέγραπται, εἰς καθαίρεσιν ἁμαρτίας
»καὶ θανάτου, καὶ γεννηθέντα ἐκ πνεύματος ἁγίου καὶ Μαρίας τῆς παρ-
»θένου, καθὼς γέγραπται, κατὰ σάρκα, καὶ συναναστραφέντα μετὰ τῶν
»μαθητῶν, καὶ πάσης τῆς οἰκονομίας πληρωθείσης κατὰ τὴν βούλησιν
»τοῦ πατρὸς σταυρῷ προσηλωθέντα, ἀποθανόντα καὶ ταφέντα καὶ εἰς τὰ
»καταχθόνια κατελθόντα, ὃν αὐτὸς ὁ ᾅδης ἐτρόμασε, καὶ ἀνελθόντα ἀπὸ **5**
»τῶν νεκρῶν τῇ τρίτῃ ἡμέρᾳ, συναναστραφέντα μετὰ τῶν μαθητῶν τεσ-
»σαράκοντα ἡμερῶν πληρουμένων καὶ ἀναληφθέντα εἰς τοὺς οὐρανοὺς
»καὶ καθεζόμενον ἐκ δεξιῶν τοῦ πατρός, ἐρχόμενον δὲ τῇ ἐσχάτῃ ἡμέρᾳ
»τῆς ἀναστάσεως μετὰ δόξης πατρικῆς ἀποδοῦναι ἑκάστῳ κατὰ τὰ
»ἔργα αὐτοῦ· καὶ εἰς πνεῦμα ἅγιον, ὅπερ αὐτὸς ὁ μονογενὴς τοῦ θεοῦ **6**
»υἱὸς Ἰησοῦς Χριστὸς θεὸς καὶ κύριος ἐπηγγείλατο ἀποστεῖλαι τῷ
»γένει τῶν ἀνθρώπων, τὸν παράκλητον, καθὼς γέγραπται, τὸ πνεῦμα
»τῆς ἀληθείας, ὅπερ καὶ αὐτὸς ἀπέστειλεν ἀνελθὼν εἰς τοὺς οὐρα-

4—S. 146, 12 vgl. Athanas. De synod. 30 u. Socrat. II 41, 8 (verschiedene Übersetzung). vgl. auch Athanas. ebd. 8 u. Socrat. II 37, 19f — **10** vgl. Joh. 5, 23 u. oft — **20** vgl. Röm. 2, 6 — **23f** vgl. Joh. 15, 26

A HN (n) + GS (s) = r B³L + FV (v) = z T

1 *ἐλέγχουσαν* B³L | **2** *ἀνέχονται* > B³ | *ἀλλ᾽ ἀντὶ*] *ἀντὶ γὰρ* T | **3** *Πίστις — Θράκης* > AVT | nach *Θράκης* + *οὐκ εὖ ἔχουσα* n | **4** *θεὸν* vor *καὶ* ∾ A aber *θν̄ κ̄αὶ* A^{c} | **5** nach *πάντων* + *τῶν* gestrichen A | **7** *τε* > B³Athan. Socr. | *τὰ*² > nSvT expungiert in G | *δὲ μονογενῆ*] *τε ὁμογενῆ* B³ | **8** *τοῦ* > T | **9** *μόνον* s | **10** *θεοῦ* rTAthan. *τοῦ θεοῦ* Socr. *θεὸν* Az | **11** *τοῦ οὐρανοῦ* T | **12** *καὶ*² > T | **13** nach *γέγραπται* + *εἰσ καθαίρεσιν ἁμαρτίασ καὶ θανάτου* gestrichen A | **16** *ἐτρόμαξε* n und, ξ auf Rasur, B³ | **18** *ἡμερῶν*] *ἡμέρασ* T | *πληρουμένων* > T | *τοὺς* > T | **19** *ἐν δεξιᾷ* TAthan. Socr. | *δὲ*] *τε* T | **20** *τῆσ ἀναστάσεωσ* A^{m} | **21/22** *υἱὸς τοῦ θεοῦ* ∾ T | **22** *ὁ χριστὸσ* L | vor *θεὸς* + *ὁ* n, ausradiert A | *θεὸς* > T | **24** *ἐλθὼν* B³

»νοὺς καὶ καθίσας ἐν δεξιᾷ τοῦ πατρός, ἐκεῖθεν δὲ ἐρχόμενος κρῖναι »ζῶντας καὶ νεκρούς. τὸ δὲ ὄνομα τῆς οὐσίας, ὅπερ ἁπλούστερον 7
»ἐνετέθη ὑπὸ τῶν πατέρων, ἀγνοούμενον δὲ τοῖς λαοῖς σκάνδαλον »ἔφερε διὰ τὸ ἐν ταῖς γραφαῖς τοῦτο μὴ ἐμφέρεσθαι, ἤρεσε περιαιρεθῆναι »καὶ παντελῶς μηδεμίαν μνήμην οὐσίας τοῦ λοιποῦ γίνεσθαι, διὰ τὸ »μάλιστα τὰς θείας γραφὰς μηδαμοῦ περὶ τοῦ πατρὸς καὶ τοῦ υἱοῦ οὐσίας »μεμνῆσθαι, μήτε μὴν δεῖν ἐπὶ προσώπου πατρὸς καὶ υἱοῦ καὶ ἁγίου »πνεύματος μίαν ὑπόστασιν ὀνομάζεσθαι. ὅμοιον δὲ λέγομεν τῷ πατρὶ »τὸν υἱὸν καθὼς καὶ αἱ θεῖαι γραφαὶ λέγουσι καὶ διδάσκουσι. πάσας »δὲ τὰς αἱρέσεις τὰς ἤδη πρότερον καθαιρεθείσας, ἢ καὶ εἴ τινες νεωστὶ »ἀνεφύησαν ὑπεναντίαι ταύτης τῆς γραφῆς τῆς ἐκτεθείσης, ἀνάθεμα »ἔστωσαν.«

Ταῦτα μὲν οὖν οἱ μὲν δείσαντες οἱ δὲ φενακισθέντες συνυπέγραψαν· οἱ δὲ συνθέσθαι μὴ βουληθέντες εἰς τὰς τῆς οἰκουμένης ἐσχατιὰς ἐξεπέμφθησαν.

Ὅτι μέντοι τῆσδε τῆς ἐκθέσεως ἅπαντες κατηγοροῦσιν οἱ τῆς 22
ἀληθείας ἀγωνισταὶ καὶ διαφερόντως οἱ τὴν Ἑσπέραν οἰκοῦντες, μαρτυρεῖ τὰ πρὸς Ἰλλυρίους παρ' ἐκείνων γραφέντα. ἐξῆρχε δὲ τῶν γεγραφότων Δάμασος, τῆς μὲν Ῥωμαίων ἐκκλησίας μετὰ Λιβέριον τὴν προεδρίαν λαχών, παμπόλλοις δὲ ἀρετῆς κοσμούμενος εἴδεσιν.
ἐνενήκοντα δὲ κοινωνοὺς ἔσχε τῶν γραμμάτων, ἐξ Ἰταλίας καὶ Γαλα- 2
τίας, τῆς νῦν Γαλλίας ὀνομαζομένης, εἰς τὴν Ῥώμην συνελθόντας. ἐνέθηκα δ' ἂν καὶ τὰ τούτων ὀνόματα, εἰ μὴ παρέλκον ὑπέλαβον. ἔγραψαν δὲ τάδε·

2—9 vgl. Sozomen. IV 6, 12

* **16—24** Cass. V 28

A HN (n) + GS (s) = r B³L + FVR [R von **14** *δὲ συνθέσθαι* an] (v) = z T

1 *καὶ* > n | *ἐκ δεξιῶν* s, s. 145, 19 | **4** *ἐκφέρεσθαι* B³ | **5** vor *οὐσίας* + *τῆς* Ns | **5** *τὸ*] *τοῦτο* A | **6** *μηδαμῶς* s | *περὶ* > T | **7** *μήτε*] *μὴ* v | *δεῖν* r (Hm) zT > A, vgl. *οὐδὲ* (*οὐκ* Socr.) *ὀφείλει* Athan. Socr. | **9** *πάσκουσι* B³ | *πάσας* f. *sic* Accusativ *Π* | **10** *ἢ καὶ* — **11** *ἀνεφύησαν*] *καὶ οἵτινες νεωστὶ ἐφάνησαν* T | *ἢ* — *νεωστὶ*] *ἢ καί τινες νεωστὶ* A | *ἢ* > Lv | **11** *τῆς ἐκτεθείσης γραφῆς* T | **13** *οὖν*] *δὴ οὖν* S *δὴ* G > A, *οὖν* über *μὲν*² Ac | **13/14** *συνυπέγραψαν* T *ὑπέγραψαν* B³ *συνέγραψαν* ArLv | **16** *κβ* am Rand nur in A | **18** *ἰλλυρίον* B³ | *παρ'*] *ὑπ'* L | **21** *ἐνενήκοντα*] XCIII Mansi III 459 | **23** *παρέλκον ὑπέλαβον, λκ* auf Rasur und *ὑπ* übergeschrieben Ac, vgl. S. 168, 5

»*Οἱ ἐπίσκοποι οἱ ἐπὶ τῆς Ῥωμαίων εἰς τὸ ἱερὸν συνέδριον συνελθόντες,*
»*Δάμασος καὶ Οὐαλεριανὸς καὶ οἱ λοιποί, τοῖς ἀγαπητοῖς ἀδελ-*
»*φοῖς τοῖς ἐν τῷ Ἰλλυρικῷ καθεστῶσιν ἐπισκόποις, ἐν θεῷ χαίρειν.*

»*Πιστεύομεν τὴν ἁγίαν πίστιν ἡμῶν ἐν τῇ διδασκαλίᾳ τῶν ἀπο-* **3**
»*στόλων θεμελιωθεῖσαν ταύτην ὑμᾶς κατέχειν καὶ ταύτην τῷ λαῷ*
»*ὑφηγεῖσθαι, ἥτις ἀπὸ τῶν ὁρισθέντων παρὰ τῶν πατέρων· οὐδενὶ*
»*λόγῳ διαφωνεῖ. θεοῦ ἱερεῖς, ὑφ' ὧν δίκαιόν ἐστι τοὺς λοιποὺς παι-*
»*δεύεσθαι. ἀλλὰ δι' ἀναφορᾶς τῶν ἐν Γαλλίᾳ καὶ Βενετίᾳ ἀδελφῶν* **4**
»*ἔγνωμέν τινας αἵρεσιν σπουδάζειν, ὅπερ κακὸν οὐ μόνον παραφυ-*
»*λάττεσθαι ὀφείλουσιν οἱ ἐπίσκοποι, ἀλλὰ καὶ ὅσα ἀπειρία τινῶν ἢ*
»*ἁπλότητι τῶν σκαιᾶς κεχρημένων ἑρμηνείαις † ἀνθίστασθαι ἀπὸ τοῦ*
»*νῦν διαφόροις διδασκαλίαις διανοουμένους μὴ πάνυ ὀλισθαίνειν, ἀλλὰ*
»*μᾶλλον τῶν πατέρων ἡμῶν κατέχειν τὴν γνώμην, ὁσάκις ἂν διά-*
»*φοροι βουλαὶ ταῖς ἀκοαῖς αὐτῶν ἐπεισφέρωνται. τοιγαροῦν Αὐξέν-* **5**
»*τιον τὸν Μεδιολάνου ἐξαιρέτως ἐν τούτῳ τῷ πράγματι κατακεκρί-*
»*σθαι προσγέγραπται. δίκαιον οὖν ἐστι πάντας τοὺς ἐν τῷ Ῥωμαίων*
»*κόσμῳ διδασκάλους τοῦ νόμου τὰ περὶ τοῦ νόμου φρονεῖν, καὶ μὴ*

1—S. 150, 8 bei Sozomen. VI 23, 7. Lateinische Übersetzung Mansi III 459 (= *A*)

* **1**—S. 150, 10 Cass. V 29

A HN (n) + GS (s) = r B³L + FVR (v) = z T

1 *κβ* am Rand rz | *θεοδ. συνοδικὸσ τόμοσ δαμάσου ῥώμησ* am Rand T | *οἱ*² A Sozom. > die übr. HSS | *ἐπὶ* > s | *Ῥωμαίων*] *ῥώμησ ὧν* B³ *συνέδριον συνελθόντεσ* rB³v Sozom. *συνέδριον ἐλθόντεσ* L *συνέδριον συνεληλυθότεσ* T *συνελθόντεσ συνέδριον* A | **3** *τῶ* A^{s} | *ἐπισκόποις* > T | *θεῶ Π domino* Cass. *A κυρίῳ* Sozom. | **4** *πιστεύομεν* = Cass. Sozom. *A πιστεύομεν εἰσ* v | *ἡμῶν* A Sozom. Cod. b *ὑμῶν* rzT Sozom. Cod. V *vestram A* Cass. Codd. LP | **5** *ὑμᾶσ* A > rzT Cass. Codd. LP Sozom. *A* | **7** *διαφωνεῖ θεοῦ ἱερεῖσ Π dissentit* Cass. *διαφωνεῖ . οὐδὲ γὰρ ἄλλωσ ἁρμόζει διανοεῖσθαι τοὺσ τοῦ θεοῦ ἱερεῖσ* Sozom. *A* | **8** nach *ἀναφορᾶσ* + *καὶ* s | *γαλία* HB³ | **9** *τινασ* rzT Sozom. *τινασ εἰσ* A | *οὐ*] *μὴ* B³ | **10** *οἱ* > B³ | *τινῶν* ArB³LT Sozom. Cass.] *τινὶ* v | **11** *σκαιᾶσ* auf Rasur A *σκαιᾶσ* B³ *pravis* Cass. *scevis A συσκευαῖσ* v | *ἑρμηνείαισ* (*ἑρμηνείασ* v) *Π ἑρμηνείαισ γέγονεν* Ausgaben seit Christoph., was Cass. (*reluctari contra ea quae gesta sunt*) zu stützen scheint; aber *A* Sozom. sind auch hier verdorben und die Corruptel liegt jenseits unsers Archetypus | **11 12** *ἀπὸ τοῦ νῦν* und *διανοουμένουσ* auf Rasur A^{c} | **12** *πάνυ* rvT in *πάλιν* corr. A^{c} *πάλιν* B³L > Cass. | **13** *ἡμῶν* rB³T Cass. Sozom. *A* > ALv | *ὁσάκισ ἂν* = Sozom. *cum A*] *ὁσάκισ ἂν μὴ* v | **14** *ἐπεισφέρονται* AGB³FRT | **15** *μεδιολάνων* L, *ων* auf Rasur B³ | **16** *προσγέγραπται* Az *προγέγραπται* rT Sozom. *praescriptum est* Cass. *perscribunt A*

›διαφόροις διδασκαλίαις τὴν πίστιν μαίνειν. καὶ γὰρ ἡνίκα πρῶτον ἡ 6
›κακία τῶν αἱρετικῶν ἀκμάζειν ἤρξατο, ὡς καὶ νῦν μάλιστα ὑφέρπει τῶν
›Ἀρειανῶν ἡ βλασφημία, οἱ πατέρες ἡμῶν τριακόσιοι δέκα καὶ ὀκτὼ ἐπί-
›σκοποι καὶ οἱ ἐκ τῆς Ῥωμαίων (τοῦ) ἁγιωτάτου ἐπισκόπου ἐπίλεκτοι,
›εἰς Νίκαιαν γενομένου τοῦ σκέμματος, τοῦτο τὸ τεῖχος ὑπεναντίον τῶν
›ὅπλων τοῦ διαβόλου ὥρισαν καὶ ταύτῃ τῇ ἀντιδότῳ τὰ θανάσιμα φάρ-
›μακα ἀπεώσαντο· ὥστε τὸν πατέρα καὶ τὸν υἱὸν μιᾶς οὐσίας, μιᾶς 7
›θεότητος, μιᾶς ἀρετῆς, μιᾶς δυνάμεως καὶ ἑνὸς χαρακτῆρος πιστεύ-
›εσθαι χρῆναι, καὶ τῆς αὐτῆς ὑποστάσεως καὶ τὸ πνεῦμα τὸ ἅγιον,
›τὸν δὲ ἄλλως φρονοῦντα ἀλλότριον εἶναι τῆς ἡμετέρας κοινωνίας
›κρίναντες· ὅνπερ σωτηριώδη ὅρον καὶ τὴν προσκυνητὴν σκέψιν δια-
›φθεῖραι μετὰ ταῦτα ἄλλαις σκέψεσί τινες καὶ μιᾶναι ἠθέλησαν. ἀλλ᾽ 8
›ἐν αὐτῇ τῇ ἀρχῇ ἀπ᾽ αὐτῶν τούτων, οἵτινες ἐν Ἀριμήνῳ ἀνανεώ-
›σασθαι ἢ ψηλαφῆσαι ἠναγκάζοντο, μέχρι τούτου διωρθώθη, ὡς ὁμο-

A HN (n) + GS (s) = r B³L + FVR (v) = z T

1 2 *ἡ κακία* > T | **2** *ὑφέρπει* AnT *coepit obrepere Λ* *ὑπεραπηίει* F *ὑπεραπήει* LR am Rand *γρ. ὑπεραπήει* Aᶜ (oder A?) *ὑπεραπίοι* V *ὕπερ ἀπείη* (alte Randbemerkung?) s Sozom. und, nach *Ἀρειανῶν* ∼, aber *ὕ* aus *ν* corr., B³ *patet* Cass. | **3** *ἡ* Aˢ | *τριακόσιοι δέκα καὶ* (*καὶ* > B³) *ὀκτὼ* AnB³ *τιῆ* sLvT | **3/4** *ἐπίσκοποι καὶ οἱ ἐκ τῆς Ῥωμαίων (τοῦ) ἁγιωτάτου ἐπισκόπου ἐπίλεκτοι* Parm.] *episcopi atque ex urbe sanctissimi episcopi urbis Romae directi (delecti?) Λ* *ἐπίσκοποι καὶ οἱ ἐκ τῆς ῥωμαίων ἁγιωτάτης ἐπίσκοποι* n *ἐπίλεκτοι* (das übrige >) szTSozom. = *electi* Cass. *ἐπίσκοποι* (das übrige >) A, aber in A nach *ἐπίσκοποι* + *εἰσ τὸν τοῦ ἐπισκόπου ῥώμησ ἐπιλεχθέντεσ* gestrichen, ursprünglich wohl *εἰς τὸν τόπον τοῦ ἐπ.* usw., Randbemerkung zu *ἐπίλεκτοι* | **5** *γενόμενοι* T | *σκέμματοσ* ArTSozom. *tractatu* Cass. *σκάμματοσ* zAᶜ, *concilio Λ* wie vielleicht im Urtext: „*consilio* mißverstanden" (Schwartz) | *τὸ* > s | **6** *ὅπλων* = Sozom. *arma* Cass. *Λ*] *ὅρων* H *ὁρῶν* (*πλ* Aᶜ) A | **7** *ὥστε* ArLvSozom. Cass. *Λ* *ὥστε καὶ* B³T | *τὸν υἱὸν καὶ τὸν πατέρα* ∼ T | **7/8** *μιᾶσ οὐσίασ μιᾶσ θεότητοσ μιᾶσ ἀρετῆσ μιᾶσ δυνάμεωσ* An *μιᾶσ θεότητοσ μιᾶσ ἀρετῆσ* szTSozom. Cass. *Λ* | **8** *χαρακτῆροσ* An *σχήματοσ* B³ Sozom. Cod. V *χρήματοσ* sLvTSozom. Cod. b *magnitudinis* Cass. *figurae Λ;* hier wie Z. **7 8, 9** wahrscheinlich Spuren von Varianten im Urtext | **9** *χρῆναι* n *χρὴ* ///// A *χρὴ* zT > s | *ὑποστάσεωσ* ASozom. *substantiae Λ* *οὐσίασ* T *ὑποστάσεωσ καὶ οὐσίασ* rz und *καὶ οὐσίασ* übergeschrieben Aᶜ *essentiae sive substantiae* Cass. **11** *κρίναντεσ* ANzT *iudicantes Λ* *ἔκριναν* H *iudicaverunt* Cass. *ἐκρίναμεν* Sozom. > s | **13/14** *ἀνανεώσασθαι* TSozom. *ἀνανεῶσαι* (aber *σαι* auf Rasur Aᶜ) Arz | **14** *μέχρι τούτου* AB³LT *usque ad hoc* Cass. *μέχρι τούτων* r *μέχρι τοῦ* v | *διορθωθῆναι* v

»λογεῖν αὐτοὺς ἑτέρᾳ διαλέξει ὑφηρπάσθαι, ἢ ὅτι οὐκ ἐνενόησαν τῇ »τῶν πατέρων γνώμῃ τῇ ἐν Νικαίᾳ ἀρεσάσῃ ἐναντίον εἶναι. οὐδὲ **9**
»γὰρ πρόκριμά τι ἠδυνήθη γενέσθαι ὑπὸ τοῦ ἀριθμοῦ τῶν ἐν Ἀριμήνῳ
»συναχθέντων, ὁπότε συνέστηκε μήτε τὸν Ῥωμαίων ἐπίσκοπον, οὗ
»πρὸ πάντων ἔδει τὴν γνώμην ἐκδέξασθαι, οὔτε Οὐικεντίου, ὃς ἐπὶ
»τοσούτοις ἔτεσι τὴν ἐπισκοπὴν ἀσπίλως ἐφύλαξεν, οὔτε τῶν ἄλλων
»τοῖς τοιούτοις συγκαταθεμένων, ὁπότε μάλιστα, καθὰ προειρήκαμεν,
»αὐτοὶ οὗτοι οἵτινες κατὰ συσκευὴν ὑποκλίνεσθαι ἔδοξαν, οἱ αὐτοὶ
»καλλίονι γνώμῃ χρησάμενοι ἀπαρέσκειν αὐτοῖς ταῦτα ἐμαρτύραντο.
»Συνορᾷ οὖν ἡ ὑμετέρα καθαρότης ταύτην μόνην τὴν πίστιν, **10**
»ἥτις ἐν Νικαίᾳ κατὰ τὴν αὐθεντίαν τῶν ἀποστόλων ἐθεμελιώθη,
»διηνεκεῖ βεβαιότητι καθεκτέαν εἶναι, καὶ μεθ' ἡμῶν τοὺς Ἀνατολι-
»κούς, οἵτινες ἑαυτοὺς τῆς καθολικῆς ἐπιγινώσκουσι, τοὺς δὲ Λυτι-
»κοὺς καυχᾶσθαι· πιστεύομεν δὲ οὐκ εἰς μακρὰν τοὺς ἄλλα νοσοῦντας **11**
»αὐτῇ τῇ ἐπιχειρήσει ἀπὸ τῆς ἡμετέρας κοινωνίας χωρισθήσεσθαι

A HN (n) + GS (s) = r B³L + FVR (v) = z T

1 ὑφηρπάσθαι ArL Sozom. ὑφηρπᾶσθαι T ὑφαρπᾶσθαι B³ ὑφηρπάχθαι v | ἢ *II aut* Cass. > Sozom. *A* | ἐνόησαν A ἐνόησαν T | **3** ὑπὸ *II* ἀπὸ Sozom. *ex A* | **4** τὸν ῥωμαίων ἐπίσκοπον AuT τῶν ῥωμαίων ἐπίσκοπον GL *Romanum episcopum* Cass. τῶν ῥωμαίων ἐπισκόπων B³v τοῦ ῥωμαίων ἐπισκόπου S Sozom. | **5** ἐκδέξασθαι rB³T Sozom. *exspectare* Cass. εἰσδέξασθαι (εἰσ auf Rasur Ac) ALv οὐικεντίου sB³v *Βικεντίου* Soz. ουικεντίου T ιουκεντίου n οὐικέντιον AL *Vincentium* Cass. | **6/7** τῶν ἄλλων (ἄλλων > T) . . . συγκαταθεμένων *II* Sozom., *neque alios . . . praebuisse consensum* Cass.; nach dem Accusativ ἐπίσκοπον und Cass. möchte man verbessern: *Οὐικέντιον . . . τοὺς ἄλλους . . . συγκαταθέσθαι*, aber *A* Cod. Veron. beweist wie alt unser Text ist: *cum constet neque romanum epm̄ cuius ante omnes fuit expectanda sententia, neque vincentii qui . . . . . neque aliorum huiusmodi statutis consensum aliquem commodasse* | **7** ὁπότε ArLT Sozom. Cass. *A* ὁπότε καὶ B³v | **8** κατὰ συσκευὴν] κατασκευὴν L | **9** κάλλιον v | **10** ὑμετέρα ArLv Sozom. Cass. *A* ἡμετέρα B³T | **12** καθεκτέαν ArT καθεκτέον B³LVᶜAc Sozom. καθεκταῖον v | **12/13** Ἀνατολικούς] ἀποστολικοὺς B³ | **13** οἵτινες — καθολικῆς rzT Cass. Soz. *A* > A | ἑαυτοὺς = Cass. Soz. *A*] καθ' ἑαυτοὺς B³ | nach καθολικῆς + ἐκκλησίας Christoph. | vor ἐπιγινώσκουσι + εἶναι Sozom. = Cass., fehlt in *A* | **13/14** δυσικοὺς B³ | **14** μακρὰν //// A | νοσοῦντας *II languentes* Cass. νοοῦντας Sozom.; *qui secus sentiunt A* | **15** ἐπιχειρήσει AnzT Sozom. *conamine* Cass. *conatu A* ἐπιχρήσει s; lückenhafte Stelle? vgl. *A*: *non longe autem fieri posse credimus ut qui secus sentiunt, licet hoc ipso conatu a nostra communione exui possint, plebesque eorum erroribus liberate respirent*; die Correctur *licet*] ilicet [Schwartz] genügt nicht | ἀπὸ > T | χωρισθήσεσθαι κοινωνίας ∾ T

»καὶ περιαιρεθήσεσθαι ἀπ᾽ αὐτῶν τὸ τοῦ ἐπισκόπου ὄνομα, ὥστε τοὺς »λαοὺς τῆς πλάνης αὐτῶν ἐλευθερωθέντας ἀναπνεῦσαι. οὐδενὶ γὰρ 12
»τρόπῳ διορθοῦσθαι δυνήσονται τὴν πλάνην τῶν ὄχλων, ὁπότε αὐτοὶ »ὑπὸ τῆς πλάνης κατέχονται. συμφωνείτω τοίνυν μετὰ πάντων τῶν
5 »τοῦ θεοῦ ἱερέων καὶ τῆς ὑμετέρας τιμιότητος ἡ γνώμη, ἐν ᾗ ὑμᾶς »παγίους καὶ βεβαίους εἶναι πιστεύομεν· οὕτω καὶ ἡμεῖς μεθ᾽ ὑμῶν »ὀρθῶς πιστεύειν ὀφείλομεν. τοῖς ἀμοιβαίοις τῆς ὑμετέρας ἀγάπης »εὐφράνατε ἡμᾶς. ἔρρωσθε, ἀδελφοὶ τιμιώτατοι.«

Καὶ Ἀθανάσιος δὲ ὁ μέγας ἐν τῇ πρὸς τοὺς Ἄφρους Ἐπιστολῇ 23
10 *τοιαῦτα περὶ τῆς ἐν Ἀριμήνῳ συνόδου διέξεισι·*

»Τούτων δὲ οὕτως δεικνυμένων, τίς ἀποδέξεται τοὺς τὴν Ἀρίμη»νον ἢ ἄλλην σύνοδον παρὰ τὴν ἐν Νικαίᾳ ὀνομάζοντας; ἢ τίς οὐκ ἂν »μισήσειε τοὺς ἀθετοῦντας μὲν τὰ τῶν πατέρων, τὰ δὲ νεώτερα ἐν »τῇ Ἀριμήνῳ κατὰ φιλονεικίαν καὶ βίαν συντεθέντα προκρίνοντας;
15 »τίς δὲ τούτοις συνελθεῖν ἐθελήσει, ἀνθρώποις μηδὲ τὰ ἑαυτῶν ἀπο»δεχομένοις; οἱ γὰρ ἐν ταῖς ἑαυτῶν δέκα που καὶ πλέον, καθὰ προ»είπαμεν, συνόδοις ἄλλοτε ἄλλα γράφοντες, δῆλοί εἰσιν ἑκάστης αὐτοὶ »κατήγοροι γινόμενοι. πάσχουσι δὲ τοῦτο, οἷον καὶ οἱ τότε τῶν 2

11—S. 152, 17 Athanas. Epist. ad Afros 3—4 PG 26, 1033 — **16** ebd. 2

* **11**—S. 151, 19 Cass. V 30

A HN (n) + GS (s) = r B³L + FVR (v) = z T

1 *καὶ περιαιρεθήσεσθαι* rB³vT Cass. *καὶ περιαιρεθήσεσ* am Rand und *θαι* im Text auf Rasur Ac > AL Sozom., s. zu 149, 15 | *ἀπ᾽* rT > Az Sozom. | **2** *ἀναπαῦσαι* A *νεν* | **5** *ὑμετέρας* AnLv Sozom. Cass. *Λ ἡμετέρας* sB³T | **7** *ὀρθῶς* AGLvT *ὀρθίως* B³ *recte* Cass. *Λ* > nS Sozom. | *τοῖς ἀμοιβαίοις* ArB³T Sozom. *ταῖς ἀμοιβαῖς* Lv | **9** *τοὺς* > ANLv | **10** *συνόδῳ* A | **11** *κγ* am Rand HSS | *ἀποδέξεται* rzT Athan. *ἀποδέξηται* A *recipiat* Cass. | **12** *τὴν* AHB³L Athan. *τοὺς* Nsv *τῶν* T, *aliud concilium praeter Nicaenum* Cass. | **13** *μισήσαιεν* T | *μὲν* > T **14** *προκρίνοντας* AB³L Athan. Cod. Bas. Cass. *προκρίναντας* rv Athan. Cod. Par. *προκρίναντες* T | **15** *ἐθελήσει* AT *ἐθελήσοι* Athan. Codd. Par. Bas. *concordabit* Cass. *ἐθελήσειε* rz | *μήτε* T | *τὰ*] *τὰσ* s | **16** *ταῖς*] *τοῖς* sLv *o* aus *α* corr. Ac *πλέον* A Athan. *πλεῖον* rzT | *καθὰ* Arz Athan. *καθάπερ* T | **16/17** *προείπαμεν* = Athan.] *προείπομεν* AS *προειρήκαμεν* T | **17** *ἄλλα* AT Athan. *ἄλλο* rzAc Cass. | *αὐτοὶ* rB³T Athan. *αὐτῆσ* Lv, *ῆσ* auf Rasur Ac | **18** *γινόμενοι κατήγοροι* A *γ β* | *γινόμενοι* ArLv Athan. *γενόμενοι* B³T | *τοῦτο Π* Cass. *τι τοιοῦτον* Athan.

»Ἰουδαίων προδόται πεπόνθασιν. ὡς γὰρ ἐκεῖνοι καταλείψαντες τὴν »μόνην πηγὴν τοῦ ζῶντος ὕδατος »ὤρυξαν ἑαυτοῖς λάκκους οἳ »οὐ δυνήσονται ὕδωρ συνέχειν« (γέγραπται δὲ τοῦτο παρὰ τῷ »προφήτῃ Ἱερεμίᾳ), οὕτως οὗτοι μαχόμενοι πρὸς τὴν οἰκουμενικὴν »σύνοδον ὤρυξαν ἑαυτοῖς συνόδους πολλὰς καὶ πᾶσαι κεναὶ παρ' αὐ- »τοῖς ὡς »δράγμα μὴ ἔχον ἰσχύν« ἐφάνησαν. μὴ τοίνυν ἀνεχώμεθα 3
»τῶν τὴν Ἀρίμηνον ἢ ἄλλην ὀνομαζόντων σύνοδον παρὰ τὴν ἐν »Νικαίᾳ γενομένην. καὶ γὰρ καὶ αὐτοὶ οἱ τὴν Ἀρίμηνον ὀνομάζοντες »ἐοίκασι μὴ εἰδέναι τὰ ἐν αὐτῇ πραχθέντα, ἢ γὰρ ἂν ἐσιώπησαν.
»Οἴδατε γάρ, ἀγαπητοί, μαθόντες καὶ ὑμεῖς παρὰ τῶν ἐλθόντων 4
»ἐξ ὑμῶν εἰς τὴν Ἀρίμηνον, ὡς Οὐρσάκιος καὶ Οὐάλης Εὐδόξιός τε »καὶ Αὐξέντιος (ἐκεῖ δὲ ἦν σὺν αὐτοῖς καὶ Δημόφιλος) καθῃρέθησαν »θελήσαντες ἕτερα παρὰ τὰ ἐν Νικαίᾳ γράφειν, ὅτε ἀπαιτηθέντες »ἀναθεματίσαι τὴν Ἀρειανὴν αἵρεσιν παρητήσαντο καὶ μᾶλλον αὐτῆς »ἠθέλησαν εἶναι προστάται. οἱ δέ γε ἐπίσκοποι, οἱ ἀληθῶς δοῦλοι 5
»τοῦ κυρίου καὶ ὀρθῶς πιστεύοντες (ἦσαν δὲ ἐγγύς που διακόσιοι), »ἔγραψαν ἀρκεῖσθαι τῇ ἐν Νικαίᾳ μόνῃ καὶ μηδὲν πλέον ἢ ἔλαττον »παρ' ἐκείνην ζητεῖν ἢ φρονεῖν. ταῦτα καὶ Κωνσταντίῳ δεδηλώκασι, »τῷ καὶ τὴν σύνοδον γενέσθαι κελεύσαντι. ἀλλ' οἱ ἐν τῇ Ἀριμήνῳ 6
»καθαιρεθέντες, ἀπελθόντες πρὸς Κωνστάντιον, πεποιήκασιν ὑβρι-

1—3 Jerem. 2, 13 — **6** Hos. 8, 7 — **15** vgl. II Tim. 2, 24 und oft

A HN (n) + GS (s) = r B³L + FVR (v) = z T

1 γὰρ AzT Cass. Athan. > r | **2** ὕδατος übergeschrieben A^{c} | λάκκους am Rand B³ | λάκκους — **5** ἑαυτοῖς > n | λάκκους Asz Cass. λάκκους + συντετριμμένους T Athan. Jerem. | **2** οἳ οὐ — **4** ἱερεμία Asz Cass. Athan. > T **3** δὲ τοῦτο A Athan. (τοῦτο gestrichen in A) δὲ Gz γὰρ S *quod* Cass. | **4** οὗτοι AGz Cass. Athan. > ST | **5** vor συνόδους + καὶ οὗτοι T | **6** ὡς rzT Athan. καὶ ὡς A | δράγμα μὴ ἔχον A Athan. δράγμα μὴ ἔχων T δράγμα οὐκ ἔχον Hos. δράγματα μὴ ἔχοντα rLv und, τα übergeschrieben, A^{c} δράματα μὴ ἔχοντα B³ ἀνεχόμεθα AT | **7** σύνοδον vor ἢ ἄλλην ∼ T, Cass. Athan. wie im Text **8** γινομένην z | καὶ² A^{s} | **10** μα////θόντες A | καὶ ὑμεῖς = Cass. Athan. > B³ | παρὰ An Athan. τὰ παρὰ szT | **11** vor Εὐδόξιός + καὶ expungiert A | **13** θελήσαντες nach Νικαίᾳ ∼ Lv, Cass. Athan. wie im Text | ὅτε] ὁπότε Lv *quando* Cass. ὅτε καὶ Athan. | **14** ἀρειανὴν ArzCass. Athan. ἀρειανῶν T **15** οἱ² > n | **15/16** τοῦ κυρίου δοῦλοι ∼ L | **17** ἔγραψαν = Athan.] οἳ ἔγραψαν B³ | τῇ] τὴν A | **18** ἢ rzT Cass. Athan. Cod. Bas. καὶ A Athan. Cod. Par. | **19** γενέσθαι rzT Athan. Cod. Bas. γεγενῆσθαι A Athan. Cod Par. | **20 f** ὑβρισθῆναι μὲν T Athan. μὲν ὑβρισθῆναι (μὲν auf Rasur A^{c}) Anz ὑβρισθῆναι s

»σθῆναι μὲν αὐτούς, ἀπειλὰς δὲ γενέσθαι μὴ ἀνακάμψειν εἰς τὰς »ἰδίας παροικίας τοὺς κατ᾽ αὐτῶν ἀποφηναμένους βίαν τε παθεῖν ἐν »τῇ Θράκῃ ἐν αὐτῷ τῷ χειμῶνι, ὥστε τῶν παρ᾽ αὐτῶν καινοτομου»μένων ἀνέχεσθαι.

»Εἴπερ οὖν τινες τὴν Ἀρίμηνον ὀνομάζουσι, δεικνύτωσαν πρῶτον 7 »τὴν καθαίρεσιν τῶν προειρημένων καὶ ἅπερ ἔγραψαν οἱ ἐπίσκοποι, »λέγοντες μηδὲν πλέον ζητεῖν τῶν ἐν Νικαίᾳ παρὰ τῶν πατέρων »ὁμολογηθέντων μηδὲ ὀνομάζειν ἄλλην σύνοδον παρ᾽ ἐκείνην. ἀλλὰ »ταῦτα μὲν κρύπτουσι, τὰ δὲ ἐν τῇ Θράκῃ κατὰ βίαν πραχθέντα προβάλ»λονται. ἐξ ὧν δείκνυνται τῆς μὲν Ἀρειανῆς αἱρέσεως ὄντες, ἀλλότριοι 8 »δὲ τῆς ὑγιαινούσης πίστεως. καὶ αὐτὴν δὲ τὴν μεγάλην σύνοδον καὶ »τὰς παρ᾽ ἐκείνων ἐάν τις ἀντεξετάζειν ἐκ παραλλήλου ἐθέλοι, εὕροι »ἂν τῶν μὲν τὴν θεοσέβειαν, τούτων δὲ τὴν ἀλογίαν. οἱ ἐν Νικαίᾳ 9 »συνελθόντες οὐ καθαιρεθέντες συνῆλθον, ἀλλὰ καὶ ὡμολόγησαν τῆς »οὐσίας τοῦ πατρὸς εἶναι τὸν υἱόν· οὗτοι δέ, καὶ ἅπαξ καὶ δεύτερον »καθαιρεθέντες καὶ τρίτον ἐν αὐτῇ τῇ Ἀριμήνῳ, γράφειν ἐτόλμησαν »μὴ χρῆναι λέγειν οὐσίαν ἢ ὑπόστασιν ἔχειν τὸν θεόν.«

Κατὰ μὲν δὴ τὴν Ἑσπέραν παρὰ τῶν Ἀρείου θιασωτῶν τοιαῦτα καὶ τοσαῦτα κατὰ τῶν τῆς ἀληθείας δογμάτων κατεσκευάσθη σοφί»σματά τε καὶ μηχανήματα.

Ἐν Ἀντιοχείᾳ δὲ μετὰ Στέφανον, ὃς Φλάκιτον διαδεξάμενος τῶν 24 ἐκκλησιαστικῶν ἐξηλάθη συλλόγων, Λεόντιος τὴν προεδρίαν ἐδέξατο, παρὰ τοὺς ἐν Νικαίᾳ γραφέντας ὅρους ταύτην λαβών. ἐκτομίας γὰρ ἦν, αὐτουργὸς γενόμενος τῆς τομῆς. λέγει δὲ καὶ τὴν αἰτίαν τῆς ἐκτομῆς ὁ θαυμάσιος Ἀθανάσιος.

21—S. 153, 5 vgl. Nicetas Thesaur. V 30 PG 139, 1390 BC — **23** Can. Nicaen. 1 (Mansi II 668)

B [von **13** *τῶν* an] A HN (n) + GS (s) = r B³ [bis **13** *ἂν*] L + FVR (v) = z T [bis **17**]

1 *μὴ* übergeschrieben Ac | **2** *αὐτῶν*] *αὐτὴν* B³ | **3/4** *κενοτομημένων* A **6** *οἱ ἐπίσκοποι* Am | **9** *πραχθέντα κατὰ βίαν* ∾ v | **10** *δείκνυται* A **12** *τὰς*] *τὰ* AVR | *ἐάν* AnL *ἄν* sB³vTAthan. | *ἀντεξετάζειν* AnST *ἐξετάζειν* Gz | *θέλοι* sT | **13** *τούτων δὲ*] *τῶν δὲ* LAthan. *τούτων τε* T | *οἱ* BA Athan. *οἱ γὰρ* rzT *γὰρ* übergeschrieben Ac | **15** *οὗτοι* BrzTAthan. *αὐτοὶ* A | *καὶ δεύτερον* — **16** *Ἀριμήνῳ* > n | **17** *θεόν*] *υἱόν* s | **18** *κδ* am Rand rz | *δὴ*] *οὖν* B | **21** *κδ* am Rand A | **22** *ἐξηλάθησαν, σαν* gestrichen, A | nach *Λεόντιος* + *δὲ* F, ausradiert AVR | *ἐδέξατο* AnL *διεδέξατο* Bs *δεξάμενος* v | **24** *τομῆς*] *τόλμης* A | **24/25** *τὴν αἰτίαν τῆς ἐκτομῆς*] *τὴν ἐκτομὴν* s | **25** *ἐκτομῆς*] *τομῆς* L | *θαυμάσιος*] *μακάριος* A

»Ὁ μὲν γὰρ Λεόντιος διαβαλλόμενος μετὰ γυναικός τινος νεωτέ- 2
»ρας λεγομένης Εὐστολίου, κεκωλυμένος συνοικεῖν αὐτῇ, δι᾽ αὐτὴν
»ἑαυτὸν ἀπέκοψεν, ἵν᾽ ἐπ᾽ ἀδείας ἔχῃ διατρίβειν μετ᾽ αὐτῆς. καὶ τὴν
»μὲν ὑποψίαν οὐκ ἀπενίψατο, διὰ τοῦτο δὲ μᾶλλον καὶ πρεσβύτερος
»ὢν καθηρέθη.«

Ταῦτα μὲν οὖν περὶ τῆς ἄλλης αὐτοῦ γέγραφε βιοτῆς· ἐγὼ δὲ τὸ 3
κακόηθες αὐτοῦ καὶ πανοῦργον ἐν κεφαλαίῳ δηλώσω. τῆς γὰρ δὴ
Ἀρείου βλασφημίας μετέχων κρύπτειν ἐπειρᾶτο τὴν νόσον. καὶ διχῇ δι-
ρημένους τοὺς ἱερωμένους καὶ τὸν λοιπὸν ὅμιλον θεωρῶν, καὶ τοὺς μὲν
τὸν καὶ σύνδεσμον ἐπὶ τῆς τοῦ υἱοῦ δοξολογίας τιθέντας, τοὺς δὲ τὴν
μὲν δι᾽ οὗ πρόθεσιν ἐπὶ τοῦ υἱοῦ τὴν δὲ ἐν ἐπὶ τοῦ πνεύματος προσαρ-
μόζοντας, σιγῇ τὴν δοξολογίαν προσέφερε, μόνον δὲ τὸ εἰς τοὺς
αἰῶνας τῶν αἰώνων ἤκουον οἱ πελάζοντες. καὶ εἰ μὲν τὰ ἄλλα μὴ 4
πολλὴν ἐδήλου τὴν τῆς ψυχῆς πονηρίαν, εἶπεν ἄν τις αὐτὸν ταῦτα
μηχανᾶσθαι τῆς τοῦ λαοῦ προμηθούμενον ὁμονοίας· ἐπειδὴ δὲ πολλὰ
καὶ δεινὰ κατὰ τῶν τῆς ἀληθείας ἐτεχνάσατο συνηγόρων καὶ τοὺς
τῆς ἀσεβείας μετέχοντας πάσης ἠξίου κηδεμονίας, δῆλος ἦν κρύπτων τὴν
λώβην διά τε τοῦ πλήθους τὸ δέος καὶ διὰ τὰς Κωνσταντίου κατὰ
τῶν ἀνόμοιον τὸν υἱὸν λέγειν τολμώντων χαλεπὰς ἀπειλάς. δεδή- 5
λωκε δὲ τὴν ἐκείνου γνώμην τὰ πεπραγμένα. ὅσοι μὲν γὰρ τοῖς
ἀποστολικοῖς εἵποντο δόγμασιν οὐδεμιᾶς παρ᾽ ἐκείνου κηδεμονίας ἢ
χειροτονίας ἀπήλαυσαν, οἱ δὲ τῆς Ἀρείου μανίας μετειληχότες καὶ
παρρησίας μετελάγχανον ὅτι μάλιστα πλείστης καὶ τοῖς ἱερατικοῖς
ἐγκατελέγοντο τάγμασι.

Κατ᾽ ἐκεῖνον δὲ τὸν καιρὸν καὶ Ἀέτιος ὁ Εὐνομίου διδάσκαλος, ὃς 6

1—5 Athanas. Apol. de fuga sua 26. vgl. Socrat. II 26, 9 — **8—15** vgl. Sozomen. III 20, 8—9 — **9—11** vgl. Nicetas Thesaur. V 30 ebd. Philostorg. III 13 — **25**—S. 154, 11 vgl. Nicetas Thesaur. V 31. Philostorg. III 17. Socrat. II 35, 5

* **1—5** Niceph. H. E. IX 29 — **7**—S. 155. 20 Cass. V 32

B A HN (n) + GS (s) = r L + FVR (v) = z T [von **7** τῆς γὰρ an]

2 εὐστολίου BA Athan. Socr. in εὐστολίασ corr. Ac εὐστολίασ rz Nic. Nicet. | **3** ἔχει BG | **4** μὲν = Nic. Athan. > B | δὲ ausradiert A | **6** γέγραφε] γέγονε v | βιότητοσ s βιώτητοσ B | **7** τῆς γὰρ δή] τὴν T | **8** τὴν νόσον vor κρύπτειν ∾ T | **8/9** διηρημένοσ n | **10** τεθέντασ B | **11** μὲν Ts > v | **15** προμηθούμενοσ BA | **15.16** ἐπεὶ δεινὰ πολλὰ n | **16** ἀληθείας] ἐκκλησίασ A | **18** διά τε τοῦ πλήθοντῷ δέοσ aus διὰ τὸ τοῦ πλήθονσ δέοσ corr. Ac | **19** τῶν] τὸν A | λέγειν τὸν υἱὸν ∾ rz | **23** πλείστης ὅτι μάλιστα ∾ T | **25** δὲ B *siquidem* Cass. > Arz T | **25** nach διδάσκαλος + περὶ οὗ ἐν τοῖσ πρώτοισ εἰρήκαμεν T*

τὴν Ἀρείου βλασφημίαν ταῖς ἐπινοίαις ἐπηύξησε, τῷ τῶν διακόνων ἐγκατελέγη χορῷ. ἀλλὰ Φλαβιανὸς καὶ Διόδωρος, τὴν μὲν ἀσκητικὴν 7
ἀσπαζόμενοι πολιτείαν, προφανῶς δὲ τῶν ἀποστολικῶν ὑπερμαχοῦντες
δογμάτων, ἄντικρυς τοῦ Λεοντίου διήλεγξαν τὰς κατὰ τῆς εὐσεβείας
ἐπιβουλάς, ἄνδρα φήσαντες πονηροῖς μὲν ἐπιτηδεύμασιν ἐντραφέντα,
ἐκ δὲ τῆς δυσσεβείας περιφάνειαν κτήσασθαι μηχανώμενον, ἐπὶ λύμῃ
τῆς ἐκκλησίας τοῦ τῆς διακονίας ὀνόματος ἠξιῶσθαι· ἠπείλουν δὲ
καὶ τῆς ἐκκλησιαστικῆς ἀποστήσεσθαι κοινωνίας καὶ τὴν Ἑσπέραν
καταλήψεσθαι καὶ δῆλα ποιήσειν τὰ τυρευόμενα. ταῦτα δείσας ὁ 8
Λεόντιος τῆς μὲν λειτουργίας ἔπαυσε τὸν Ἀέτιον, τῆς δέ γε ἄλλης
αὐτὸν θεραπείας ἠξίου.

Ἡ δὲ ἀξιάγαστος ξυνωρὶς Φλαβιανὸς καὶ Διόδωρος, ἱερατικῆς
μὲν λειτουργίας οὐδέπω τετυχηκότες, τῷ δὲ λαῷ συντεταγμένοι,
νύκτωρ καὶ μεθ' ἡμέραν εἰς τὸν ὑπὲρ τῆς εὐσεβείας ζῆλον διήγειρον
ἅπαντας. οὗτοι πρῶτοι διχῇ διελόντες τοὺς τῶν ψαλλόντων χοροὺς ἐκ 9
διαδοχῆς ᾄδειν τὴν Δαυϊτικὴν ἐδίδαξαν μελῳδίαν· καὶ τοῦτο ἐν Ἀντιοχείᾳ
πρῶτον ἀρξάμενον πάντοσε διέδραμε καὶ κατέλαβε τῆς οἰκουμένης τὰ
τέρματα. οὗτοι τῶν θείων τοὺς ἐραστὰς εἰς τοὺς τῶν μαρτύρων
σηκοὺς συναγείροντες, πάννυχοι διετέλουν σὺν ἐκείνοις τὸν θεὸν ἀνυ-
μνοῦντες. ταῦτα δὲ ὁρῶν ὁ Λεόντιος κωλύειν μὲν οὐκ ἐνόμιζεν 10
ἀσφαλές (ἑώρα γὰρ τὸ πλῆθος εὖ μάλα περὶ τοὺς ἀρίστους ἐκείνους
διακείμενον ἄνδρας), ἐπιεικείᾳ δὲ τοὺς λόγους χρωννὺς ἐν ταῖς ἐκ-
κλησίαις ταύτην γίνεσθαι παρ' αὐτῶν τὴν λειτουργίαν ἠξίου. οἱ δὲ 11
καὶ λίαν ἀκριβῶς τὴν ἐκείνου πονηρίαν εἰδότες τὸ κελευόμενον ἔδρων,

1 vgl. Theodoret. Haeret. Fabul. IV 3 PG 83, 417 A — **12—18** vgl. Nicetas Thesaur. V 30 PG 139, 1390 C [aus Theodor von Mopsuestia] — **12—14** vgl. Joh. Chrys. In S. Eustath. 4 PG 50, 604 unten

* **15—18** Georg. Mon. 536, 14

B A HN (n) + GS (s) = r L + FVR (v) = z T

2 ἐγκατηλέγη A *κατελέγη* B | **3** *ἀσπαζόμενοι* (*ἀσπ* und *οι* auf Rasur Ac) A | *προμαχοῦντες* rv | **4** *τοῦ* > T | **5** nach *φήσαντες* + *τὸν ἀέτιον* B, Cass. wie im Text | *ἐκτραφέντα* B | **8** *ἐκκλησιαστικῆς*] *ἀποστολικῆς* B *apostolica* Cass. | *ἀποστήσεσθαι*] *εσεσθαι* A *ἀποστη* Am | **9** *ποιήσεσθαι* s | *τυρευόμενα*] *τυδευόμενα* B *τυρανεύματα* s | *ὁ* > A | **10** *γε* > BA | **11** *αὐτῶν* T | *ἠξίουν* T | **13** *λαῷ δὲ* ~ T | **15** *τοὺς τῶν* — **16** *ᾄδειν* nach *μελῳδίαν* ~ T, Cass. wie im Text | **16** *ᾄδειν*] *ἄγειν* n | *μελῳδίαν* //////// A | **17** *πάντοσε* = Georg.] *πανταχόσε* B | **19** *ἀγείροντες* A | *παννιχὶ* z *παννιχι* T | *ἐτέλουν* n | **23** *παρ' αὐτῶν* > T, *ab eis* Cass.

καὶ τοὺς συνεραστὰς εἰς τὰς ἐκκλησίας συνήθροιζον μάλα προθύμως, ὑμνεῖν τὸν ἀγαθὸν δεσπότην παρεγγυῶντες.

Τὸν μέντοι Λεόντιον οὐδὲν ἔπεισε κολάσαι τὴν πονηρίαν, ἀλλὰ τὸ τῆς ἐπιεικείας περιθέμενος προσωπεῖον καὶ Στεφάνου καὶ Φλακίτου τὴν βδελυρίαν ἀπέκρυψε. τοὺς γὰρ τῶν δογμάτων τὴν διαφθορὰν 12 εἰσδεξαμένους, εἰ καὶ τὸν ἀκόλαστον ἠσπάζοντο βίον, τοῖς τῶν πρεσβυτέρων καὶ διακόνων ἐγκατέλεγε τάγμασι, τοὺς δὲ τοῖς παντοδαποῖς εἴδεσι τῆς ἀρετῆς κοσμουμένους τῶν τε ἀποστολικῶν δογμάτων ἀντεχομένους ἀγεράστους κατέλειπε. τούτου δὴ χάριν ὁ μὲν κλῆρος 13 πλείους εἶχε τοὺς τῆς αἱρετικῆς λύμης μετειληχότας, τοῦ δὲ λαοῦ τὸ πλεῖστον τῶν ὀρθῶν ὑπερεμάχει δογμάτων. οὐδὲ γὰρ οἱ τὰς διδασκαλίας προσφέροντες γυμνοῦν ἐθάρρουν τὴν βλασφημίαν. ὅσα μὲν οὖν Φλάκιτος καὶ Στέφανος καὶ Λεόντιος δυσσεβῆ καὶ παράνομα ἐν Ἀντιοχείᾳ δεδράκασι, συγγραφῆς μὲν οἰκείας δεῖται διὰ τὸ πλῆθος, τῆς δὲ τοῦ Δαβὶδ θρηνῳδίας διὰ τὸ μέγεθος. καὶ περὶ τούτων γὰρ 14 λέγειν χρή· »ὅτι ἰδοὺ οἱ ἐχθροί σου ἤχησαν, καὶ οἱ μισοῦντές σε ἦραν κεφαλήν· ἐπὶ τὸν λαόν σου κατεπανουργεύσαντο γνώμην, καὶ ἐβουλεύσαντο κατὰ τῶν ἁγίων σου. εἶπον· δεῦτε καὶ ἐξολοθρεύσωμεν αὐτοὺς ἐξ ἔθνους, καὶ οὐ μὴ μνησθῇ τὸ ὄνομα Ἰσραὴλ ἔτι«. ἡμεῖς δὲ τὰ λοιπὰ τῆς ἱστορίας συγγράψωμεν.

Γερμανίκεια πόλις ἐστὶν ἐν μεθορίῳ τῆς Κιλίκων καὶ Σύρων 25 καὶ Καππαδοκῶν κειμένη, εἰς δὲ τὴν Εὐφρατησίαν καλουμένην ἐπαρχίαν τελεῖ. τῆσδε τῆς ἐκκλησίας προστατεύων Εὐδόξιος, εἶτα Λεόντιον τεθνηκέναι μαθών, κατέλαβε μὲν τὴν Ἀντιόχειαν, ἥρπασε δὲ

16—20 Psal. 82, 3—5 — **21—24** vgl. Socrat. II 37, 7—9. Philostorg. IV 4

* **21**—S. 157, 3 Cass. V 33

B A HN (n) + GS (s) = r L + FVR (v) = z T

1 *συνεραστὰς* ALT *ἐραστὰς* rv *amatores suos* Cass. *συνεργάτας* B | **2** *ἀγαθὸν* BrvT *ἅγιον* AL > Cass. | *παρηγγύοντες* T | **4** *φλαβίτου* B *///λακίτου* A | **5** *βδελυρίαν*] *πονηρίαν* L | *διαφθορὰν*] *διαφορὰν* A | **6** *βίον ἠσπάζοντο* ~ L | **7** *ἐγκατέλεγε* A *ἐνκατελέγετο* B | *τοῖς* > nG | **8** *τῶν τε* AT *et* Cass. *τῶν δὲ* BNszA^{c} *καὶ τῶν* H | **9** *κατέλιπε* Az *deseruit* Cass. | **10** *λύμης*] *πλάνης* B | *μετειληφότας* T | **12** *προφέροντες* s | *γυμνοῦν* B | **13** *πλάκιτος* in *φλάκιτος* corr. A^{c} *flacitas* Cass. Codd. LP | **15/16** *λέγειν γὰρ* ~ T | **18** *ἁγίων* = Psal.] *ὁσίων* T | *εἶπαν* nG | **19 20** *τὸ ὄνομα* = Psal. *τοῦ* n | **20** *ἡμεῖς — συγγράψωμεν*] *τὰ δὲ λοιπὰ τῆς ἱστορίας συγγράψω* T* | *συγγράψωμεν* Bz *συνεγράψωμεν* G *ad reliqua veniamus* Cass. *συγγράψομεν* nS und, *o* auf Rasur, A | **21** *κε* am Rand HSS | **24** *μὲν* > s

τὴν προεδρίαν, συὸς ἀγρίου δίκην λυμαινόμενος τὸν ἀμπελῶνα τὸν θεῖον. οὐδὲ γὰρ Λεοντίῳ παραπλησίως τὴν κακοήθειαν συνε- 2
κάλυπτεν, ἀλλ' ἄντικρυς κατὰ τῶν ἀποστολικῶν ἐλύττα δογμάτων καὶ τοὺς ἀντιλέγειν τολμῶντας παντοδαπαῖς περιέβαλλε
συμφοραῖς. κατὰ τοῦτον δὲ τὸν χρόνον Ἀγκύρας μὲν τῆς Γαλατῶν 3
μητροπόλεως Βασίλειος κατεῖχε τὰ τῆς ἐκκλησίας πηδάλια, Μάρκελλον διαδεξάμενος, Εὐστάθιος δὲ Σεβαστείας ἡγεῖτο, ἣ τῆς Ἀρμενίας ἐπρώτευεν. οὗτοι τὴν Εὐδοξίου παρανομίαν καὶ λύτταν μεμαθηκότες Κωνσταντίῳ τῷ βασιλεῖ τὰ τολμηθέντα διὰ γραμμάτων ἐδήλωσαν.
ἔτι δὲ οὗτος ἐν τῷ πρὸς δυόμενον ἥλιον διέτριβε τμήματι, τὴν παρὰ 4
τῶν τυράννων γεγενημένην βλάβην ἰώμενος μετὰ τὴν ἐκείνων ἀναίρεσιν. συνήθεις δὲ ἦσαν οὗτοι τῷ βασιλεῖ καὶ πλείστης ὅσης διὰ τὴν ἀξιέπαινον βιοτὴν ἀπήλαυνον παρρησίας.

Ταῦτα μαθὼν ὁ Κωνστάντιος Ἀντιοχεῦσι μὲν ἐπέστειλεν ὡς οὐκ 26
αὐτὸς Εὐδοξίῳ τὴν τῆς ἐκκλησίας ἐκείνης ἐπέτρεψε προεδρίαν (τοῦτο γὰρ ἐκεῖνος ἐθρύλησεν)· Εὐδόξιον δὲ τῆς μὲν πόλεως ἐξελαθῆναι, δοῦναι δὲ δίκας ὧν ἔδρασεν ἐν Νικαίᾳ τῆς Βιθυνίας προσέταξεν, ἐκεῖ συνδραμεῖν παρεγγυήσας τὴν σύνοδον. τὴν δὲ Νίκαιαν αὐτὸς Εὐδόξιος ἀφορίσαι τῷ συνεδρίῳ τοὺς τὰ βασίλεια πεπιστευμένους
οἰκονομεῖν ἔπεισεν. ἀλλ' ὁ τῶν ὅλων πρύτανις, τὰ ἐσόμενα ἐπιστά- 2
μενος ὡς ἤδη γεγενημένα, σεισμῷ τινι παραδόξῳ κεκώλυκε τὸ συνέδριον· τὰ γὰρ πλεῖστα τῆς πόλεως ὁ σεισμὸς ἐκεῖνος κατήνεγκε καὶ τῶν οἰκητόρων τοὺς πλείστους διέφθειρε. τοῦτο μεμαθηκότες οἱ συνελθόν- 3
τες καὶ κομιδῇ δείσαντες, εἰς τὰς οἰκείας ἐκκλησίας ἀνέστρεψαν. τῆς δὲ
τοῦ θεοῦ σοφίας ἡγοῦμαι τοῦτο μηχάνημα. ἐπειδὴ γὰρ ἐν ἐκείνῃ τῇ πόλει παρὰ τῶν ἁγίων πατέρων ἡ τῆς ἀποστολικῆς πίστεως ἐγράφη διδασκαλία, ἐναντία δὲ γράφειν ἐν αὐτῇ ἔμελλον οἱ ὕστερον ἀθροιζόμενοι, ἀφορμὴ δὲ τοῖς Ἀρείου θιασώταις ἐξαπάτης ἡ τῆς ἐπωνυμίας

1 vgl. Psal. 79, 14 — **2—5** vgl. Sozomen. IV 12, 5. Theodoret. Haeret. Fabul. IV 2 — **5—13** vgl. Philostorg. IV 6 und 8 — **8/9** vgl. Sozomen. IV 13, 4f — **14—16** vgl. Sozomen. IV 14 — **17/18** vgl. Philostorg. IV 11. Socrat. II 39, 3. Sozomen. IV 16, 1 u. 16 — **21/22** vgl. Sozomen. IV 16, 3 u. 18

B A HN (n) + GS (s) = r L + FVR (v) = z T [bis **17** ἔδρασεν]

8 καὶ λύτταν nach μεμαθηκότες ∼ z, Cass. wie im Text | **12** οὗτοι ἦσαν ∼ B | ὅσης As | **13** ἀπέλαυνον z | **14** κζ am Rand HSS | **15** τὴν ausradiert A | **16** δὲ τῆς μὲν] μὲν τῆσ B | **18** τὴν σύνοδον παρεγγυήσασ A | **20/21** ὡσ ἤδη γεγενημένα ἐπιστάμενοσ A | **23 24** συνελθόντες (ελθόν auf Rasur Ac) A συνειόντες B, *qui convenerant* Cass. | **25** τοῦτο] τοῦτο τὸ B | **27** οἱ > L | **28** τοῖς τῆσ A | θειασότεσ A | **28f** ἐξαπάτης nach ἐγίνετο ∼ n

ταυτότης ἐγίνετο καὶ βουκολεῖν ἔμελλον τοὺς ἁπλοῖς ἤθεσι κεχρημένους. ἀπὸ Νικαίας καὶ ταύτην προσαγορεύοντες καὶ ὡς τὴν παλαιὰν ἐκείνην προφέροντες, διέλυσεν ὁ τῶν ἐκκλησιῶν προμηθούμενος τὸ συνέδριον.

Χρόνου δὲ διελθόντος, ὑπὸ τῶν Εὐδοξίου κατηγόρων ὑπομνη- 4 [κζ΄
σθεὶς ὁ Κωνστάντιος εἰς Σελεύκειαν τὴν σύνοδον γενέσθαι προσέταξε· πόλις δὲ αὕτη τῆς Ἰσαυρίας πρὸς τῇ θαλάττῃ κειμένη καὶ τῶν ὁμοφύλων πόλεων ἡγουμένη, εἰς ταύτην ἀθροισθῆναι τοὺς τῆς Ἑῴας ἐπισκόπους καὶ μὲν δὴ καὶ τοὺς τῆς Ποντικῆς καὶ τοὺς τῆς Ἀσιανῆς παρηγγύησε. κατὰ τοῦτον δὲ τὸν καιρὸν Καισαρείας μὲν 5
τῆς Παλαιστίνων μητροπόλεως Ἀκάκιος ἡγεῖτο, διαδεξάμενος τὸν Εὐσέβιον. τοῦτον δὲ τὸν Ἀκάκιον ἡ ἐν τῇ Σαρδικῇ συναθροισθεῖσα σύνοδος ἀπεκήρυξεν, ἀλλὰ τὴν ἐξενεχθεῖσαν οὐκ ἐδέξατο ψῆφον, τοσούτου πλήθους ἀρχιερέων καταφρονήσας. τῶν δέ γε Ἱεροσολύμων 6
μετὰ Μακάριον ἐκεῖνον, οὗ πολλάκις ἐμνήσθην, Μάξιμος τὴν προ-
εδρίαν παρέλαβεν, ἀνὴρ ἐν τοῖς ὑπὲρ εὐσεβείας διαπρέψας ἀγῶσι· τόν τε γὰρ δεξιὸν ὀφθαλμὸν ἀφῄρητο καὶ τῆς ἀγκύλης ἐστέρητο τῆς δεξιᾶς. τούτου δὲ εἰς τὸν ἀγήρω μεταστάντος βίον, Κύριλλος τῆς ἐπισκοπικῆς χάριτος ἠξιώθη, τῶν ἀποστολικῶν δογμάτων προθύμως ὑπερμαχῶν. οὗτοι πρὸς ἀλλήλους περὶ πρωτείων φιλονεικοῦντες μεγίστων
κακῶν τοῖς κοινοῖς ἐγένοντο πρόξενοι. ὁ μὲν γὰρ Ἀκάκιος μικράς 7
τινας εὐρὼν ἀφορμὰς καθεῖλε τὸν Κύριλλον καὶ τῶν Ἱεροσολύμων ἐξήλασεν. ὁ δὲ Κύριλλος τὴν μὲν Ἀντιόχειαν παρελήλυθε ποιμένος αὐτὴν ἐστερημένην εὑρών, εἰς δὲ Ταρσὸν ἀφικόμενος τῷ θαυμασίῳ συνῆν

1—3 vgl. Socrat. II 37, 96. Sozomen. IV 19, 8 — **16/17** vgl. Rufin. H. E. X 4 u. 18. Sozomen. I 10, 2. IV 20, 1. Socrat. II 38, 2 — **19—22** vgl. Sozomen. IV 25, 2—3

* **17**—S. 158, 1 Synax. 545, 6 — **20**—S. 158, 1 Polydeukes 348, 20

B A HN (n) + GS (s) = r L + FVR [R bis **1** *κεχρη*] (v) = z T [von **9** *κατὰ* an]

1 *ταυτότης ἐγίνετο*] *ταύτησ ἐγένετο* L | *ἤμελλον* AL | *τοὺς ἁπλοῖς*] *τοῖσ ἁπαλοῖσ* B, *simpliciores* Cass. | **2** *παλαιὰν*] *μαλακίαν* B, *veterem* Cass. | nach *ἐκείνην* Raum von 2 Buchstaben A | **3** *προσφέροντεσ* AF, *proferentes* Cass. | **4** *κζ* am Rand HSS | **5** *ὁ* > B | **6** *διακειμένη* L | **7** *πόλεων* Am | **8** *ποντηκῆσ* B | *Ποντικῆς* und **9** *Ἀσιανῆς* ~ sv | **9** *Ἀσιανῆς*] *ἀσίασ* B | *παρεγγύησε* A *παρεγγύησεν* B | *κατὰ γὰρ τὸν αὐτὸν καιρὸν* T* | **10** *παλαιστινῶν* BcAc | *τὸν* > T | **11** *τῇ* BnGv > ASLT | *συναθροισθεῖσα* am Rand Ac *συνελθοῦσα* L > T | **12** *ἀπεκήρυξεν* — **17** *βίον*] *καθεῖλε· κἂν τῆσ ἐξενεχθείσησ κατ' αὐτοῦ ψήφου ἠλόγησεν ἱεροσολύμων δὲ μετὰ μακάριον μάξιμοσ ὁ ἐν ἀγῶσι διαπρέψασ προέστη· οὗ μεταστάντοσ* T* | **20** *κοινοῖς*] *κοινωνοῖσ* AL | **23** *ταρσοὺσ* T, *ἐν τάρσῳ* Cod. Polyd.

Σιλβανῷ· οὗτος γὰρ κατ᾽ ἐκεῖνον τὸν χρόνον ἐκείνης ἡγεῖτο τῆς ἐκκλησίας. τοῦτο μαθὼν ὁ Ἀκάκιος ἐπέστειλε τῷ Σιλβανῷ καὶ τὴν καθαίρεσιν τοῦ Κυρίλλου μεμήνυκεν. ὁ δέ, καὶ τὸν Κύριλλον αἰδούμενος καὶ τὸ **8**
πλῆθος ὑφορώμενος (ἥδιστα γὰρ τῆς τοῦ Κυρίλλου διδασκαλίας ἀπήλαυε), τῆς ἐκκλησιαστικῆς οὐκ ἐκώλυσε λειτουργίας. ἐπειδὴ δὲ **9**
συνῆλθον εἰς τὴν Σελεύκειαν, ἐκοινώνει μὲν τοῖς ἀμφὶ τὸν Βασίλειον καὶ Εὐστάθιον καὶ Σιλβανὸν καὶ τοῖς λοιποῖς ὁ Κύριλλος τοῦ συνεδρίου. ὁ δέ γε Ἀκάκιος ἀφίκετο μὲν καὶ αὐτὸς πρὸς τοὺς συνεληλυθότας ἐπισκόπους (πεντήκοντα δὲ ἦσαν καὶ ἑκατόν), ἔφασκε δὲ μὴ πρότερον αὐτοῖς κοινωνήσειν τῶν βουλευμάτων πρὶν ἔξω γενέσθαι τοῦ συλλόγου τὸν Κύριλλον, ἅτε δὴ τῆς ἀρχιερωσύνης γεγυμνωμένον. καί **10**
τινες μὲν τῶν τῆς εἰρήνης προμηθουμένων ὑποχωρῆσαι τὸν Κύριλλον ἱκέτευον, ὑπισχνούμενοι μετὰ τὴν τῶν δογμάτων διάκρισιν καὶ τὴν κατ᾽ αὐτὸν ἐξετάσειν ὑπόθεσιν. ἐπειδὴ δὲ οὐκ εἶξε, καταλιπὼν μὲν αὐτοὺς ὁ **11**
Ἀκάκιος ἐξελήλυθεν, Εὐδοξίῳ δὲ συγγενόμενος τὸ μὲν ἐγκείμενον ἐξήλασε δέος. θάρσος δὲ ἐνέθηκε συνήγορος αὐτοῦ καὶ συναγωνιστὴς ὑποσχόμενος ἔσεσθαι. καὶ εἰς μὲν τὸ συνέδριον εἰσελθεῖν διεκώλυσε, τὴν δὲ Κωνσταντινούπολιν σὺν ἐκείνῳ κατέλαβε.

Κωνστάντιος γὰρ ἀπὸ τῆς Ἑσπέρας ἐπανελθὼν ἐν ταύτῃ διέτριβε. **27** [κη′]
πολλὰ δὲ τῶν συνεληλυθότων ἐπὶ τοῦ βασιλέως κατηγορήσας καὶ σύστημα πονηρῶν ἀνθρώπων ἀποκαλέσας ἐπ᾽ ὀλέθρῳ καὶ λύμῃ τῶν ἐκκλησιῶν συγκροτούμενον, τὸν βασιλέως ἀνῆψε θυμόν. οὐχ ἥκιστα δὲ αὐτὸν χαλεπῆναι πεποίηκεν ἃ κατὰ τοῦ Κυρίλλου συντέθεικε.

18—22 vgl. Sozomen. IV 23, 1. Socrat. II 41, 2

* **22**—S. 159, 7 Cass. V 37

B A HN (n) + GS (s) = r L + FV (v) = z T

1 *χρόνον*] *καιρὸν* AL | **3** *τοῦ*] *τὴν* L > GT | **3/4** *καὶ τὸ πλῆθος ὑφορώμενος* Am | **7** *τοῖς λοιποῖς* NSvTAc *τοὺς λοιποὺς* BAHGL | *ὁ* > n **8** nach *συνεδρίου* + *καὶ τῶν βουλευμάτων* expungiert A | **9** *πεντήκοντα — ἑκατόν* > T, *ἑκατὸν ἑξήκοντα* Athan. De synod. 12, Socr. II 39, 5, Sozom. IV 22, 1; aber 150 auch Michael Syr. VII 4 S. 274 | **13/14** *καὶ τὴν κατ᾽ αὐτὸν* nSvT *καὶ τὴν κατ᾽ αὐτῶν* BAmG > L | **14** *ἐξετάσειν ὑπόθεσιν* B *ἐξετάζειν ὑπόθεσιν* rv *ὑπόθεσιν ἐξετάζειν* A *ὑπόθεσιν ἐξετάζειν* L *ἐξέτασιν ποιήσασθαι* T | *ἐπειδὴ*] *ἐπεὶ* n | **17** *ὑπισχνούμενος* n | *μὲν* > T | *εἰσελθεῖν* BArT *εἰσελθεῖν αὐτὸν* z und, *αὐτὸν* am Rand, Ac | **18** *τὴν δὲ — 22 συγκροτούμενον* > T* | **19** *κ̄η̄* am Rand ALF | *ἐνταύτῃ, τηι* auf Rasur Ac *ἐνταῦθα* L | **20** *πολλὰ*: *κ̄η̄* am Rand B | *δὲ* > B | **23** *τοῦ* > T | *συντέθηκεν* BT *συντέθεικαν* F *συντέθεικε* ///, ε aus α corr., V

τὴν γὰρ ἱερὰν στολήν, ἣν ὁ πανεύφημος Κωνσταντῖνος ὁ βασιλεὺς τὴν 2
Ἱεροσολύμων ἐκκλησίαν γεραίρων ἐδεδώκει Μακαρίῳ τῷ τῆς πόλεως ἐκεί-
νης ἀρχιερεῖ ἵνα ταύτην περιβαλλόμενος τὴν τοῦ θείου βαπτίσματος ἐπι-
τελῇ λειτουργίαν (ἐκ χρυσῶν δὲ αὕτη κατεσκεύαστο ῥημάτων), πεπρα-
κέναι τὸν Κύριλλον ἔφη, καὶ ταύτην τινὰ τῶν ἐπὶ τῆς θυμέλης λυ-
γιζομένων πριάμενον περιβαλέσθαι μέν, ὀρχούμενον δὲ πεσεῖν καὶ
συντριβῆναι καὶ θανάτῳ παραδοθῆναι. »τοῦτον«, ἔφη, »κοινωνὸν
ἔχοντες κρίνειν τοῖς ἄλλοις καὶ δικάζειν ἐπιχειροῦσι«.

Ταύτην λαβόντες τὴν ἀφορμὴν τῶν βασιλείων οἱ προστατεύοντες 3
πείθουσι τὸν βασιλέα μὴ πᾶσαν ἀθροῖσαι τὴν σύνοδον (ἐδεδίεσαν γὰρ
τοῦ πλήθους τὴν συμφωνίαν), ἀλλὰ δέκα τοὺς ἡγουμένους. ἐν τού- 4
τοις Εὐστάθιος ἦν ὁ Ἀρμένιος καὶ Βασίλειος ὁ Γαλάτης καὶ Σιλβανὸς
ὁ Ταρσοῦ καὶ Ἐλεύσιος ὁ Κυζίκου. οὗτοι παραγενόμενοι παρεκάλουν
τὸν βασιλέα τὴν Εὐδοξίου βλασφημίαν τε καὶ παρανομίαν ἐξελεγ-
χθῆναι. ὁ δὲ παρὰ τῶν τἀναντία φρονούντων διδασκόμενος ἔλεγε
χρῆναι πρότερον τὰ κατὰ τὴν πίστιν διακριθῆναι, εἶθ' οὕτω τὰ
κατ' ἐκεῖνον ἐξετασθῆναι. τοῦ δὲ Βασιλείου τῇ προτέρᾳ συνηθείᾳ 5
θαρρήσαντος καὶ σὺν παρρησίᾳ τὸν βασιλέα διελέγξαντος ὡς τοῖς ἀποστο-
λικοῖς ἐπιβουλεύοντα δόγμασιν, ἐχαλέπηνε μὲν ὁ Κωνστάντιος, σιγῆ-
σαι δὲ προσέταξε τὸν Βασίλειον, ὡς ζάλης αἴτιον ταῖς ἐκκλησίαις
γιγνόμενον. παυσαμένου δὲ τοῦ Βασιλείου τῆς διαλέξεως, »ἐπειδὴ
τὰ τῆς πίστεως διακριθῆναι βούλει, βασιλεῦ,« ὁ Εὐστάθιος ἔφη, »ὅρα
τὰς κατὰ τοῦ μονογενοῦς βλασφημίας ὑπὸ Εὐδοξίου τετολμημένας«.
καὶ ἅμα λέγων ἐπέδωκεν ἔκθεσιν, ἣ πρὸς ἄλλοις πολλοῖς δυσσεβέσι 6

1—7 vgl. Sozomen. IV 25, 3—4

* **1—6** Nicetas Thesaur. V 15 PG 139, 1375 D — **21**—S. 160, 7 Cass. V 42

B A HN (n) + GS (s) = r L + FV (v) = z T

2 ἐδεδώκει BT / δεδώκει A δεδώκει L *dederat* Cass. δέδωκε rv | τῷ μακαρίῳ A | **2/3** ἐκείνης AnT *illius* Cass. > Bsz | **3/4** ἐπιτελῇ B ἐπιτελεῖ ANGvT **5** τινὰ] τινὶ B | ἐπὶ = Sozom.] ἀπὸ L ἐπὶ Ac | **6** περιβάλλεσθαι AT | πεσεῖν καὶ = Cass. > T | **9** τῶν βασιλείων τὴν ἀφορμὴν A | οἱ τῶν βασιλείων προστατεύοντες τὴν ἀφορμὴν ∾ L | τὴν > s | **10** ἐδεδείεσαν BAG | **11** ἀλλὰ] ἀλλ' ἀνὰ T | δέκα] δὲ καὶ L | **12** ὁ[1] > ALT, übergeschrieben Ac | **13** παραγενάμενοι B, ὁ aus ά corr. Ac > T | **14 15** ἐξενεχθῆναι T | **15** nach τῶν + ἄλλων H | φρονούντων BT] πεφρονηκότων Asz > n | **19** ἐπιβουλεύσαντα B ἐπιβουλεύοντα (ον auf Rasur Ac) A | μὲν > s | **22** βούλει διακριθῆναι ∾ B βούλει A in βούλῃ corr. Ac | βασιλεῦ $\mathbf{A}^{m}$

καὶ ταῦτα προσέκειτο· »τὰ ἀνομοίως προφερόμενα ἀνόμοια κατὰ τὴν οὐσίαν ἐστίν· εἷς θεὸς ὁ πατὴρ ἐξ οὗ τὰ πάντα, καὶ εἷς κύριος Ἰησοῦς Χριστὸς δι' οὗ τὰ πάντα· ἀνόμοιον δὲ τὸ ἐξ οὗ τῷ δι' οὗ· ἀνόμοιος ἄρα ὁ υἱὸς τῷ θεῷ καὶ πατρί«. ταύτην ἀναγνωσθῆναι κελεύσας τὴν 7
ἔκθεσιν ὁ Κωνστάντιος καὶ σφόδρα χαλεπήνας πρὸς τὴν ἐγκειμένην ἀσέβειαν, ἤρετο τὸν Εὐδόξιον εἰ αὐτὸς ταῦτα συνέγραψεν· ὁ δὲ ἠρνήθη παραυτίκα καὶ ταῦτα γεγραφέναι τὸν Ἀέτιον ἔφη. Ἀέτιος 8
δὲ αὐτὸς ἦν ὃν πάλαι μὲν Λεόντιος τὰς Φλαβιανοῦ καὶ Διοδώρου κατηγορίας δεδιξάμενος τῆς διακονίας ἐγύμνωσε, Γεώργιος δὲ ὁ τῆς Ἀλεξανδρέων ἐπίβουλος συνεργὸν εἶχε καὶ τῶν δυσσεβῶν ῥημάτων καὶ τῶν ἀνοσίων ἐγχειρημάτων· τότε μέντοι μετ' Εὐνομίου τῷ 9
Εὐδοξίῳ συνῆν. Λεοντίου γὰρ δὴ τετελευτηκότος καὶ Εὐδοξίου τῆς Ἀντιοχέων ἐκκλησίας ἡρπακότος τὴν προεδρίαν, ἐπανῆκεν ἀπὸ τῆς Αἰγύπτου τὸν Εὐνόμιον ἄγων· καὶ τὸν Εὐδόξιον εὑρὼν ὁμόφρονα καὶ πρὸς τῇ δυσσεβείᾳ καὶ Συβαριτικῇ κεχρημένον χλιδῇ, πάντων προὐτίμησε τὴν ἐν Ἀντιοχείᾳ διατριβὴν καὶ σὺν Εὐνομίῳ ταῖς ἐκείνου προσηλώθη στιβάσι· τὸν γὰρ τῶν κολάκων ἐξηλώκει βίον, καὶ νῦν μὲν παρὰ τοῦτον νῦν δὲ παρ' ἐκεῖνον διετέλει φοιτῶν τε καὶ γαστριζόμενος. τότε μέντοι ὁ βασιλεὺς τοῦτο μαθὼν εἰσαχθῆναί τε 10
προσέταξε τὸν Ἀέτιον καὶ εἰσεληλυθότι τὴν ἔκθεσιν ἐκείνην ὑπέδειξε, πυνθανόμενος εἰ αὐτὸς ἐκείνους τετοκὼς εἴη τοὺς λόγους. ὁ δὲ καὶ τὰ 11
γεγενημένα πάμπαν ἀγνοῶν καὶ τὸν τῆς πεύσεως οὐκ ἐπιστάμενος τρόπον, εὐφημίαν δὲ ἐκ τῆς ὁμολογίας καρπώσασθαι προσδοκήσας.

17—19 vgl. Philostorg. III 15. Suidas *Ἀέτιος* — **19 ff** vgl. Philostorg. IV 12

* **19**—S. 162, 24 Cass. V 42 (sehr abgekürzt)

B A HN (n) + GS (s) — r L + FVR [R von **2** *Ἰησοῦς* an] (v) = z T

1 *προέκειτο* T | *προφερόμενα* rzT *quae . . . proferuntur* Cass. *προσφερόμενα* BA | **3** *Χριστὸς* = Cass. > T | **4** *τῷ θεῷ καὶ πατρί*] *τῶ πατρί* VR, *deo patri* Cass. **4/5** *τὴν ἔκθεσιν κελεύσας* ∼ s | **5** *καὶ σφόδρα χαλεπήνας* am Rand Ac | **6** *συγγέγραφεν* A | **7** *ἔφησεν* n | **8** *αὐτὸς* BALT *οὗτος* rv | nach *τὰς* + *παρὰ* B | **9** *δεδιξάμενος* Christoph. *δεδειξάμενος* AL *δεξάμενος* BrvT. vgl. S. 154, 9 | *δεξάμενος κατηγορίας* ∼ T | **10** *καὶ* > v, gestrichen A | **10/11** *ῥημάτων καὶ τῶν ἀνοσίων* > B | **11** *ἀνοσίων*] *ἀνοσιουργῶν* A | nach *ἀνοσίων* + *ῥημάτων* gestrichen T | **12** *δὴ*] *ἤδη* B > T | **15** *καὶ*[2] *τῇ* T | **15** *προετίμησε* rv | **17** *προσηλωθεὶς* R, *εἰσ* auf Rasur Ac | **18** *φοιτῶν τε*] *τρυφῶν* T | **19** *ὁ* > AL | *τε* BAL > rvT | **20** *τὸν* > B | *εἰσεληλυθότι* BAT *εἰσεληλυθότος* rzAc | *ὑπέδειξεν* BT *ἐπέδειξε* Arz | **21** *τετοκὼς εἴη ἐκείνους* B | **22** *πάμπαν*] *εἰσ ἅπαν* T | *πεύσεως, ενσ* corr. Ac | **23** *δὲ*] *τε* T

ἔφη τῶν λόγων ἐκείνων αὐτὸς εἶναι γεννήτωρ. ὁ δὲ βασιλεὺς τὴν 12
τῆς δυσσεβείας ὑπερβολὴν κατιδὼν εὐθὺς αὐτὸν ἐξωστράκισεν, εἴς
τι χωρίον τῆς Φρυγίας ἀπαχθῆναι κελεύσας.

Καὶ ἐκεῖνος μὲν τὴν ἐκ τῆς βλασφημίας καρπωσάμενος ἀτιμίαν 13
ἐξεβλήθη τῶν βασιλείων. Εὐστάθιος δὲ καὶ τὸν Εὐδόξιον ἔφη ταῦτα
φρονεῖν· σύνοικον γὰρ αὐτοῦ καὶ σύσσιτον τὸν Ἀέτιον εἶναι καὶ τῇ
τούτου γνώμῃ διακονοῦντα ἐκεῖνον τὴν βλασφημίαν συγγεγραφέναι.
καὶ τεκμήριον ἔλεγεν εἶναι σαφὲς τοῦ συνειδέναι τοῖς γεγραμμένοις
τὸ μηδένα ἕτερον ἀλλ' αὐτὸν εἰρηκέναι Ἀετίου εἶναι τὴν ἔκθεσιν.
»ἀλλ' οὐ χρὴ τοπάζοντας τοὺς δικάζοντας κρίνειν«, ὁ βασιλεὺς ἔφη, »τὰ 14
δὲ πεπραγμένα σὺν ἀκριβείᾳ ζητεῖν.« »οὐκοῦν«, ἔφη ὁ Εὐστάθιος,
»πεισάτω πάντας ἡμᾶς μὴ ταῦτα φρονεῖν ὁ Εὐδόξιος, ἀναθεματίζων
τοῦ Ἀετίου τὸ σύγγραμμα.« τοῦ δὲ βασιλέως ἀσπαστῶς δεξαμένου 15
τὴν αἴτησιν καὶ τοῦτο γενέσθαι προστεταχότος, ἀνεδύετο μὲν ὁ Εὐ-
δόξιος καὶ πολλαῖς ἐκέχρητο μηχαναῖς ἐκκλῖναι τὴν πρόκλησιν. ἐπειδὴ 16
δὲ ἐχαλέπηνεν ὁ βασιλεὺς καὶ σὺν Ἀετίῳ πέμψειν ἠπείλησεν ὡς τοῦ
δυσσεβοῦς φρονήματος κοινωνόν, τὴν οἰκείαν ἠρνήθη διδασκαλίαν,
ἣν καὶ τότε καὶ μετὰ ταῦτα πρεσβεύων διατετέλεκεν. ἀντεπήγαγε
μέντοι καὶ αὐτὸς τοῖς περὶ τὸν Εὐστάθιον, χρῆναι καὶ αὐτοὺς ἀνα-
θεματίσαι λέγων ἄγραφον ὂν τοῦ ὁμοουσίου τὸ πρόσρημα. »ἀλλὰ 17
καὶ τὸ ἐξ οὐκ ὄντων«, ὁ Σιλβανὸς ἔφη, »καὶ τὸ κτίσμα καὶ τὸ ἑτερο-
ούσιον, ἄγραφα τυγχάνοντα καὶ οὔτε προφητικοῖς οὔτε ἀποστολικοῖς
λογίοις προσκείμενα, δίκαιον αὐτοὺς ἀποκηρῦξαι καὶ θείων ἐξελάσαι συλ-
λόγων.« τούτοις καὶ ὁ βασιλεὺς ἐπεψήφισε καὶ ἀναθεματίζειν ἐκείνους
ἐκέλευσεν. οἱ δὲ τὰ μὲν πρῶτα εἰς ἀντιλογίαν καθίσταντο· ὕστερον δὲ 18
τοῦ βασιλέως τὸν θυμὸν θεασάμενοι, δυσχεραίνοντες μέν, ἀπέκηρυξαν
δὲ ὅμως ἅπερ ὁ Σιλβανὸς αὐτοῖς προὔτεινεν.

* **5**—S. 162, 6 Corpus script. Chr. orient. cur. Chabot. Scriptores Syri. Series tertia, t. IV S. 51 f (abgekürzt)

B A HN (n) + GS (s) = r L + FVR (v) = z T

1 ἔφησε n | **2** καθιδὼν B | **4** ἐκεῖνος μὲν] οὕτως T* | **5** ταῦτα] τἀντὰ H | **6** εἶναι > rv | **7** συγγραφέναι B συγγεγραφηκέναι v | **8** εἶναι ἔλεγε ~ T | τοῦ] τὸ nv > G | γεγραμμένοις] γράμμασι n | **9** τὸ] τοῦ A καὶ V | εἶναι > s | τὴν ἔκθεσιν εἶναι ~ L | **10** χρὴ > s | **12** πεισάτωσαν T | ἡμᾶς πάντας ~ L | τἀντὰ H | ἀναθεματίζειν B | **13** τοῦ Ἀετίου τὸ] τὸ τοιοῦτον T | **15** πρόκλησιν rz πρόκλισιν A πρόσκλησιν BT **16** ἐχαλέπαινεν BsT | ὁ > AL | **17** οἰκείαν] ἰδίαν v | **23** λογίοις] λόγοις BL | προκείμενα B | **24** ὁ BT | A > rz | ἐπεψήφιζεν B ἐπεψήφισε (σ auf Rasur Ac) A

Ἐπέκειντο δὲ λοιπὸν σφοδρότερον, τοῦ ὁμοουσίου τὸν ἀναθεματισμὸν εἰσπραττόμενοι. ἀλλὰ συλλογιστικῶς τε καὶ ἀληθῶς ὁ Σιλ- 19
βανὸς πρός τε αὐτοὺς καὶ τὸν βασιλέα ἔφη· »εἰ ἐξ οὐκ ὄντων οὐκ ἔστιν οὔτε κτίσμα οὔτε ἐξ ἑτέρας οὐσίας ὁ θεὸς λόγος, ὁμοούσιος ἄρα ἐστὶ τῷ γεγεννηκότι θεῷ, ὡς θεὸς ἐκ θεοῦ καὶ φῶς ἐκ φωτός, καὶ τὴν αὐτὴν ἔχει τῷ γεννήτορι φύσιν.« ἀλλὰ ταῦτα μὲν καὶ δυνατῶς 20
καὶ ἀληθῶς εἰρήκει, ἐπείθετο δὲ τῶν παρόντων οὐδείς, ἀλλὰ βοή τε πολλὴ τῶν περὶ Εὐδόξιον καὶ Ἀκάκιον ἐγίνετο καὶ ὁ βασιλεὺς ἐχαλέπηνε καὶ τῶν ἐκκλησιῶν ἐξελάσειν ἠπείλησεν. Ἐλεύσιος δὲ καὶ Σιλβανὸς σὺν τοῖς ἄλλοις καὶ αὐτὸν ἔφασαν ἐξουσίαν ἔχειν τῆς τιμωρίας καὶ σφᾶς αὐτοὺς τῆς εὐσεβείας ἢ δυσσεβείας· οὐ μὴν προήσεσθαι τὴν πατρῴαν διδασκαλίαν. ὁ δὲ Κωνστάντιος, θαυμάζειν 21
δέον καὶ τὴν σοφίαν καὶ τὴν ἀνδρείαν καὶ τὴν ὑπὲρ τῶν ἀποστολικῶν δογμάτων παρρησίαν, τοὺς μὲν ἐξήλασε τῶν ἐκκλησιῶν, ἑτέρους δὲ ἀντ' αὐτῶν καταστῆναι προσέταξε. τότε τῆς μὲν Κωνσταντινουπολιτῶν ἐκκλησίας ὁ Εὐδόξιος τυραννικῶς ἁρπάζει τὸν θρόνον, τῆς δὲ Κυζίκου τὸν Ἐλεύσιον ἐξελάσας ἀντ' ἐκείνου κατέστησε τὸν Εὐνόμιον. καὶ τούτων δὲ οὕτως γεγενημένων, ἀποκηρυχθῆναι τὸν 22
Ἀέτιον ἐγγράφως προσέταξεν ὁ βασιλεύς, καὶ τῆς δυσσεβείας οἱ κοινωνοὶ πεισθέντες ἀπεκήρυξαν τὸν ὁμόφρονα. ἔγραψαν δὲ καὶ πρὸς Γεώργιον τὸν τῆς Ἀλεξανδρέων ἡγούμενον, τὰ κατὰ τοῦτον μηνύοντες. ἐγὼ δὲ καὶ τήνδε τὴν ἐπιστολὴν ἐνθήσω τῇ συγγραφῇ, τὴν 23
ἐκείνων μοχθηρίαν ἐπιδεικνύς. καὶ γὰρ καὶ τοῖς συμφωνοῦσι καὶ τοῖς ἀντιλέγουσι παραπλησίως ἐκέχρηντο.

B A HN (n) + GS (s) = r L + FVB (v) = z T

1 *σφοδρότερον λοιπὸν* ∼ n | **3** *ἔφησεν* n | **4** *ἐξ* = *ex* Cass. > v | **6** *τῷ γεννήτορι ἔχει* ∼ s | *καὶ* > T | **7** *οὐθείς* AL | **8** *περὶ*] *περὶ τὸν* z | *ἀκάκιον καὶ εὐδόξιον* AL | **8 9** *ἐχαλέπαινε* T | **11** *τῆς εὐσεβείας ἢ δυσσεβείας* Anz *τῆς εὐσεβείας* T *τῆς ἀσεβείας* B *τῆς δυσσεβείας* s, nicht übersetzt von Cass. | **11/12** *προίεσθαι* L *προήσεσθαι* (*σεσθαι* auf Rasur Ac) A | **14** *ἐξήλασε, η* auf Rasur A | **15** *μὲν τῆς* ∼ rv | **15/16** *κωνσταντινουπόλεως* rvT | **16** *ἐκκλησίας — θρόνον*] *τὴν ἐκκλησίαν τυραννικῶς ἁρπάζει εὐδόξιος, μακεδονίου ἐκβληθέντος* T*, Cass. wie im Text | *ὁ* > ALT | **17** *ἐξελάσαντες* und *κατέστησαν* rv, Cass. wie im Text | *τὸν*[2] > T | **18** *γενομένων* T | **19** *ἐνγράφως* B > T | *προσέταξεν ἐγγράφως* ∼ n | *ὁ* > AsL | *δυσσεβείας*] *ἀσεβείας* L *δυσσεβείας* (*δυσ* auf Rasur Ac) A | **21** *τῆς* > B | *ἀλεξανδρίας* T | *τούτων* T | **23** *ὑποδεικνύς* T | *καὶ*[2] nT > BAsz | *συμφωνοῦσι* B *συμφρονοῦσι* rzT und (*ρο* auf Rasur Ac) A | *τοῖς*[2] As

»Ἀντίγραφον τῶν γραφέντων ὑπὸ πάσης τῆς συνόδου Γεωργίῳ κατὰ **28** [κθ'] »Ἀετίου διακόνου αὐτοῦ ἕνεκεν τῆς ἀθεμίτου αὐτοῦ βλασφημίας.

»Ἡ ἁγία σύνοδος ἡ ἐν Κωνσταντινουπόλει συνελθοῦσα κυρίῳ »τιμιωτάτῳ ἐπισκόπῳ τῆς Ἀλεξανδρείας Γεωργίῳ χαίρειν.

»Τῆς ἐπ᾽ Ἀετίῳ γενομένης καταγνώσεως ὑπὸ τῆς συνόδου διὰ »τὰς ἀθεμίτους αὐτοῦ καὶ σκανδάλων γεμούσας λογογραφίας, τὸ μὲν »ἀκόλουθον τοῖς ἐκκλησιαστικοῖς κανόσιν ἐπ᾽ αὐτῷ παρὰ τῶν ἐπι- »σκόπων ἐπράχθη. καθηρέθη γὰρ τῆς διακονίας καὶ ἠλλοτριώθη τῆς »ἐκκλησίας· καὶ παραινέσεις παρ᾽ ἡμῶν παρηκολούθησαν, μήτε εἰς **2** »ἀνάγνωσιν ἔρχεσθαι τὰς ἀθεμίτους αὐτοῦ ἐπιστολάς, ῥιπτάζεσθαι δὲ »αὐτὰς διὰ τὸ ἄχρηστον καὶ ἀνωφελές. προστίθεμεν δὲ τούτοις καὶ »ἀναθεματίζεσθαι αὐτὸν ἐπιμείναντα τῇ αὐτῇ προθέσει μετὰ τῶν »συναινούντων αὐτῷ. τὸ μὲν οὖν ἀκόλουθον ἦν κοινῇ πάντας τοὺς »συνελθόντας ἐν τῇ συνόδῳ ἐπισκόπους ἀποστυγεῖν τὸν σκανδάλων »καὶ ταραχῶν καὶ σχισμάτων αἴτιον καὶ θρύλου τοῦ κατὰ τὴν οἰκουμένην **3** »καὶ στάσεως πρὸς ἀλλήλας τῶν ἐκκλησιῶν, ὁμονοεῖν δὲ πρὸς τὴν »ἐξενεχθεῖσαν κατ᾽ αὐτοῦ ψῆφον. ἀλλὰ παρ᾽ εὐχὰς ἡμετέρας καὶ παρὰ »προσδοκίαν πᾶσαν Σέρρας καὶ Στέφανος καὶ Ἡλιόδωρος καὶ Θεόφιλος »καὶ οἱ σὺν αὐτοῖς οὐ συνεψηφίσαντο ταῖς ἡμετέραις γνώμαις οὐδὲ »συνυπογράψαι ταῖς περὶ αὐτοῦ ψήφοις ἐξενεχθείσαις ἠβουλήθησαν, »καίτοι τοῦ Σέρρα καὶ ἄλλην ἀλαζονίαν μανιώδη κατηγοροῦντος τοῦ »προειρημένου Ἀετίου. ἔφασκε γὰρ αὐτὸν θρασυτέρᾳ τόλμῃ προπη- **4** »δῶντα λέγειν ὡς ἅπερ ὁ θεὸς ἀπέκρυψεν ἀπὸ τῶν ἀποστόλων μέχρι

* **1**—S. 165, 8 Cass. V 42

B A HN (n) + GS (s) = r L + FVR (v) = z T

1 κθ̄ am Rand HSS | *ἀντίγραφον* — **2** *βλασφημίας* im Text Brz = Cass. am Rand A *πίστισ ἐν κωνσταντινουπόλει ἀναγνωσθεῖσα* T | **4** *τῆς* > rz, gestrichen A | **5** *γεναμένησ* B | **7** *τοῖς*] *ἐν τοῖσ* B | **10** *ῥιπίζεσθαι* v | **11** *διὰ* aus *κατὰ* corr. T | **13** *συναιρούντων* G *συνερούντων* S *συναιρόντων* V | *ἦν* auf Rasur A | **14** *τὸν* BNSz *τῶν* A *τὸν τῶν* HGT | **15** *παναίτιον* v | **17** *ἀλλὰ παρ᾽*] *ἀλλά περ* B | **18** *σέρρασ* ALT *σέρασ* Brv *seras* Cass. Codd. LP | nach *Ἡλιόδωρος καὶ Θεόφιλος* + *καὶ ἡλιόδωροσ* gestrichen A | **19** *καὶ οἱ σὺν αὐτοῖς* > Cass. | *καὶ οἱ* nL und, mit *καὶ* gestrichen, A > BsvT *οὐ συνεψηφίσαντο* BzT *οὐκ ἐψηφίσαντο* r *οὐ*^{σὺν}*/// ἐψηφίσαντο* (*οὐ* und *συν* Ae) A *concordare noluerunt* Cass. | **20** *ταῖς*] *τοῖσ* T | *ἐβουλήθησαν* Asz | **21** u. S. 164, 2 *σέρρα* ALT *σέρα* Bsv *σερᾶ* n *seras* Cass. Codd. LP | **22** *τόλμῃ*] *τόλμα* A *γνώμη* H | **22/23** *προπηδῶντα* BrT *προσπηδῶντα* Az | **23** *ὡσ ἅπερ* ALT *ὡσάπερ* B *quoniam ea quae* Cass. *ὅσα περ* rv

»νῦν, ταῦτα ἀποκεκαλύφθαι αὐτῷ διαβεβαιοῦσθαι. καὶ μετὰ τοὺς »μανιώδεις καὶ ἀλαζονικοὺς τούτους λόγους ὑπὸ τοῦ Σέρρα μεμαρτυρη- »μένους περὶ τοῦ Ἀετίου οὐκ ἐδυσωποῦντο οὐδὲ παρεκαλοῦντο συμ- »ψηφίσασθαι πᾶσιν ἡμῖν περὶ αὐτοῦ οἱ προειρημένοι κρίνειν.

»Ὅμως δὲ ἡμεῖς μακροθυμοῦντες ἐπὶ πλείονα χρόνον συμπερι- 5
»εψηφίσθημεν αὐτοῖς, τὰ μὲν ἀγανακτοῦντες. τὰ δὲ παρακαλοῦντες, τὰ »δὲ ἐπιτιμῶντες, τὰ δὲ καὶ δυσωποῦντες συνήκειν αὐτοὺς καὶ σύμφωνα »ἀποφήνασθαι τῇ συνόδῳ πάσῃ· προσεκαρτεροῦμεν δὲ ἐὰν ἄρα »ἀκούσωσιν, ἐὰν ἄρα συνῶσι καὶ ἐνδῶσιν. ὡς δὲ ἐπὶ πολλῷ τῷ 6
»χρόνῳ προσκαρτερήσαντες ἡμεῖς οὐκ ἐδυσωποῦμεν αὐτοὺς ἀκολουθεῖν »ταῖς περὶ τοῦ προειρημένου ἀνδρὸς ἀποφάσεσι, τὸν κανόνα τῆς »ἐκκλησίας τιμιώτερον ἡγούμενοι τῆς φιλίας τῶν ἀνδρῶν. ὡρίσαμεν »κατ᾽ αὐτῶν ἀκοινωνησίαν, χρόνον εἰς τοῦτο διδόντες αὐτοῖς μῆνας »ὅλους ἐξ πρὸς ἐπιστροφὴν καὶ μετάνοιαν καὶ πρὸς ἐπιθυμίαν ἑνώ- »σεως καὶ συμφωνίας τῆς πρὸς τὴν σύνοδον· ἐὰν εἴσω τῆς δοθείσης »αὐτοῖς προθεσμίας ἐπιστρέψαντες ἕλωνται τὴν πρὸς τοὺς ἀδελφοὺς »αὐτῶν ὁμόνοιαν καὶ συνθῶνται τοῖς περὶ αὐτοῦ ὁρισθεῖσι, δεκτοὺς »αὐτοὺς εἶναι τῆς ἐκκλησίας ἐδοκιμάσαμεν καὶ ταῖς συνόδοις καὶ τὴν οἰ- »κείαν παρρησίαν καὶ ἀγάπην πρὸς ἡμᾶς ἀπολαμβάνειν. εἰ δὲ ἐπιμένοιεν 7
»ἀμεταμέλητα τολμῶντες καὶ φιλίαν ἀνθρώπων τῶν κανόνων τῆς »ἐκκλησίας καὶ τῆς πρὸς ἡμᾶς συμφωνίας προτιμήσαντες, τότε ἀλλο- »τρίους αὐτοὺς ἡγούμεθα τῆς ἐπισκοπικῆς ἀξίας. καθαίρεσιν δὲ αὐ- 8

8/9 Ezech. 3, 11 — **13/14** vgl. Philostorg. VII 6

B A HN (n) + GS (s) = r L + FVR (v) = z T

2 *μανικοὺς* A | *λόγους τούτους* ∼ B | **3** *τοῦ* > A | **5** *ὁμοίως* L *ὁμ////ως* A | **7** *συνεῖκειν* rv | *αὐτοὺς* Arz *αὐτοῖς* BT, *ut convenirent nobiscum* Cass. | **8** *προσκαρτεροῦμεν* B, *sustinebamus* Cass. | **9** *τῷ* > r | **10** *προσκαρτεροῦντες* T *perdurantibus* Cass. | *αὐτοῖς* T | **11** *περὶ* > v, *super* Cass. | **13** *δόντες* T, *dantes* Cass. | **15** *ἐὰν εἴσω* rvTCass *ἐὰν δ᾽ εἴσω* B *ἐὰν οὖν εἴσω* L *ἐὰν ////* εἴσω A | **16** *ὑποστρέψαντες* T | *τὴν* > A | **17** *αὐτοῦ*] *αὐτοὺς* A | **18** *αὐτοὺς* > T | ob *ταῖς ἐκκλησίαις* (vgl. Act. 10, 35)? Jülicher | *καὶ ταῖς συνόδοις καὶ* BArzT *καὶ ἐν ταῖς συνόδοις* r, nicht übersetzt von Cass., ob *ἐν ταῖς συνόδοις, καὶ*? | **19** *ὑμᾶς ἀπολαμβάνει* A | **20/21** *καὶ φιλίαν ἀνθρώπων* (+ *καὶ* B) *τῶν κανόνων τῆς ἐκκλησίας καὶ τῆς πρὸς ἡμᾶς συμφωνίας* (*φιλίας* r) *προτιμήσαντες* BrL Cass. und vor Rasur A *διὰ φιλίαν ἀνθρώπων καὶ τῶν κανόνων τῆς ἐκκλησίας ἧττον φροντίσαντες* v *διὰ φιλίαν ἀνθρώπων κ^αὶ τῶν κανόνων τῆς ἐκκλησίας ἧττον φροντίσαντες* //////////////////////////// (*διὰ, καὶ* und *ἧττον φροντ.* A^c) A *διὰ φιλίαν ἀνθρώπων καὶ τῶν κανόνων τῆς ἐκκλησίας ἧττον φροντίσαντες καὶ τῆς πρὸς ἡμᾶς συμφωνίας προτιμήσαντες* T, der die alte Randvariante mit seinem Texte vermischt hat | **22** *ἐπισκοπῆς* B

»τῶν ὑπομενόντων, ἀναγκαῖον εἰς τόπους αὐτῶν ἑτέρους καθίστα»σθαι ἐπισκόπους, ἵνα ἡ ἔνθεσμος ἐκκλησία τὴν προσήκουσαν τάξιν »λαβοῦσα συμφωνῇ πρὸς ἑαυτήν, τῶν πανταχόθεν ἐπισκόπων τὸν »σύνδεσμον τῆς ἀγάπης φυλαττόντων, διὰ τοῦ »λέγειν τὰ αὐτά, »κατηρτισμένους τῷ αὐτῷ νοῒ καὶ τῇ αὐτῇ γνώμῃ«. ἵνα οὖν »γινώσκῃς τὰ τῇ συνόδῳ δόξαντα, ταῦτα πρὸς τὴν σὴν εὐλάβειαν »ἀπεστείλαμεν· ἅπερ εὐχόμεθά σε διαφυλάττοντα χάριτι Χριστοῦ εἰρη»νικῶς καὶ ἐνθέσμως κυβερνᾶν τὰς ὑπὸ σὲ ἐκκλησίας.«

Τοῦτον Εὐνόμιος ἐν τοῖς λόγοις ἐξαίρει καὶ θεοῦ ἄνθρωπον **29** [λ′]
ὀνομάζει καὶ παμπόλλαις εὐφημίαις γεραίρει. ἀλλὰ τότε καὶ τοῖς ἀποκηρύττουσι συνῆν καὶ παρ᾽ αὐτῶν τὴν ἐπισκοπικὴν χειροτονίαν ἐδέξατο. οἱ δὲ περὶ Εὐδόξιον καὶ Ἀκάκιον τοῖς ἐκτεθεῖσιν ἐν Νίκῃ τῆς Θρᾴκης συνθέμενοι, ὧν ἐν τοῖς ἔμπροσθεν συγγραφεῖσιν ἐμνήσθημεν, ἀντὶ τῶν περὶ Βασίλειον καὶ Ἐλεύσιον ἑτέρους ἐν ταῖς ἐκείνων ἐκκλησίαις ἐχειροτόνησαν. καὶ τῶν μὲν ἄλλων περιττὸν **2**
ἡγοῦμαι μνησθῆναι, μόνα δὲ τὰ κατὰ Εὐνόμιον διηγήσομαι.

Ἐπειδὴ γὰρ ζῶντος Ἐλευσίου τὴν Κύζικον ἔλαβεν ὁ Εὐνόμιος καὶ τοῦ πλήθους τὴν ὑγείαν ὁρῶν ὁ Εὐδόξιος καὶ τὸν βασιλέα θεώμενος χαλεπαίνοντα κατὰ τῶν κεκτίσθαι λεγόντων τὸν μονογενῆ τοῦ θεοῦ υἱόν, τῷ Εὐνομίῳ παρήνεσε κατακρύψαι τὸ φρόνημα καὶ μὴ δηλῶσαι τοῦτο τοῖς θηρωμένοις κατηγορίας προφάσεις. »καιροῦ **3**
γάρ«, ἔφη, »τετυχηκότες κηρύξομεν ἃ νῦν κατακρύπτομεν καὶ τοὺς ἀ-

4/5 I Kor. 1, 10 — **13** s. oben S. 145, 3f — **20**—S. 167, 4 vgl. Theodoret. Haeret. Fabul. IV 3 PG 83, 417. Corpus script. Christ. orient. cur. Chabot. Scriptores Syri. Series tertia, t. IV S. 52

* **9**—S. 167, 18 Cass. V 43

B A HN (n) + GS (s) = r L + FVR (v) = z T [bis **12** *Ἀκάκιον* u. von **17** *Ἐπειδὴ* an]

1 *εἰσ* BAL *εἰσ* + *τοὺσ* rvT und übergeschrieben Ac | *ἑτέρους* > s, *alii* Cass. | **3** *συμφωνεῖ* BT | **4** *δεσμὸν* B | **5** *νοῒ* und *τῇ* auf Rasur Ac | *αὐτῇ* > L | **6** *γιγνώσκεισ* B | **7** *ἀπεστείλαμεν* BrT Cass. in *ἐπεστείλαμεν* corr. Ac *ἐπεστείλαμεν* z | **8** *ὑπὸ σὲ* = Cass. > T | **9** *λ* am Rand HSS | *Εὐνόμιος*] *ὁ εὐνόμιοσ* T *τὸν εὐνόμιον* A | nach *λόγοις* + *αὐτοῦ* T | **10** *παμπόλλαισ* Brv *πολλαῖσ* T *multis* Cass. *παντοίαισ* AL | **13** *ἐν* > A | *τοῖσ* übergeschrieben Ac | *γραφεῖσιν* rv | **17** *ἐλάμβανεν* T | *ὁ* > L | **19** *κεκτῆσθαι* B *ἐκτίσθαι* SVeReT | *λεγόντων* > B | **21** *προφάσεισ* BLT *πρόφασιν* rv und (*ιν* auf Rasur Ac) A | **22** *ἔφη* > s | *κηρύξωμεν* B

γνοοῦντας διδάξομεν καὶ τοὺς ἀντιλέγοντας ἢ πείσομεν ἢ καταναγκάσομεν ἢ κολάσομεν.« ταύταις πειθόμενος ταῖς ὑποθήκαις Εὐνόμιος συνεσκιασμένην προὔφερε τὴν ἀσέβειαν. ἀλλ' οἱ τοῖς θείοις ἐντραφέντες λογίοις, τῶν λεγομένων ὁρῶντες τὸ ὕπουλον, ἐδυσχέραινον μέν, ἀντιλέγειν δὲ προφανῶς θρασύτητος ἔργον, οὐκ ἀγχινοίας, ἐνόμιζον. τῆς οὖν αἱρετικῆς κακοδοξίας περιθέμενοι προσωπεῖα, οἷκοι προσελθόντες ἱκέτευον προφανῶς σφίσιν ἐκθέσθαι τοῦ δόγματος τὴν ἀλήθειαν καὶ μὴ περιιδεῖν τῇδε κἀκεῖσε ταῖς διαφόροις περιφερομένους διδασκαλίαις. ὁ δὲ θαρρήσας ἐξέφηνεν ὃ κατέκρυπτε φρόνημα. ἀλλὰ γὰρ ἄδικον ἔλεγον ἐκεῖνοι καὶ λίαν ἀνόσιον μὴ ἅπαντας τοὺς ὑπ' αὐτὸν τελοῦντας τῆς ἀληθείας μεταλαχεῖν. ὁ δὲ τούτοις καὶ τοῖς τοιούτοις ὑπαχθεὶς λόγοις ἐν τοῖς τῆς ἐκκλησίας συλλόγοις τὴν βλασφημίαν ἐγύμνωσεν. ἐκεῖνοι δὲ τῷ ζήλῳ τὰς ψυχὰς παραθήξαντες εἰς τὴν Κωνσταντινούπολιν ἔδραμον. καὶ πρῶτον μὲν παρ' Εὐδοξίῳ ἐγράψαντο τὸν Εὐνόμιον· ἐκείνου δὲ μὴ προσδεξαμένου, τῷ βασιλεῖ προσελθόντες τὴν παρ' ἐκείνου γιγνομένην ἀπωδύροντο λώβην· τῆς Ἀρείου γὰρ ἔλεγον βλασφημίας δυσσεβέστερα εἶναι τὰ παρὰ τούτου λεγόμενα. θυμωθεὶς δὲ ἐπὶ τούτοις ὁ βασιλεὺς ἀγαγεῖν τε τὸν Εὐνόμιον τῷ Εὐδοξίῳ προσέταξε καὶ διελεγχόμενον τῆς ἱερωσύνης γυμνῶσαι. ἐπειδὴ δὲ πολλάκις ὑπὸ τῶν κατηγόρων ὀχλούμενος ὁ Εὐδόξιος ἀναδυόμενος διετέλει, προσῆλθον αὖθις τῷ βασιλεῖ. ὀλοφυρόμενοι καὶ βοῶντες μηδὲν ὧν προσετάχθη τὸν Εὐδόξιον δεδρακέναι, ἀλλὰ πόλιν τοσαύτην περιορᾶν ταῖς Εὐνομίου βλασφημίαις ἐκδεδομένην. τότε Κωνστάντιος αὐτὸν ἐξελάσειν ἠπείλησε τὸν Εὐδόξιον, εἰ μὴ τὸν Εὐνόμιον ἀγαγὼν

14—19 vgl. Philostorg. VI 1

B A HN (n) + GS (s) = r L + FVR (v) = z T

1 *διδάξωμεν* BG | **1/2** *πείσωμεν ἢ καταναγκάσωμεν ἢ κολάσωμεν* BGT, das Futur. bezeugt Cass. | **2** *ὁ εὐνόμιος* T | **3** *προέφερεν* B | *οἱ*] *ὁ* B **4** *τῶν* /// A | **6** *κακοδοξίας*] *κακοδαιμονίας* L | *προθέμενοι* T, *circumponentes* Cass. | *προσωπεῖον* L | *οἷκοι = ad domum eius* Cass.] *καὶ* B | **7** *σφίσιν* ASz *eis* Cass. *φησὶν* nGT *αὐτὸν* B | **9** *ὁ δὲ — φρόνημα* = Cass.] *ὁ δὲ φρόνημα ὅπερ εἶχε θαρρήσας ἐξέφηνεν* n | *θαρρήσας* BnT *θαρσήσας* Asz | *ἐξέφηνεν*] *ἐξέφερεν* T | **10** *ἅπαντας* BAL *πάντας* rvT | **10/11** *αὐτῶν* A | **11** *μεταλαχεῖν*] *μὴ μετασχεῖν* A | nach *ὁ δὲ* + *αὐτίκα* n, fehlt bei Cass. | **13** *παρακαταθήξαντες* L und, *κατα* gestrichen, A | **16** *ἀπωδύραντο* v, *eum gemitu pandiderunt* Cass. Codd. LP | **18** *δὲ* rvT > BAL Cass. | *ἐπὶ τούτοις* > T, *pro his* Cass. | *τε* > T gestrichen A | **21** *προσῆλθον* /// A | *αὖθις*] *πάλιν* AL **22** *τοσαύτην* BALT *tantam* Cass. *τοιαύτην* rv | **24** *αὐτὸν* (*αὐτὸσ* A *γρ. αὐτὸν* Am) *ἐξελάσειν* Arz *ἐξελάσειν αὐτὸν* BT | *ὑπείλησε* T

δικάσοι καὶ ἐξελεγχόμενον ἐφ᾽ οἷς ἠτιάθη κολάσοι. ταύτην δείσας 10
τὴν ἀπειλὴν ὁ Εὐδόξιος φυγεῖν ἐκ τῆς Κυζίκου τῷ Εὐνομίῳ διὰ
γραμμάτων ἐδήλωσε καὶ ἑαυτῷ μέμφεσθαι μὴ πεισθέντι ταῖς ὑπο-
θήκαις. ὁ δὲ Εὐνόμιος δείσας μὲν ὑπεχώρησε. τὴν δὲ ἀτιμίαν οὐκ
ἐνεγκὼν προδοσίαν μὲν κατηγόρει τοῦ Εὐδοξίου, ἠδικῆσθαι δὲ καὶ
ἑαυτὸν καὶ τὸν Ἀέτιον ἔλεγεν.

Ἐντεῦθεν λοιπὸν ἰδίαν φατρίαν συνεστήσατο. ὅσοι γὰρ δὴ 11
συνίστορες ἦσαν τῆς ἐν τοῖς δόγμασιν αὐτῶν συμφωνίας Εὐδοξίου
μὲν ἀπέστησαν, προδοσίαν κατεγνωκότες. Εὐνομίῳ δὲ συνετάχθησαν
καὶ τὴν ἐπωνυμίαν ἐξ ἐκείνου μέχρι καὶ τήμερον ἔχουσιν. ἐντεῦθεν
αἱρέσεως ἀρχηγὸς γενόμενος ὁ Εὐνόμιος ταῖς τῆς ἀσεβείας προσθή-
καις τὴν Ἀρείου βλασφημίαν ἐπηύξησεν. ὅτι δὲ φιλοτιμίας πάθει 12
δουλεύων ἴδιον συνεστήσατο σύλλογον, αὐτὰ τὰ πεπραγμένα βοᾷ.
ἡνίκα μὲν γὰρ Ἀέτιος ἀποκηρυχθεὶς ἐξηλάθη, οὐ συνεξῆλθεν ἐκείνῳ,
καίτοι διδάσκαλον αὐτὸν καὶ θεοῦ ἄνθρωπον ὀνομάζων, ἀλλὰ μεμέ-
νηκεν Εὐδοξίῳ συμπεφραγμένος· ἡνίκα δὲ αὐτὸς δίκας εἰσεπράχθη
τῆς ἀσεβείας, οὐκ ἔστερξε τῆς συνόδου τὴν ψῆφον, ἀλλ᾽ ἐπισκόπους
ἐχειροτόνει καὶ πρεσβυτέρους ὁ τῆς ἐπισκοπικῆς ἀξίας γεγυμνωμένος.
ταῦτα μὲν οὖν ἐν Κωνσταντινουπόλει γεγένηται.

Σαβώρου δὲ τοῦ Περσῶν βασιλέως κατὰ Ῥωμαίων στρατεύσαντος, 30 [λα΄]
ἀφίκετο εἰς τὴν Ἀντιόχειαν ὁ Κωνστάντιος, ἀγείρας τὴν στρατιάν.
ἐξήλασε δὲ τοὺς πολεμίους οὐχ ὁ τῶν Ῥωμαίων στρατὸς ἀλλ᾽ ὁ τῶν
παρὰ Ῥωμαίοις εὐσεβούντων θεός. τὸν δὲ τῆς νίκης τρόπον ἐγὼ
διηγήσομαι. Νίσιβις, ἣν Ἀντιόχειαν Μυγδονίαν τινὲς ὀνομάζουσιν, ἐν 2

5,6 vgl. Philostorg. VI 3 — **7—9** vgl. Philostorg. IX 4. Socrat. IV 13, 1—2 — **12** s. oben S. 154, 1 — **15** S. 165, 9 — **24f** Theodoret. Relig. Histor. 1 PG 82, 1293 C

* **20**—S. 170, 10 Cass. V 45. Vaticanus syriac. 145 F. 68r (= Σ)

B A HN (n) + GS (s) = r L + FVR [R bis **24** *ὀνομάζουσιν*] (v) = z T

1 *ἐλεγχόμενον* HGv | *κολάσοι* = *puniret* Cass.] *κατακρίναι* T | **2** *ὁ* > BHST | *φεύγειν* B | *τὸν εὐνόμιον* T | **3** *πιστευθέντι* v | **3 4** *ταῖς ὑποθήκαις μὴ πεισθέντι* ∽ r Cass. | **5** *μὲν* = *quidem* Cass. > T | *ἠδικεῖσθαι* BA (*κεῖ* aus *κῆ* corr. A) GT | **6** *αὐτὸν* B | *ἀέτιον*, *ἀέτι* auf Rasur A | **7** nach *Ἐντεῦθεν* + *δὲ* s, *ac deinde* Cass. | *δὴ* > B | **8** *τῆσ — συμφωνίασ* BArLT *ταῖσ — συμφωνίαισ* vAc | **12** *βλασφημίαν Ἀρείου* ∽ T | *πάθει φιλοτιμίας* ∽ A | **13** *τὰ πραχθέντα* T | **14** *συνῆλθεν* A | **15** *αὐτὸν* = *eum* Cass.] *αὐτοῦ* T **15/16** *μεμένηκεν* = *mansit* Cass.] *μὲν ἦκεν* A | **16** vor *αὐτὸς* + *ὁ* NHs | **17** *τὴν τὸν* T | *ἐπισκοπῆσ* B | **20** *λα΄* am Rand HSS | *σαβώρου* Bs (aber *ω* Bm) *σαβωρίου* n *Saborus* Cass. Codd. LP | **22** vor *στρατὸς* + *βασιλεὺσ ἢ* T, Cass. Σ wie im Text | **24** *Μυγδονίαν* — Cass.] *μυγδονίασ* A *ἢ μυγδονίαν*

μεθορίῳ κεῖται τῆς Περσῶν καὶ Ῥωμαίων ἡγεμονίας. ταύτης ἐπίσκοπος ἦν καὶ πολιοῦχος καὶ στρατηγὸς Ἰάκωβος, οὗ καὶ πρόσθεν ἐμνήσθην, τῆς δὲ ἀποστολικῆς χάριτος τὰς ἀκτίνας οὗτος ἠφίει. τούτου τὰς ἀξιαγάστους καὶ πολυυμνήτους θαυματουργίας ἐν τῇ **3**
Φιλοθέῳ Ἱστορίᾳ συγγράψας, περιττὸν οἶμαι καὶ παρέλκον αὖθις ταύτας ἀπαριθμήσασθαι· μίαν δὲ μόνην ἐρῶ, τοῦ προκειμένου ἕνεκα διηγήματος. τὴν ὑπὸ τούτου κυβερνωμένην πόλιν Ῥωμαίοις ὑποκειμένην ὁ Περσικὸς ἐπολιόρκει στρατός. ἑβδομήκοντα δὲ προσεδρεύσας **4**
ἡμέρας, καὶ πολλὰς μὲν ἑλεπόλεις τῷ τείχει προσενεγκών, πολλὰ δὲ ἕτερα μηχανήματα περιστήσας, καὶ χαρακώματα καὶ τάφρους ὀρύξας, ἑλεῖν τὴν πόλιν οὐκ ἴσχυσεν. ὕστερον δὲ τοῦ ποταμοῦ τὸ ῥεῖθρον **5**
ὃς μέσην διατέμνει τὴν πόλιν (Μυγδόνιος δὲ ὄνομα τούτῳ) πόρρωθεν ἐπισχών, καὶ τὰς ὄχθας ἑκατέρωθεν προσχώσας καὶ ὑψηλὰς ἐργασάμενος ἵνα τὸ ῥεῦμα συνέχωσιν, ὡς εἶδε πάμπολυ γενόμενον καὶ λοιπὸν ὑπερκλύζον τὸ χῶμα, ἐξαπινέως ἀφῆκε κατὰ τοῦ τείχους ὡς μηχανήν. τὸ δὲ οὐκ ἤνεγκε σφοδροτάτην οὖσαν τὴν προσβολήν, ἀλλ' ἐκλίθη **6**
τε καὶ κατέπεσε. ταὐτὸ δὲ πάθος καὶ τὸ ἕτερον τοῦ περιβόλου μέρος ὑπέμεινε, δι' οὗ τὴν ἔξοδον ὁ Μυγδόνιος εἶχε· κατηνέχθη γὰρ τὴν ῥύμην οὐκ ἐνεγκόν. ταῦτα Σαβώρης ἰδὼν ἤλπισεν ἀκμητὶ **7**

2 oben S. 31, 2 — **8**—S. 170, 10 Theodoret. Relig. Histor. ebd. 1304 A f. vgl. Chronic. Pasch. a. 350 S. 536—539. Theophan. 39, 13. Philostorg. III 23

* **8**—S. 170, 10 Niceph. H. E. IX 28. Histor. S. Ephraemi 6 [in S. Ephraem Hymni et Sermones ed. Lamy II 18]

B A HN (n) + GS (s) = r L + FV (v) = z T

2 ἦν > T, *erat* Cass. | **2 3** οὗ καὶ πρόσθεν ἐμνήσθην = Σ > T Cass. | **3** τὰς > s | οὗτος aus αὐτὸς corr. A αὐτὸς L | **5** παρέλκον, λκ corr. B πάρεργον A γρ. παρέλκον am Rand Ac, vgl. S. 146, 23 | **6** ἀπαριθμήσασθαι ταύτας T ἕνεκεν T | **8** ἐπολιόρκει = *obsidebat* Cass.] ἐπολέμει A | **10** χαράκωμα s **12** ὃς μέσον διαβαίνει τῆς πόλεως n *per civitatem mediam properantis* Cass., διατέμνει bezeugt Σ | τούτῳ] αὐτῷ T | **14** ἵνα = Cass. Σ > B | συσχῶσιν B | ὡς] ὡσ δὲ B | **15** ὑπερεκβλύζον A | ἐξαπινέως BAL ἐξαπίνης rvT | **16** τὸ δὲ οὐκ = Σ Relig. Hist.] ὡσ δ' οὐκ B | σφοδροτάτης οὔσης τῆς προσβολῆς n, den Accusativ bezeugen Cass. Σ | σφοδροτάτην οὖσαν] σφόδρα L σφύδρα A in σφοδρο corr. Ac τάτην οὖσαν am Rand Ac | **17** τε > BA übergeschrieben Ac | ταὐτὸ δὲ AnL τὸ αὐτὸ δὲ sv = Σ τοῦτο δὲ τὸ B | πάθος] παθὸν A παθεῖν L | τοῦ περιβόλου τὸ ἕτερον ∽ n | **18** ὑπέμεινε — **19** ἐνεγκόν > mit leerem Raum H | δι' οὗ = Cass. Σ] δι' οὗ καὶ s | ὁ > AL, übergeschrieben Ac | **19** ἐνεγκόν BT ἐνεγκών Arz | σαβόρης s | ἀκμητὶ Brv ἀκμητὴ Am = Σ ἀκονητὶ T ἀκονητὴ AL *sine pugna* Cass.

λοιπὸν τοῦ ἄστεος περιέσεσθαι. καὶ τὴν μὲν ἡμέραν ἐκείνην ἡσύχασεν, ὥστε καὶ τὸ τέλμα διανανθῆναι καὶ τὸν ποταμὸν γενέσθαι βατόν. παρστρατιᾷ δὲ προσβαλὼν τῇ ὑστεραίᾳ καὶ προσδοκῶν διὰ τῶν καταπεπτωκότων τοῦ τείχους εἰς τὴν πόλιν εἰσιέναι μερῶν, ὁρᾷ τὸ τεῖχος ἑκατέρωθεν ᾠκοδομημένον καὶ μάταιον αὐτῷ τὸν πόνον γεγενημένον. ὁ γὰρ θεῖος ἐκεῖνος ἀνήρ, διὰ προσευχῆς καὶ τοὺς στρατιώτας δυνάμεως ἐμπλήσας καὶ τοὺς ἄλλους οἰκήτορας, τόν τε περίβολον ᾠκοδόμησε καὶ τὰ μηχανήματα ἐπιστήσας τοὺς προσιόντας ἐξήλασε· καὶ ταῦτα ἔδρα οὐ τῷ τείχει πελάζων, ἀλλ᾽ ἔνδον ἐν τῷ θείῳ νεῷ τὸν κύριον τῶν ὅλων ἀντιβολῶν. τὸν δὲ Σαβώρην οὐ μόνον τῆς οἰκοδομίας τὸ τάχος κατέπληξεν, ἀλλὰ καὶ ἕτερα ὄψις ἐξεδειμάτωσεν. εἶδε γὰρ ἐφεστῶτα τῷ περιβόλῳ τινὰ τὸ βασιλικὸν περικείμενον σχῆμα καὶ τῆς τε ἁλουργίδος τοῦ τε διαδήματος αἴγλην ἐκπεμπομένην. τοπάσας δὲ εἶναι τῶν Ῥωμαίων τὸν βασιλέα, θάνατον ἠπείλησε τοῖς μὴ παρεῖναι τοῦτον ἀπηγγελκόσιν. ἰσχυριζομένων δὲ ἐκείνων ἀληθῆ εἶναι τὰ παρ᾽ αὐτῶν εἰρημένα καὶ τὸν Κωνστάντιον ἐν Ἀντιοχείᾳ διάγειν εἰρηκότων, ἐπέγνω τῆς ὄψεως τὰ μηνύματα καὶ τὸν θεὸν ἔφη τῶν Ῥωμαίων ὑπερμαχεῖν. καὶ δυσχεράνας ὁ δείλαιος βέλος ἀφῆκεν εἰς τὸν ἀέρα, εἰδὼς μὲν ὡς οὐ βαλεῖ τὸν ἀσώματον, τῆς δὲ μανίας τὴν ῥύμην οὐκ ἐνεγκών.

Τότε Ἐφραὶμ ὁ θαυμάσιος (συγγραφεὺς δὲ οὗτος ἄριστος παρὰ Σύροις ἐγένετο) τὸν θεῖον Ἰάκωβον ἠντιβόλησεν ἐπιβῆναι τοῦ τείχους καὶ τοὺς βαρβάρους ἰδεῖν καὶ τῆς ἀρᾶς κατ᾽ αὐτῶν ἀφιέναι τὰ βέλη. εἴξας δὴ οὖν ὁ θεσπέσιος ἄνθρωπος ἀνέβη μὲν εἴς τινα πύργον· τὸ δὲ μυρίον πλῆθος ἰδών, ἄλλην μὲν οὐκ ἀφῆκεν ἀράν, σκνίπας δὲ αὐτοῖς ἐξήτησεν ἐπιπεμφθῆναι καὶ κώνωπας, ὥστε καὶ διὰ τῶν μικρῶν

B A HN (n) + GS (s) = r L + FV (v) = z T

1 τοῦ ἄστεος λοιπὸν ∼ Nsv | ἄστεως B | περιέσεσθαι BrvTA^{c} περιγενέσθαι AL | **2** τέρμα B | διανανθῆναι ALT διανγανθῆναι B διαξηρανθῆναι Nsv ξηρανθῆναι H *austrocknen* Σ *purgaretur* Cass. | **3** προσβαλὼν = Σ] βαλὼν B προλαβὼν A, nicht übersetzt von Cass. | **4** εἰς τὴν πόλιν = Cass. Σ > AL | **5** καὶ μάταιον — γεγενημένον = Σ > rT Cass. | **10** κύριον τῶν ὅλων BrvTΣ θεὸν AL | σαβόρην s σαβώριον B | **11** τὸ vor **10** τῆς ∼ B | **13** vor αἴγλην + τὴν v übergeschrieben A^{c} | **14** τὸν ῥωμαίων βασιλέα nv | **15** ἀπαγγελκόσιν A | nach ἐκείνων + ὡς B | **21** θαυμάσιος = Cass. Σ] μακάριος T | **21/22** παρὰ Σύροις ἐγένετο — Cass. Σ > T | **23** κατ᾽ αὐτῶν — Cass. Σ > T | ἀφεῖναι A | **24** δή] δὲ N > Hsv | **25** μυρίων T | σκνείπας B σκνήπας T | **26** ἐκπεμφθῆναι S ἐξεπεμφθῆναι G | κώπας B κώνοπας AG | καὶ^{2} > T Cass. Σ | σμικρῶν s

ζωϋφίων τοῦ σφίσιν ἐπαρκοῦντος ἐπιγνῶναι τὴν δύναμιν. εἵπετο δὲ **13** τῇ εὐχῇ τῶν σκνιπῶν καὶ τῶν κωνώπων τὰ νέφη, καὶ τῶν μὲν ἐλεφάντων τὰς προνομαίας αὐλοειδεῖς πεφυκυίας ἐπλήρου, τῶν δὲ ἵππων καὶ τῶν ἄλλων κτηνῶν τά τε ὦτα καὶ τὰς ῥῖνας. οἱ δὲ φέρειν **14** οὐ δυνάμενοι τῶν ζωϋφίων τὴν προσβολὴν τούς τε ῥυτῆρας ἀπέρρηξαν καὶ τοὺς ἐποχουμένους κατήνεγκαν, καὶ τήν τε τάξιν συνέχεαν τό τε στρατόπεδον καταλιπόντες ἔφυγον κατὰ κράτος. οὕτως ὁ τριὰθλιος βασιλεύς, τῇ σμικρᾷ καὶ φιλανθρώπῳ παιδείᾳ τοῦ τῶν εὐσεβούντων προμηθουμένου θεοῦ μεμαθηκὼς τὴν ἰσχύν, ἀνέζευξεν ἐκεῖθεν, αἰσχύνην οὐ νίκην ἐκ τῆς πολιορκίας δρεψάμενος.

Κατὰ τοῦτον δὲ τὸν χρόνον ὁ Κωνστάντιος ἐν Ἀντιοχείᾳ διέ- **31** [λβ'] τριβε. τῆς δὲ ἀνακωχῆς γενομένης καὶ τοῦ Περσικοῦ παυσαμένου πολέμου, πάλιν ἐπισκόπους συνήθροισεν, ἀρνηθῆναι πάντας καὶ τὸ ὁμοούσιον ἀναγκάζων καὶ τὸ ἑτεροούσιον. Εὐδοξίου δὲ μετὰ Λεόντιον ἐκεῖνον τὸν θρόνον ἁρπάσαντος, εἶτα ἐξελαθέντος καὶ μετὰ πολλὰς συνόδους τὴν Κωνσταντινούπολιν παρανόμως κατεσχηκότος, ἡ Ἀντιοχέων ἐκκλησία ποιμένος ἐστέρητο. τότε δὴ οὖν οἱ συνεληλυθό- **2** τες ἐπίσκοποι (πολλοὶ δὲ ἦσαν πάντοθεν συνειλεγμένοι) χρῆναι ἔλεγον προβληθῆναι πρότερον τῇ ποίμνῃ νομέα, εἶθ' οὕτω κοινῇ σὺν ἐκείνῳ περὶ τῶν δογμάτων βουλεύσασθαι.

Κατ' ἐκεῖνον δὲ τὸν καιρὸν Μελέτιος ὁ θεσπέσιος πόλιν τινὰ τῆς Ἀρμενίας ἰθύνων, εἶτα τῶν ἀρχομένων τὸ δυσήνιον δυσχεράνας,

* **11—20** Cass. V 46 — **21**—S. 171, 4 Cass. V 47 — **22**—S. 171, 2 Polydeukes 354, 3

B A HN (n) + GS (s) = r L + FV (v) = z T

1 *σφίσιν*] *σφήν* B | **2** *σκνειπῶν* B *σκνηπῶν* T | **3** *προνομαίας* SLV *προνομίας* A *προνομέας* nGFT *προνομιαίας* B | *ἐπλήρου* BAL *ἐπλήρουν* rvT *impleverunt* Cass. | *δὲ* auf Rasur A *τε* v > B | **6** *καὶ*[2] > n | *τε* > BFT | *συνέχεαν* B *confuderunt* Cass. *συνέχεον* ArzT | **11** am Rand *λβ* Arz | *Κατὰ* > B | *χρόνον* BALT *καιρὸν* rv | **12/13** *πολέμου παυσαμένου* ~ AL = Cass. | **13** nach *πάλιν* + *οἱ τοῦ ἀρειανικοῦ δόγματος προιστάμενοι ἔπεισαν αὐτὸν καὶ* T*, Cass. wie im Text | nach *συνήθροισε* + *καὶ* T* | *καὶ* > T* | **14** *ἀναγκάζων*] *ἀναγκάζον* vor **13** *καὶ τὸ* ~ B *ἠνάγκαζον* T* > N | *δὲ* = *rerum* Cass.] *τε* T | **15** *ἐκεῖνον* nach *θρόνον* ~ T > s | **17** *δὴ οὖν*| *δὴ* A *οὖν* L, *ergo* Cass. | **17/18** *συνελθόντες* T | **18** *συνειλεγμένοι*] *συνηγμένοι* A | **19** nach *προβληθῆναι* + *ἕτερον* T, Cass. wie im Text | *πρότερον*] *πρῶτον* s | *πρότερον προβληθῆναι* ~ B | *νομέα*] *ποιμένα* B | nach *οὕτω* + *δὲ* B | **22** nach *ἰθύνων* + *τοῦ νομου* (sic) *σεβάστειαν* T* aus Socr. II 44, 1, fehlt bei Cass.

ἡσυχίαν ἦγεν ἑτέρωθι διατρίβων. τοῦτον ὑποτοπήσαντες οἱ τῆς 3
Ἀρείου συμμορίας ὁμόφρονα εἶναι καὶ κοινωνὸν τῶν δογμάτων, ἐξῄ-
τησαν τὸν Κωνστάντιον τούτῳ τῆς Ἀντιοχέων ἐκκλησίας παραδοῦναι
τὰς ἡνίας. πάντα γὰρ νόμον παρέβαινον ἀδεῶς, κρατῦναι πειρώμενοι
τὴν ἀσέβειαν, καὶ τῶν θεσμῶν ἡ παράβασις ὑποβάθρα τῆς βλασφη-
μίας ἐγίνετο. πολλὰ δὲ τοιαῦτα πολλαχοῦ γῆς ἐνεόχμωσαν. οἱ δὲ 4
τῶν ἀποστολικῶν ἀντεχόμενοι δογμάτων, τοῦ μεγάλου Μελετίου καὶ τὴν
ἐν τοῖς δόγμασιν ὑγείαν εἰδότες καὶ μὲν δὴ καὶ τὴν τοῦ βίου λαμπρότητα
καὶ τῆς ἀρετῆς τὸν πλοῦτον σαφῶς ἐπιστάμενοι, συνεψηφίσαντο καὶ
τὸ ψήφισμα γραφῆναι καὶ παρὰ πάντων ὑπογραφῆναι μετὰ πλείστης
ὅτι μάλιστα σπουδῆς παρεσκεύασαν. τοῦτο δέ γε καὶ οὗτοι κἀκεῖνοι 5
οἷόν τινα συνθήκην κοινὴν Εὐσεβίῳ τῷ Σαμοσάτων ἐπισκόπῳ φυ-
λάττειν ἔδοσαν, ἀνδρὶ γενναίῳ τῆς ἀληθείας ἀγωνιστῇ. ἐπειδὴ δὲ
βασιλικὴν δεξάμενος κλῆσιν ἦκεν ὁ μέγας Μελέτιος, ὑπήντησαν μὲν
ἅπαντες οἱ τῆς ἀρχιερωσύνης μετειληχότες, ὑπήντησαν δὲ καὶ οἱ ἄλλοι
τῆς ἐκκλησίας χοροὶ καὶ ἅπαν τὸ τῆς πόλεως πλῆθος· παρῆσαν δὲ
καὶ Ἰουδαῖοι καὶ Ἕλληνες, τὸν πολυθρύλητον ἰδεῖν Μελέτιον ἱμει-
ρόμενοι.

Ὁ δὲ βασιλεὺς καὶ αὐτῷ καὶ τοῖς ἄλλοις οἳ λέγειν ἠδύναντο τὸ 6
»κύριος ἔκτισέ με ἀρχὴν ὁδῶν αὐτοῦ εἰς ἔργα αὐτοῦ« παρηγ-
γύησεν ἀναπτύξαι τῷ πλήθει· τοὺς δὲ γράφειν εἰς τάχος πεπαιδευ-

1—3 vgl. Sozomen. IV 28, 3. Philostorg. V 1 — **4** vgl. Can. Nicaen. 15. Rufin. H. E. X 25, 989, 11—12 — **14—18** vgl. Sozomen. IV 28, 5. Synax. 459, 28 — **20** Prov. 8, 22 — **20 21** u. S. 172, 6—9 vgl. Epiphan. Haeres. 73, 28—33

* **6**—S. 172, 13 Cass. V 47 — **10—13** Polydeukes 354, 6

B A HN (n) + GS (s) = r L + FVR [R von **9** *συνεψηφίσαντο* an] (v) = z T [bis **13** *ἀγωνιστῇ* und von **20** *παρηγγύησεν* an]

1 nach *διατρίβων* + *ὡς δὲ λόγος φέρεται εἰσ βέρροιαν μετῆλθε* T* aus Socr. II 44, 2, fehlt bei Cass. | *ὑποτοπήσαντεσ* BALT *ὑπονοήσαντεσ* rv Cod. Polyd. **2** *τῶν*] *τὸν* A | **2 3** *ἐξῄτησαν τὸν*] *ἐξητήσαντο* B | **3** *ἐκκλησίας* = Cass. > v | **6** *ἐνεόχμωσαν* BHL *ἐνεόχμᾶσαν* A *ἐνεώχμησαν* T *ἐνέχμασαν* N *ἐνεκόμασαν* (*κω* V, *μω* G) sv | **7** *δογμάτων ἀντεχόμενοι* ∾ A | **8** *εἰδόντεσ* B | *τὴν* > B **10** *τὸ* > v | *ὑπογραφῆναι*] *ἐπιγραφῆναι* s | **11** *παρεσκενάσαντο* B | *γε* > B | **12** *κοινὴν*] *καινὴν* v *τινὰ sic* T | **13** *ἐπειδὴ*] *ἐπεὶ* s | **14 15** *μὲν ἅπαντες* > s | **15** *ἱερωσύνησ* B | **16** *πᾶν* B | **17 18** *ἱμειρόμενοι Μελέτιον* ∾ s | **20 21** *παρεγγύησεν* AT | **21** *τοὺς δὲ*] *καὶ τοὺσ* auf Rasur Ac und, *καὶ* übergeschrieben, VcRc *τοὺσ* v | **21 f** *πεπαιδευμένουσ εἰς τάχοσ* ∾ rv *εἰσ τάχοσ πεπαιδευμένουσ* (*β*, *α* von Ac) A

μένους γράψαι προσέταξε τὰ παρ' ἑκάστου λεγόμενα, ἀκριβεστέραν ἔσεσθαι τὴν διδασκαλίαν ὑπολαβών. καὶ πρῶτος μὲν ὁ Λαοδικείας 7
Γεώργιος τὴν αἱρετικὴν ἐξήμεσε δυσοσμίαν· μετὰ δὲ τοῦτον Ἀκάκιος
ὁ Καισαρείας μέσην τινὰ διδασκαλίαν προσήνεγκε. πλεῖστον μὲν ὅσον
τῆς ἐκείνων βλασφημίας ἀφεῦτηκυῖαν, οὐκ ἀκραιφνῆ δὲ καὶ ἀκέραιον
τὸν ἀποστολικὸν χαρακτῆρα φυλάττουσαν· τρίτος ὁ μέγας Ἀνέστη
Μελέτιος καὶ τοῦ τῆς θεολογίας κανόνος ὑπέδειξε τὴν εὐθύτητα. οἷον 8
γάρ τινι στάθμῃ τῇ ἀληθείᾳ χρησάμενος, καὶ τὸ περιττὸν καὶ τὸ ἔλλειπον
διέφυγεν. εὐφημίας δὲ πλείστης παρὰ τοῦ πλήθους προσφερομένης
καὶ σύντομον αὐτοῖς προσενεγκεῖν ἀντιβολούντων διδασκαλίαν, τρεῖς
ὑποδείξας δακτύλους, εἶτα τοὺς δύο συναγαγὼν καὶ τὸν ἕνα καταλι-
πών, τὴν ἀξιέπαινον ἐκείνην ἀφῆκε φωνήν· »τρία τὰ νοούμενα, ὡς
ἑνὶ δὲ διαλεγόμεθα«.

Κατὰ ταύτης τῆς διδασκαλίας οἱ τὴν Ἀρείου νόσον ἐν τῇ ψυχῇ 9
φέροντες τὰς γλώττας ἐκίνησαν καὶ συκοφαντίαν ἐξύφηναν. τὰ Σα-
βελλίου φρονεῖν τὸν θεῖον εἰρηκότες Μελέτιον· καὶ ἔπεισάν γε τὸν 10
εὔριπον ἐκεῖνον καὶ τῇδε κἀκεῖσε ῥᾳδίως φερόμενον καὶ παρεσκεύασαν
εἰς τὴν οἰκείαν ἐξοστρακίσαι πατρίδα. καὶ παραυτίκα Εὐζώϊον ἀντ'
ἐκείνου προὐβάλοντο, προφανῆ τῶν Ἀρείου δογμάτων συνήγορον·
σὺν Ἀρείῳ γὰρ καὶ τοῦτον διακονίας ἠξιωμένον ὁ μέγας Ἀλέξανδρος
ἀπεκήρυξεν. εὐθὺς δὴ οὖν τὸ ὑγιαῖνον πλῆθος τῶν τὴν νόσον εἰσδεδεγ- 11
μένων ἀποκριθὲν εἰς τὴν ἀποστολικὴν ἐκκλησίαν τὴν ἐν τῇ καλου-

10/11 vgl. Sozomen. IV 28, 7 — **17—19** vgl. Philostorg. V 5 — **17**—S. 173, 1 vgl. Socrat. II 44, 5—6. Sozomen. IV 28, 9—10 — **20/21** ob. S. 25, 8

* **14**—S. 173, 15 Cass. V 48 — **15—21** Polydeukes 354, 14

B A HN (n) + GS (s) = r L + FVR (v) = z T

2 nach ἔσεσθαι + ταύτη übergeschrieben AcRc | ὑπολαβών A | **3** ἐξέμεσε T ἐξόσμησεν B | δυσοσμίαν = *fetorem* Cass.] δυσωδίαν T | **4** προσήνεγκε BArz προήνεγκε T *proferre* Cass. | **5** ἀκρεφνῆ B | **10** αὐτοῖς = *eis* Cass.] αὐτὸς B | **11** nach ὑποδείξας + πάλιν ὡσ καὶ ἐν τῇ ἐκκλησία T, fehlt bei Cass. | **14** nach ταύτης + γὰρ übergeschrieben Ac, fehlt bei Cass. | ἐν τῇ ψυχῇ > N | **15** φέροντες] περιφέροντες (περι auf Rasur Ac) A προφέροντες L μετειληχότες N γρ. ἐν τῇ ψυχῇ φέροντες Nm | ἐκίνησαν] ἠκόνησαν H *calumniae linguas exacuerunt* Cass., vgl. Psal. 140, 4 | ἐξύφαναν AL | **16** εἰρηκότες τὸν θεῖον φρονεῖν μελέτιον T | γε auf Rasur A τε T | **17** εὔριππον T | περιφερόμενον B | **19** προυβάλλοντο AG προβάλλονται T | **21** οὖν] γοῦν AL | τοῦ — **22** εἰσδεδεγμένου AL, *ab haereticis* Cass. | **22** εἰς τὴν > B

μένῃ Παλαιᾷ διακειμένην ἠθροίζετο. τριάκοντα μὲν γὰρ ἔτη μετά γε τὰς κατ᾽ Εὐσταθίου τοῦ πανευφήμου γεγενημένας ἐπιβουλὰς διετέλεσαν τῆς Ἀρειανικῆς ἀνεχόμενοι βδελυρίας καὶ χρηστήν τινα μεταβολὴν προσδεχόμενοι. ἐπειδὴ δὲ εἶδον τὴν ἀσέβειαν παρ᾽ αὐτοῖς 12
5 αὐξανομένην καὶ τοὺς μὲν τῶν ἀποστολικῶν ἀντεχομένους δογμάτων καὶ προφανῶς πολεμουμένους καὶ κρύβδην ἐπιβουλευομένους, καὶ τὸν μὲν θεῖον ἐξελαθέντα Μελέτιον, Εὐζώϊον δὲ τὸν τῆς αἱρέσεως προστάτην ἀντ᾽ ἐκείνου τὴν προεδρίαν δεξάμενον, τῶν πρὸς τὸν Λὼτ ἀνεμνήσθησαν εἰρημένων »σώζων σῶζε τὴν σεαυτοῦ ψυχήν«,
10 πρὸς δὲ δὴ τούτοις καὶ τῶν εὐαγγελικῶν νόμων οἳ σαφῶς διαγορεύουσιν »εἰ ὁ ὀφθαλμός σου ὁ δεξιὸς σκανδαλίζει σε, ἔκκοψον αὐτὸν καὶ βάλε ἀπὸ σοῦ«. ταῦτὰ δὲ καὶ περὶ χειρὸς καὶ ποδὸς 13
ὁ δεσπότης ἐνομοθέτησε καὶ προστέθεικε· »συμφέρει γάρ σοι ἵνα ἀπόληται ἓν τῶν μελῶν σου, καὶ μὴ ὅλον τὸ σῶμά σου
15 βληθῇ εἰς γέενναν«. ἡ μὲν οὖν τῆς ἐκκλησίας διαίρεσις τοῦτον [λγ′]
τὸν τρόπον ἐγένετο.

Εὐσέβιος δὲ ὁ θαυμάσιος, οὗ καὶ πρόσθεν ἐμνήσθην, ὁ τὸ ψή- 32
φισμα τὸ κοινὸν πιστευθείς, τῶν συνθηκῶν τὴν παράβασιν θεασάμενος εἰς τὴν ἐγκεχειρισμένην ᾤχετο πόλιν· οἱ δὲ τὸν ἀνάγραπτον
20 ἔλεγχον ὑφορώμενοι τὸν Κωνστάντιον ἔπεισαν ἀποστεῖλαί τινα τὸ ψήφισμα κομιούμενον. καὶ δῆτα πεισθεὶς ὁ βασιλεὺς ἀπέστειλέ τινα 2
τοὺς κατὰ τὴν πορείαν ἐναλλαττομένους ἵππους ἐλαύνειν εἰωθότα καὶ τὰς ἀποκρίσεις ὡς τάχιστα φέροντα. ἐπειδὴ δὲ ἀφίκετο καὶ τὰ παρὰ βασιλέως ἀπήγγειλεν, »οὐκ ἀνέχομαι«, ἔφη Εὐσέβιος ὁ θαυμάσιος, »τὴν

9 Gen. 19, 17 — **11—15** Matth. 5, 29. vgl. 18, 8 — **17** oben S. 171, 12

* **17**—S. 174, 14 Cass. V 49 — **20**—S. 174, 12 Polydeukes 354, 19

B A HN (n) + GS (s) = r L + FVR (v) = z T

1 ἠθροίζετο BT *conveniebat* Cass. ἠθροίζοντο die übr. HSS | nach ἠθροίζετο + καὶ αὐτὸ δὲ εἰσ δύο μεμέριστο. οἱ γὰρ εὐσταθιανοὶ εἰ καὶ ἓν ἐφρόνουν μετὰ τῶν κατὰ μελέτιον ἀλλ᾽ οὐκ ἐκοινώνουν αὐτοῖσ· ἐπεὶ ὁ μέγασ μελέτιοσ ὡσ ἀρειανὸσ σχεδὸν ὑπ᾽ αὐτῶν προβέβλητο T* | **2** γε > B | **3** ἀνεχόμενοι A | **4** εἶδον, ον auf Rasur A | **5** αὐξομένην n αὐξουμένην G | **6** πολεμωμένουσ T **12** ταὐτὰ n τὰ αὐτὰ Sv *idem* Cass. ταῦτα BAGLT | **15** ἡ μὲν: λγ am Rand HSS | **17** ὁ² As | **19** ἐγχειρισμένην A | ἔγγραπτον RA (ἐγ auf Rasur Ac) ἔγγραφον V ἄγραπτον F | **21** καὶ δῆτα] εἶτα T | δῆτα] δὴ rv | ὁ > A | τινα] τινασ T τινα τῶν εἰωθότων V | **22** ἐλαύνειν] ἐλᾶν AL | εἰωθόταασ F ασ aus α corr. Ac > V | **23** φέροντασ F σ übergeschrieben Ac φέρειν V, den Singular bezeugt Cass. | ἐπειδὴ] ἐπεὶ B | nach παρὰ + τοῦ B | **24** ἀπήγγειλεν BnGvT *nuntiasset* Cass. ἀπήγγελλεν SL ἀπέγγελλεν A

κοινὴν ἀποδοῦναι παρακαταθήκην, πρὶν ἂν ἅπαντες οἱ δεδωκότες κατὰ ταὐτὸν γένοιντο«. ταῦτα ὁ μὲν ἀπήγγειλε τῷ πεπομφότι· ὁ 3
δὲ τῷ θυμῷ ζέσας ἐπέστειλεν αὐτῷ πάλιν ἀποδοῦναι παρεγγυῶν, καὶ προστέθεικεν ὡς προσέταξεν ἐκτμηθῆναι αὐτοῦ τὴν χεῖρα τὴν δεξιάν,
εἰ μὴ δοίη τὸ ψήφισμα. ταῦτα μέντοι δεδιττόμενος ἔγραψε· τῷ γὰρ κομίζοντι τὴν ἐπιστολὴν ἀπηγόρευσεν ἅπερ ἠπείλησε δρᾶσαι. ἐπειδὴ δὲ 4
τὴν ἐπιστολὴν ἀναπτύξας ὁ θεῖος ἐκεῖνος ἀνὴρ εἶδεν ἐν τοῖς γράμμασιν ἣν ὁ βασιλεὺς ἠπείλησε κόλασιν, μετὰ τῆς δεξιᾶς καὶ τὴν εὐώνυμον προὔθηκεν, ἄμφω τεμεῖν τῷ χεῖρε παρεγγυῶν· »τὸ γὰρ ψήφισμα«,
ἔφη, »οὐ δώσω, τῆς Ἀρειανικῆς μοχθηρίας ἔλεγχον ὄντα σαφῆ«. ταύτην αὐτοῦ τὴν ἀνδρείαν μαθὼν ὁ Κωνστάντιος καὶ τότε ἠγάσθη 5
καὶ διετέλει θαυμάζων. θαυμάζουσι γὰρ καὶ δυσμενεῖς τὰ τῶν ἀντιπάλων πλεονεκτήματα, ὑπὸ τοῦ μεγέθους τῶν πραττομένων ἀναγκαζόμενοι.

Κατὰ τοῦτον τὸν χρόνον ὁ Κωνστάντιος πυθόμενος ὡς Ἰουλιανός, ὃν τῆς Εὐρώπης ἀπέφηνε Καίσαρα, μειζόνων πραγμάτων ἐφίεται καὶ κατὰ τοῦ τετιμηκότος στρατιὰν συναγείρει, ἀπὸ μὲν τῆς Συρίας ἀπῆρεν, ἐν δὲ τῇ Κιλικίᾳ τὸν βίον κατέλυσεν. οὐ γὰρ εἶχεν ἐπίκουρον ὃν ὁ πατὴρ αὐτῷ καταλέλοιπε, τῆς πατρῴας εὐσεβείας ἄσυλον οὐ φυλάξας τὸν κλῆρον. οὗ δὴ εἵνεκα πικρῶς ὠλοφύρετο τῆς πίστεως τὴν μετάθεσιν. 6

15—18 vgl. Rufin. H. E. X 27. Socrat. II 47. Sozomen. V 1, 6. Philostorg. VI 5

* **4—10** Synax. 763, 10

B A HN (n) + GS (s) = r L + FVR (v) = z T [bis **14**]

1 ἂν > sv | πάντες BT | **2** κατὰ ταὐτὸν AHSz κατὰ ταυτὸ B κατ' αὐτὸν NGT | ὁ¹ > s | ἀπήγγειλαν s, *renuntiasset* Cass. | **4** ὥσπερ ἔταξεν A | τὴν χεῖρα αὐτοῦ ∼ T | **5** μὴ δώῃ v μὴ δοῖεν A, *reddere nollet* Cass. μέντοι] μὲν οὖν B | δεδειττόμενος AG | **6** ἐπειδὴ] ἐπεὶ B | **7** ἀναπτύξας] ἀνοίξας s | ἀναπτύξας nach ἐκεῖνος ∼ B | vor ὁ + τὴν A | εἶδεν, εἶ aus η corr. Ac εἶ auf Rasur B | **9** τέμνειν T | τῶ χεῖρε τεμεῖν ∼ A | **10** μοχθηρίας] μανίας s, *pestis* Cass. | **15** χρόνον] καιρὸν rv | ὡς] ὅτι B | **17** ἀγείρει BL | **18** συριακῆς AL | **20** ἕνεκα B | ὠλοφύρατο AL

Τὰ κεφάλαια τοῦ γ΄ λόγου

α΄. Περὶ τῆς Ἰουλιανοῦ βασιλείας.
β΄. Ὅτι παιδόθεν ἐν εὐσεβείᾳ τραφεὶς ἐξώκειλεν εἰς ἀσέβειαν.
γ΄. Ὅπως τὰ πρῶτα τὴν ἀσέβειαν κρύπτων ὕστερον ταύτην ἐγύμνωσεν.
δ΄. Περὶ τῆς ἐπανόδου τῶν ἐπισκόπων.
ε΄. Περὶ τῆς Παυλίνου χειροτονίας.
ς΄. Ὅτι οὐ φιλανθρωπίᾳ χρώμενος ἀλλὰ φθόνῳ βαλλόμενος προφανῶς τοὺς εὐσεβεῖς οὐκ ἀνῄρει.
ζ΄. Ὁπόσα καὶ ὁποῖα κατὰ τῶν Χριστιανῶν ἐτόλμησαν Ἕλληνες παρ᾽ αὐτοῦ λαβόντες τὴν ἐξουσίαν.
η΄. Τίνα κατὰ τῶν Χριστιανῶν ἐνομοθέτησεν.
θ΄. Περὶ τῆς τετάρτης ἐξορίας τοῦ ἁγίου Ἀθανασίου καὶ φυγῆς.
ι΄. Τὰ κατὰ τὸ Ἀπολλώνιον τὸ ἐν Δάφνῃ καὶ τὸν ἅγιον Βαβυλᾶν.
ια΄. Περὶ Θεοδώρου τοῦ ὁμολογητοῦ.
ιβ΄. Περὶ τῆς δημεύσεως τῶν ἱερῶν κειμηλίων καὶ τῆς τῶν σιτηρεσίων ἀφαιρέσεως.
ιγ΄. Τὰ κατὰ Ἰουλιανὸν τὸν θεῖον αὐτοῦ.
ιδ΄. Περὶ τοῦ υἱοῦ τοῦ ἱερέως.
ιε΄. Περὶ Ἰοβεντίνου καὶ Μαξιμίνου τῶν μαρτύρων.

B HN (n) + GS (s) = r FAL (y) VR (v)

1 *τὰ κεφάλαια τοῦ* $\bar{\gamma}$ *λόγου* B *τάδε περιέχει καὶ ὁ* (+ *παρὼν* H) *τῆς ἐκκλησιαστικῆς ἱστορίας λόγος τρίτος* (*τρίτος λόγος* N) n *τάδε περιέχει καὶ ὁ* $\bar{\gamma}$ *λόγος τόμος* S) *τῆς ἐκ. ἱστορίας* s *τάδε περιέχει ὁ* (*ὁ* > FR) *τῆς ἐκ. ἱσ. τόμος τρίτος* v *τάδε περιέχει τῆς θεοδωρήτου ἐκ. ἱσ. τὸ τρίτον* A > L | **3** *ὅτι*] *ὡς* A | **4** *τὰ*] *τὰς* B | *κατακρύπτων* v | *ὕστερον ταύτην* B *ταύτην ὕστερον* y *ὕστερον αὐτὴν* rv | **6** *περὶ — ἐπισκόπων* Bm | **8** *προφανῶς* > L | **9** *ἀνῄρει* FR **10** *ὁποῖα*] *ποῖα* y *οἷα* S | **12** *τῶν* > y | *ἐνομοθέτησαν* BF | **13** *ἁγίου*] *μακαρίου* Bsv | vor *φυγῆς* + *τῆς* rv | **14** *τὸ Ἀπολλώνιον τὸ ἐν Δάφνῃ*] *τὸν ἐν δάφνῃ ἀπόλλωνα* rv | **16** *σιτερεσίων* B | **18** *αὐτοῦ*] *τοῦ βασιλέως καὶ τοὺς ἄλλους ἀσεβεῖς* y | **20** *ἰουβεντίνου* y *ἰουβεντίου* S | *μαξίμου* A | nach *τῶν* + *ἁγίων* rv

ις'. Περὶ Βαλεντινιανοῦ τοῦ ὕστερον βασιλεύσαντος.
ιζ'. Περὶ τῶν ἄλλων ὁμολογητῶν.
ιη'. Περὶ Ἀρτεμίου τοῦ δουκός.
ιθ'. Περὶ Πουπλίας τῆς διακόνου καὶ τῆς κατὰ θεὸν αὐτῆς παρρησίας.
κ'. Τὰ κατὰ Ἰουδαίους καὶ τὴν τῆς οἰκοδομίας ἐπιχείρησιν καὶ τὰς ἐπενεχθείσας αὐτοῖς θεηλάτους πληγάς.
κα'. Περὶ τῆς κατὰ Περσῶν στρατείας.
κβ'. Περὶ τῆς τοῦ πολιτευομένου τοῦ Βεροιαίου παρρησίας.
κγ'. Περὶ τῆς τοῦ παιδαγωγοῦ προρρήσεως.
κδ'. Περὶ τῆς τοῦ ἁγίου Ἰουλιανοῦ τοῦ μονάζοντος προφητείας.
κε'. Περὶ τῆς ἐν Περσίδι γεγενημένης σφαγῆς Ἰουλιανοῦ τοῦ βασιλέως.
κς'. Περὶ τῆς ἐν Κάρραις μετὰ τὴν ἀναίρεσιν αὐτοῦ φωραθείσης γοητείας.
κζ'. Περὶ τῶν ἐν τοῖς βασιλείοις Ἀντιοχείας εὑρεθεισῶν κεφαλῶν.
κη'. Περὶ τῆς ἐν Ἀντιοχείᾳ πανδημεὶ γεγενημένης χορείας.

B HN (n) + GS (s) = r AL (y) FVR (v)

1 vor *ὕστερον* + *τὸ* A | **4** *αὐτῆς* nach *παρρησίας* ∽ n | **5** *οἰκοδομῆς* rv **8** *τοῦ*² > rv | *βερροιαίου* y | **9** *προσρήσεως* B | **10** *προφητείας*] *παρρησίας* y | **11** *γεγενημένης*] *γενομένης* s > H | *σφαγῆς ἰουλιανοῦ τοῦ βασιλέως* ny *αὐτοῦ σφαγῆς* Bsv | **12** *κάραις* n | *μετὰ τὴν ἀναίρεσιν αὐτοῦ* > n

ΤΟΜΟΣ ΤΡΙΤΟΣ ΤΗΣ ΘΕΟΔΩΡΗΤΟΥ ΕΚΚΛΗΣΙΑΣΤΙΚΗΣ ΙΣΤΟΡΙΑΣ

Κωνστάντιος μὲν δὴ στένων καὶ ὀδυρόμενος ὑπεξῆλθε τὸν βίον 1
ὅτι τῆς πατρῴας πίστεως παρετράπη· Ἰουλιανὸς δὲ ἀπὸ τῆς Εὐρώπης
εἰς τὴν Ἀσίαν διαβαίνων ἐπύθετο τοῦ Κωνσταντίου τὴν τελευτὴν
καὶ θαρρήσας, ὡς οὐδένα ἀντίπαλον ἔχων, τὴν βασιλείαν παρέλαβεν.
Οὗτος δέ, νέαν μὲν ἄγων τὴν ἡλικίαν σὺν Γάλλῳ τῷ ἀδελφῷ 2
καὶ ἄνηβος ὢν ἔτι, τὴν τῆς εὐσεβοῦς διδασκαλίας εἶλκε θηλήν, καὶ
μὲν δὴ καὶ πρόσηβος γενόμενος καὶ ἔφηβος τῆς αὐτῆς μετελάγχανε·
δείσας δὲ τὸν Κωνστάντιον (τοὺς γὰρ γένει προσήκοντας ἀνῄρει
δειμαίνων τὰς τυραννίδας) τοῦ τῶν ἀναγνωστῶν ἠξιώθη χοροῦ καὶ
τὰς ἱερὰς βίβλους ἐν τοῖς ἐκκλησιαστικοῖς συλλόγοις ὑπανεγίνωσκε
τῷ λαῷ. καὶ σηκὸν μαρτύρων ἐδομήσατο μέν, οὐ προσεδέξαντο δὲ
οἱ μάρτυρες τὴν εἰς ἀσέβειαν αὐτοῦ παρατροπὴν προθεώμενοι· τῶν
γὰρ δὴ θεμελίων τὸ τῆς ἐκείνου γνώμης μιμησαμένων ἀβέβαιον, πρὶν
ἱερωθῆναι κατέπεσε. τὰ μὲν δὴ τῆς πρώτης ἡλικίας αὐτοῦ καὶ τῆς
δευτέρας τοιαῦτα ἦν.
Ἐπειδὴ δὲ εἰς τὴν Ἑσπέραν ἀπαίρων Κωνστάντιος (ἐκεῖσε γὰρ 3
αὐτὸν εἶλκεν ὁ πρὸς Μαγνέντιον πόλεμος) Καίσαρα τῆς Ἑῴας τὸν

3/4 vgl. Gregor. Nazianz. Orat. XXI 26. Zonar. XIII 11, 12 S. 56, 3 — **7—16** vgl. Gregor. Nazianz. Orat. IV 23—26. Sozomen. V 2, 10 u. 12—13. Socrat. III 1, 20

* **10—13** Cass. VI 3

B HN (n) + GS (s) = r AL (y) FVR (v)

1 *τόμος — 2 ἱστορίας* A *τόμος τρίτος* rLF *λόγος* $\bar{\gamma}$ B > VR | **3** $\bar{\alpha}$ am Rand HSS | **4/5** *ἀπὸ τῆς ἀσίας εἰς τὴν εὐρώπην* n | **5** *εἰς*] *ἐπὶ* B | **7** $\bar{\beta}$ am Rand Bnyv | *δέ* BL > rAv | *μὲν νέαν* ∽ s | *μὲν* > L | **9** *καὶ*[1] > s | **10** vor *γένει* + *προ* gestrichen A | **11** vor *τοῦ* + *καὶ* v, übergeschrieben Ac, fehlt bei Cass. | **12** *συλλόγοις* übergeschrieben Ac | **14** *αὐτοῦ παρατροπὴν προθεώμενοι*] *προτροπὴν θεόμενοι* B | **16** *τὰ*] *ταῦτα* v | **17** *τοιαῦτα*] *ἐν τούτοις* A *γρ. τοιαῦτα* am Rand Ac | **18** $\bar{\gamma}$ am Rand y β s | *δὲ* übergeschrieben Ac | *ὁ κωνστάντιος* B | **19** *εἶλκεν*] *ἦγεν* B *εἶλκεν* Bm

Γάλλον ἀπέφηνεν, εὐσεβῆ τε ὄντα καὶ εἰς τέλος γε διαμείναντα, τὸ μὲν ὀνησιφόρον δέος Ἰουλιανὸς ἐσκέδασε τῆς ψυχῆς, θάρσος δὲ λαβὼν ὡς οὐκ ὤφελε, τῶν βασιλικῶν ἐπεθύμησε σκήπτρων. οὗ δὴ εἵνεκα 2 *τὴν Ἑλλάδα περινοστῶν μάντεις ἐπεζήτει καὶ χρησμολόγους, εἰ τεύξεται τοῦ ποθουμένου μαθεῖν ἱμειρόμενος. περιτυγχάνει δὲ ἀνθρώπῳ ταῦτα προλέγειν ὑπισχνουμένῳ, ὃς τοῦτον εἴς τινα τῶν εἰδωλικῶν σηκῶν ἀγαγὼν καὶ εἴσω γενέσθαι τῶν ἀδύτων παρασκευάσας, τοὺς ἀπατεῶνας ἐκάλεσε δαίμονας. ἐκείνων δὲ μετὰ τῆς συνήθους* 3 *φαντασίας ἐπιφανέντων, ἠνάγκασε τοῦτον τὸ δέος ἐπιθεῖναι τῷ μετώπῳ τοῦ σταυροῦ τὸ σημεῖον· οἱ δὲ τοῦ δεσποτικοῦ τροπαίου τὸν τύπον ἰδόντες καὶ τῆς σφετέρας ἥττης ἀναμνησθέντες, φροῦδοι παραυτίκα ἐγένοντο. συνεὶς δὲ ὁ γόης ἐκεῖνος τῆς φυγῆς τὴν αἰτίαν* 4 *ἐπεμέμψατο τούτῳ. Ἰουλιανὸς δὲ καὶ τὸ δέος ἐδήλωσε καὶ τοῦ σταυροῦ θαυμάζειν ἔφησε τὴν ἰσχύν· ἀπέδρασαν γὰρ οἱ δαίμονες τούτου τὸν τύπον οὐκ ἐνεγκόντες ἰδεῖν. »μὴ δὴ τοῦτο ὑπολάβῃς, ὦ ἀγαθέ«, ὁ γόης ἔφη, »οὐ γὰρ ἔδεισαν, ὥς γε σὺ φῄς, ἀλλὰ βδελυξάμενοι τὸ παρὰ σοῦ γενόμενον ᾤχοντο«. οὕτω βουκολήσας τὸν δείλαιον ἐμύησέ τε* 5 *καὶ τοῦ μύσους ἐνέπλησε. καὶ ἡ τῆς βασιλείας ἐπιθυμία τῆς εὐσεβείας ἐγύμνωσε τὸν τρισάθλιον.*

Παραλαβὼν δὲ ὅμως τὴν δυναστείαν ἐπὶ πλεῖστον ἔκρυψε τὴν ἀσέβειαν· διαφερόντως γὰρ ἐδεδίει τοὺς στρατιώτας, τὰ τῆς εὐσεβείας εἰσδεδεγμένους μαθήματα. πρῶτον μὲν γὰρ αὐτοὺς ὁ πανεύφημος Κωνσταντῖνος, τῆς προτέρας ἐξαπάτης ἐλευθερώσας, ἐξεπαίδευσε τὰ τῆς ἀληθείας μαθήματα· ἔπειτα δὲ οἱ ἐκείνου παῖδες βεβαιοτέραν ἐν αὐτοῖς τὴν παρὰ τοῦ πατρὸς γεγενημένην διδασκαλίαν εἰργάσαντο.

5—18 vgl. Gregor. Nazianz. Orat. IV 55—56. Sozomen. V 2, 5—6

* **3—18** Cass. VI 1. Georg. Mon. 535, 13. vgl. Nöldeke, Ein syrischer Julianusroman, Zeitschr. der Deut. Morgenländ. Gesellsch. 28, 664?

B HN (n) + GS (s) = r AL (y) FVR (v) *

2 nach *μὲν* + *δὴ* A | *θνησιφόρον* y *γρ. ὀνησιφόρον* Am | **3** *ὤφειλεν* B | *ἕνεκα* v | **4** *καὶ* ryv Georg. > B Cass. | **6** *εἴς τινα* — **7** *σηκῶν*] *εἰσ εἰδωλικὸν σηκὸν* A, den Text bezeugen auch Cass. Georg. | **8** *ἀπαταιαιῶνασ* BR | **13** *ἐπεμέμψατο* sy Georg. Codd. ENPV *ἐμέμψατο* Bnv Georg. Codd. BFLR *coepit culpare* Cass., s. S. 195, 22; 219, 14; 245, 7 | *τούτῳ*] *τοῦτο* B *τοῦτον* Georg. *Iulianum* Cass. | **14** *τούτον*] *τοῦτον* L, *hoc signum* Cass. | **15** *ὤγαθέ* rL | **16** *γε* > rv Cass. | *ἀλλὰ* zweimal B | *ἀλλὰ* — **17** *σοῦ* am Rand Ac | **17** *τε* ryv Georg. > B | **20** *ϗ* am Rand sF | **22** *πρῶτοσ* B | *πρῶτον* — **24** *μαθήματα* Lm | **24** *δὲ* > s

εἰ γὰρ καὶ τοῦ ὁμοουσίου τὸ πρόσρημα βουκοληθεὶς ὑπὸ τῶν ἀγόντων 6
αὐτὸν ὁ Κωνστάντιος οὐ προσίετο, τὴν γοῦν τούτου διάνοιαν ἀκραιφνῶς ὡμολόγει. γνήσιον γὰρ υἱὸν πρὸ τῶν αἰώνων ἐκ τοῦ πατρὸς γεγεννημένον τὸν θεὸν λόγον ὠνόμαζε καὶ τοὺς κτίσμα λέγειν τολμῶντας ἄντικρυς ἀπεκήρυττε, τὴν δὲ τῶν εἰδώλων παντελῶς ἀπηγόρευσε θεραπείαν. ἐρῶ δὲ αὐτοῦ καὶ ἕτερον ἀξιέπαινον, ἱκανὸν 7
τεκμηριῶσαι τὴν περὶ τὰ θεῖα σπουδήν. ἐν γὰρ δὴ τῷ πρὸς Μαγνέντιον πολέμῳ ἅπασαν συναλίσας τὴν στρατιὰν μεταλαχεῖν ἅπαντας τῶν θείων συνεβούλευσε μυστηρίων, ἀεὶ μὲν ἄδηλον εἶναι λέγων τοῦ βίου τὸ τέλος, οὐχ ἥκιστα δὲ ἐν πολέμῳ, μυρίων ἑκατέρωθεν ἀφιεμένων καὶ βελῶν καὶ πελτῶν καὶ δοράτων, καὶ μὲν δὴ καὶ ξιφῶν καὶ κοπίδων ἐπιφερομένων καὶ τῶν ἄλλων ὀργάνων δι' ὧν ὁ βίαιος ἐπάγεται θάνατος. »οὗ δὴ ἕνεκα χρὴ ἕκαστον τὴν ἀξιόκτητον ἐκείνην ἔχειν στολὴν ἧς ὅτι μάλιστα ἐν ἐκείνῳ τῷ βίῳ δεόμεθα. εἰ δέ τις τήνδε λαβεῖν τὴν ἀμπεχόνην ἀναβάλλεται, νῦν ἐντεῦθεν ἀπάρας οἴκαδε ἀπίτω· ἀμυήτοις γὰρ συμπολεμεῖν οὐκ ἀνέξομαι.«

Ταῦτα δὲ Ἰουλιανὸς σαφῶς ἐπιστάμενος τὸ δυσσεβὲς τῆς ψυχῆς 4
οὐκ ἐπίδηλον εἶχεν. εἰς εὔνοιαν δὲ ἅπαντας ἐφελκόμενος καὶ τοὺς ὑπὸ Κωνσταντίου τῶν ἐκκλησιῶν ἐξελαθέντας ἐπισκόπους καὶ τὰς ἐσχατιὰς τῆς οἰκουμένης οἰκοῦντας εἰς τὰς οἰκείας ἐπανελθεῖν ἐκκλησίας προσέταξε. τούτου δὴ οὖν τοῦ νόμου τεθέντος, εἰς μὲν τὴν Ἀντιό- 2
χειαν ἐπανῆλθεν ὁ θεῖος Μελέτιος, εἰς δὲ τὴν Ἀλεξάνδρειαν ὁ πολυύμνητος Ἀθανάσιος. Εὐσέβιος δὲ καὶ Ἱλάριος οἱ ἐκ τῆς Ἰταλίας καὶ Λουκίφερ ὁ Σαρδῶ τὴν νῆσον ποιμαίνειν λαχὼν ἐν τῇ Θηβαίων τῇ πρὸς Αἴγυπτον διῆγον· ἐκεῖ γὰρ αὐτοὺς ὁ Κωνστάντιος ἐξωστράκισεν.

21 vgl. Sozomen. V 5, 1. Socrat. III 1, 48. Philostorg. VI 7. Rufin. H. E. X 28. Histor. acephala Arian. 10. Julian. Epist. 26 u. 52 — **23**—S. 180, 2 vgl. Sozomen. V 12, 1. Socrat. III 5

* **1—6** Theophyl. Bulg. Martyr. XV mart. 5 PG 126, 160 C? Niceph. H. E. X 1

B HN (n) + GS (s) = r AL (y) FVR (v)

2 *προείετο* B | **4** *γεγενημένον* Byv, *ν* über *νη* geschrieben Ac | **5**/**6** *ἀπηγόρευσε* Br *ἀπηγόρευε* y *ἀπεκήρυττεν* v | **6** *καὶ ἕτερον αὐτοῦ* ∼ B | **9** *συνεβούλευσε τῶν θείων* ∼ s | *εἶναι λέγων ἄδηλον* ∼ n | **10** *ἐν*] *ἐν τῷ* B | **11** nach *βελῶν* + *καὶ τοξοτῶν* G + *καὶ τόξων* S | *παλτῶν* y, *α* in *ε* corr. Ac | **12** *κοπιδῶν* B | **13** *εἵνεκα* Av | **15** *νῦν* > n | **16** *συνπολεμεῖν* BA | | **17** *δ* am Rand BryFR *γ̄* V | *δὲ*] *δὴ* sv, *η* auf Rasur Ac > n | **18** *ἐπίδηλον εἶχεν*] *ἐποίει δῆλον ἔχειν* B | **19** *καὶ τὰς* — **20** *ἐκκλησίας* am Rand Ac | **21** *προσέταχεν* A | **22** *ἐπανελθεῖν* L | **23** *οἱ* Bv übergeschrieben Ac *ὁ* r > y **24** *σαρδὼ* nS *σαρδω* (*sic*) B | **25** *αἴγυπτον* ry *αἰγύπτω* Bv, vgl. S. 6, 8

οὗτοι σὺν τοῖς ἄλλοις ὁμόφροσι κατὰ ταὐτὸν γενόμενοι χρῆναι τὰς ἐκκλησίας ἔλεγον εἰς μίαν συναγαγεῖν συμφωνίαν. οὐ γὰρ μόνον 3
αὐτὰς οἱ τἀναντία φρονοῦντες ἐπολιόρκουν, ἀλλὰ καὶ αὐταὶ πρὸς ἑαυτὰς ἐστασίαζον.

Καὶ γὰρ ἐν Ἀντιοχείᾳ διχῇ τὸ ὑγιαῖνον σῶμα τῆς ἐκκλησίας διῄρητο· οἵ τε γὰρ ἐξ ἀρχῆς Εὐσταθίου χάριν τοῦ πανευφήμου τῶν ἄλλων ἀποκριθέντες καθ' ἑαυτοὺς συνηθροίζοντο, καὶ οἱ μετὰ Μελετίου τοῦ θαυμασίου τῆς Ἀρειανικῆς συμμορίας χωρισθέντες ἐν τῇ καλουμένῃ Παλαιᾷ τὰς λειτουργίας ἐπετέλουν τὰς θείας. καὶ ἦν μὲν 4
τούτων κἀκείνων μία ἡ ὁμολογία τῆς πίστεως· ἑκάτερον γὰρ σύστημα τῆς ἐκτεθείσης ἐν Νικαίᾳ διδασκαλίας ὑπερεμάχει. μόνη δὲ αὐτοὺς ἔρις ἀπ' ἀλλήλων διίστη καὶ ἡ περὶ τοὺς ἡγουμένους διάθεσις· οὐδὲ γὰρ ἡ θάτέρου τελευτὴ διέλυσε τὴν διάστασιν. πρὸ γὰρ τῆς Μελετίου 5
χειροτονίας Εὐσταθίου τετελευτηκότος καὶ τῶν τῆς εὐσεβείας ἀντεχομένων μετὰ τὴν Μελετίου μὲν ἐξορίαν Εὐζωΐου δὲ χειροτονίαν τῆς τῶν δυσσεβούντων κοινωνίας ἀποκριθέντων καὶ καθ' ἑαυτοὺς ἀθροιζομένων, συναφθῆναι τούτοις οἱ ἀπ' Εὐσταθίου τὴν ἐπωνυμίαν ἔχοντες οὐκ ἐπείσθησαν.

Τῆσδε τῆς συναφείας οἱ περὶ τὸν Εὐσέβιον καὶ Λουκίφερα πόρον 6
ἐπεζήτουν εὑρεῖν· καὶ Λουκίφερα μὲν ὁ Εὐσέβιος τὴν Ἀλεξάνδρειαν ἠξίου καταλαβεῖν καὶ Ἀθανασίῳ τῷ μεγάλῳ περὶ τούτου κοινώσασθαι, αὐτὸς δέ γε τὸν περὶ τῆς συμβάσεως ἤθελεν ἀναδέξασθαι πόνον.

Ἀλλ' ὁ Λουκίφερ εἰς μὲν τὴν Ἀλεξάνδρειαν οὐκ ἀφίκετο, τὴν Ἀντιόχου 5
δὲ πόλιν κατέλαβε. πολλοὺς δὲ περὶ συμβάσεως λόγους καὶ τούτοις κἀκείνοις προσενεγκών, εἶτα ἰδὼν ἀντιλέγοντας τοὺς τῆς Εὐσταθίου συμμορίας (ἡγεῖτο δὲ ταύτης Παυλῖνος πρεσβύτερος ὤν), ἐχειροτόνησεν αὐτοῖς, οὐκ εὖ γε ποιῶν. τὸν Παυλῖνον ἐπίσκοπον. τοῦτο τὴν διά- 2

7—9 s. oben S. 172, 21 f. vgl. Chronic. Pasch. a. 362 S. 547, 23 f — **20—27** vgl. Rufin. H. E. X 28, 991, 3. Socrat. III 6. Sozomen. V 12, 1—2

A HN (n) + GS (s) = r AL (y) FVR (v)

2 *συναγειν* A *γα* übergeschrieben Ac | **5** *Καὶ γάρ*: *ε* am Rand y | *τῆς ἐκκλησίας σῶμα* ∼ n | **7** *καθ' ἑαυτοὺς — 8 χωρισθέντες* > s | *μετὰ*] *μὲν τὰ* B | **9** *καλουμένῃ*] *λεγομένη* n | **10** *ἡ ὁμολογία μία* ∼ r | *ἑκάτερων* B | **12** *διίστησι* L *διίστη* /// A | *οὐδὲ*] *οὐ* A *δὲ* übergeschrieben Ac | **13** nach *τῆς* + *τοῦ* B | **16** *κοινωνίας*] *συμμορίασ* H *δυσσεβείασ* N | **16/17** *συναθροιζομένων* A | **19** *Τῆσδε*: *ε* am Rand Bv | *συναφείας*] *συμφωνίασ* B | **21** *κοινώσασθαι περὶ τούτου* ∼ rv | **22** *γε* > B | *τῆς* > A | **23** *μὲν* > By, übergeschrieben Ac | **26** *ταύτης*] *αὐτῆσ* B | *παυλίνοσ* so immer B | *ὤν*] *ὂν* BFV //// AR | **27** *ἐπίσκοπον* > s | *τοῦτο*: *ε* am Rand s

στασιν ἐκείνην μακροτέραν εἰργάσατο· πέντε γὰρ καὶ ὀγδοήκοντα διέμεινεν ἔτη μέχρι τῆς Ἀλεξάνδρου τοῦ πάσης εὐφημίας ἀξίου προεδρίας· ὃς τῆς Ἀντιοχέων ἐκκλησίας ἐγχειρισθεὶς τὰ πηδάλια, πάντα πόρον κινήσας καὶ πᾶσαν ὑπὲρ τῆς ὁμονοίας εἰσενεγκὼν σπουδήν τε καὶ προθυμίαν, τὸ κεχωρισμένον μέλος τῷ λοιπῷ τῆς ἐκκλησίας συνήρμοσε σώματι. τότε δὴ τὴν διάστασιν ὁ Λουκίφερ αὐξήσας 3 πλεῖστον ἐν Ἀντιοχείᾳ διέτριψε χρόνον. ὁ δέ γε Εὐσέβιος, εἰς τὴν Ἀντιόχειαν ἀφικόμενος καὶ γνοὺς ἐκ τῆς οὐκ ἀγαθῆς ἰατρείας δυσίατον τὸ πάθος γεγενημένον, εἰς τὴν Ἑσπέραν ἀπέπλευσεν. ὁ δὲ Λουκίφερ εἰς τὴν Σαρδὼ παραγενόμενος ἕτερά τινα τοῖς ἐκκλησιαστικοῖς προστέθεικε δόγμασιν. οἱ δὲ ταῦτα καταδεξάμενοι ἐκ τῆς τούτου προσηγορίας καὶ τὴν ἐπωνυμίαν ἐδέξαντο· Λουκιφεριανοὶ γὰρ ἐπὶ πλεῖστον 4 ὠνομάζοντο χρόνον. ἀπέσβη δὲ καὶ τοῦτο τὸ δόγμα καὶ παρεδόθη τῇ λήθῃ. ταῦτα μὲν οὖν μετὰ τὴν ἐπάνοδον τῶν ἐπισκόπων ἐγένετο.

Ἰουλιανοῦ δὲ τὴν οἰκείαν ἀσέβειαν ἐκκαλύψαντος, αἱ πόλεις στά- 6 σεων ἐνεπλήσθησαν. ἀναθαρρήσαντες γὰρ οἱ τῇ τῶν εἰδώλων πλάνῃ δεδουλωμένοι ἀνέῳξαν μὲν τοὺς τῶν εἰδώλων σηκούς, τὰς δὲ μυσαρὰς ἐκείνας καὶ λήθης ἀξίας τελετὰς ἐπετέλουν· καὶ ἦπτον μὲν τὸ ἐπιβώμιον πῦρ, τὴν δὲ γῆν τῷ αἵματι τῶν θυμάτων μιαίνοντες ἐμόλυνον κνίσῃ καὶ καπνῷ τὸν ἀέρα. ὑπὸ δὲ τῶν θεραπευομένων βακχευό- 2 μενοι δαιμόνων, λυττῶντες καὶ κορυβαντιῶντες τὰς ἀγυιὰς περιέθεον βωμολοχίαις τε καὶ κωμῳδίαις κατὰ τῶν ἁγίων ἐχρῶντο, καὶ λοιδορίας καὶ πομπείας οὐδὲν εἶδος ἀπῆν. οἱ δὲ τῆς εὐσεβείας θιασῶται, 3 φέρειν τὰς τούτων οὐ δυνάμενοι βλασφημίας, ἀντελοιδοροῦντο καὶ τὴν ὑπ' ἐκείνων πρεσβευομένην διήλεγχον πλάνην. χαλεπαίνοντες 4 δὲ οἱ τῆς ἀσεβείας ἐργάται καὶ θρασύτητος ἐφόδιον ἔχοντες τὴν ἀπὸ

2—6 Theodoret. H. E. V 35 — **7—13** vgl. Rufin. H. E. X 31. Sozomen. V 13, 1—6. Socrat. III 9 — **15—17** vgl. Chronic. Pasch. a. 362 S. 546, 2. Philostorg. VII 1 (Artemii Passio 22) — **16—19** vgl. Sozomen. V 3, 1

* **16—18** Georg. Mon. 539, 14 — **17—19** Theophyl. Bulg. Martyr. XV mart. 10 PG 126, 165 B

B HN (n) + GS (s) = r AL (y) FVR (v)

1 *μακροτάτην* B | **2** *διέμεινεν* > B | *ἔτη διέμεινεν* ∼ s | **3** *τὴν ἀντιοχαίων ἐκκλησίαν* B | **4** *εἰσενέγκασ* ryv | **6** *δὴ*] *δὲ* HSL *δή*, *ἡ* auf Rasur Ac **8** *οὐκ ἐκ τῆς* ∼ B | **10** *σαρδὼ* HS | **12** *καὶ* > BnG, übergeschrieben Ac *ἐδέξαντο*] *εἰλήφασιν* n | **13** *ἀπεσβέσθη* B | **15** *ξ* am Rand HSS | **16** *τῇ* > B | **18** *ἐπετέλουν* Brv Georg. *ἐτέλουν* y *ἐπ* übergeschrieben Ac | **19** *θυμάτων*] *θυομένων* v | **20** *κνήσει* B | **21** *δαίμονεσ* B | *ἀγυὰσ* AGV | **22/23** *λοιδορ|||αισ* B | nach *λοιδορίας* + *τε* r | **24** *οὐ* By *μὴ* rvAc | **25** *ἐξήλεγχον* L

τοῦ κρατοῦντος αὐτοῖς προσγενομένην παρρησίαν, πληγὰς αὐτοῖς ἀνηκέστους ἐπέφερον. ὁ γὰρ παμμίαρος βασιλεύς, δέον προμηθεῖσθαι τῆς τῶν ἀρχομένων εἰρήνης, αὐτὸς τοὺς δήμους κατ᾽ ἀλλήλων ἐξέμηνε. περιεώρα γὰρ τὰ παρὰ τῶν θρασυτέρων κατὰ τῶν ἐπιεικεστέρων τολμώμενα, καὶ τὰς πολιτικὰς δὲ καὶ στρατιωτικὰς ἀρχὰς τοῖς ὠμοτάτοις καὶ δυσσεβεστάτοις ἐπίστευεν, οἳ προφανῶς μὲν θύειν τοὺς τῆς εὐσεβείας ἐραστὰς οὐκ ἠνάγκαζον, πᾶν δ᾽ εἶδος αὐτοῖς ἐπετίθεσαν ἀτιμίας. ἀφείλετο γὰρ καὶ τὰ γέρα τὰ παρὰ τοῦ μεγάλου Κωνσταντίνου τοῖς ἱερωμένοις ἀπονενεμημένα.

Ὁποῖα δὲ οἱ τῇ τῶν εἰδώλων ἀπάτῃ προσδεδεμένοι κατ᾽ ἐκεῖνον ἐτόλμησαν τὸν καιρόν, πάμπολλα μέν ἐστι καὶ συγγραφῆς ἰδίας δεόμενα· ἐγὼ δὲ ὀλίγα ἐκ πολλῶν διηγήσομαι. ἐν Ἀσκάλωνι μὲν γὰρ καὶ Γάζῃ (πόλεις δὲ αὗται τῆς Παλαιστίνης) ἀνδρῶν ἱερωσύνης ἠξιωμένων καὶ γυναικῶν διὰ βίου τὴν παρθενίαν ἐπηγγελμένων ἀναρρήξαντες τὰς γαστέρας, εἶτα κριθῶν ἐμπλήσαντες, προὔθηκαν χοίροις βοράν. ἐν Σεβαστῇ δὲ (καὶ αὕτη δὲ εἰς τὸ προειρημένον ἔθνος τελεῖ) Ἰωάννου τοῦ Βαπτιστοῦ τὴν θήκην ἀνέῳξαν πυρί τε παρέδοσαν τὰ ὀστᾶ καὶ τὴν κόνιν ἐσκέδασαν. τὸ δὲ ἐν Φοινίκῃ τολμηθὲν μύσος πῶς ἄν τις ἀδακρυτὶ διηγήσαιτο; ἐν Ἡλιουπόλει γὰρ τῇ πρὸς τῷ

6—9 vgl. Sozomen. V 5, 1—2. Philostorg. VII 4. Artemii Passio 22 PG 96, 1272 BC. Cod. Theod. XII 1, 50. XIII 1, 4 — **12—16** vgl. Chronic. Pasch. 546, 18. Theophan. 47, 28. Gregor. Nazianz. Orat. IV 87. V 29. Sozomen. V 10, 6 — **16—18** vgl. Philostorg. VII 4. Artemii Passio 57. Chronic. Pasch. 546, 12. Rufin. H. E. XI 28 — **19**—S. 183, 9 vgl. Chronic. Pasch. 546, 21. Theophan. 47, 30

* **10—18** Georg. Mon. 539, 23 — **10**—S. 183, 10 Cass. VI 15. Michael Syr. VII 5, S. 283 — **12** *ἐγὼ* — S. 183, 9 *βλέπειν* Cod. syriac. Brit. Mus. Add. 17, 147 Fol. 156v (= Σ) — **12—16** Polydeukes 372, 20. Synax. 568, 5 u. 31 — **18**—S. 183, 9 Synax. 567, 5 u. 27 — **19**—S. 183, 5 Suidas *Κύριλλος* — **19**—S. 183, 9 Polydeukes 374, 1 — **19**—S. 183, 18 Niceph. H. E. X 9

B HN (n) + GS (s) = r AL (y) FVR (v)

1 *αὐτοῖς*[1] > r | **2** *ἀνηκεστάτους* A | **3** *αὐτὸς*] *αὐτοὺς* n | **6** *δυσσεβεστέροις* y | *ἐπίστευσεν* A | *μὲν* > BG | **7** *ἐραστὰς* ryv *ἐργάτας* B, s. S. 154, 18; 155, 1; 181, 26 | **8** *ἀφείλατο* B | *τὰ*[1] > B | **10** ζ am Rand ryv | **12** *γὰρ* Brv Σ übergeschrieben Ac *οὖν* Cod. Polyd. > y Georg. Cass. | **13** *γάζῃ* Brv Georg. Cod. Polyd. Synax. Z. 32 Cass. *ἐν γάζῃ* y Synax. Z. 5 Σ | **14/15** *ἀναρρήξαντες* Bnyv Georg. Cod. Polyd. *διαρρήξαντες* s | **16** *καὶ αὕτη δὲ* LAcv *καὶ αὐτὴ δὲ* A *καὶ αὐτὴ* B *ἡ καὶ αὐτὴ* r | *προειρημένον* ryv Σ *προγεγραμμένον* B | **17** *τὰ* — **18** *ἐσκέδασαν* übergeschrieben Ac

Λιβάνῳ Κύριλλός τις διάκονος ἦν. οὗτος ἐν τῇ Κωνσταντίνου βασι- 3
λείᾳ ζήλῳ πυρπολούμενος θείῳ πολλὰ τῶν ἐκεῖ προσκυνουμένων
εἰδώλων συνέτριψε. ταύτης μεμνημένοι τῆς πράξεως οἱ δυσώνυμοι
οὐ μόνον αὐτὸν ἀνεῖλον, ἀλλὰ καὶ τὴν γαστέρα τεμόντες τοῦ ἥπατος
ἀπεγεύσαντο. τὸν μέντοι πάντα ἐφορῶντα ὀφθαλμὸν οὐ διέφυγον,
ἀλλ' ἔδοσαν ἀξίας τοῦ τολμήματος δίκας. ὅσοι γὰρ δὴ ἐκείνου τοῦ 4
μύσους μετέλαχον ἐστερήθησαν μὲν τῶν ὀδόντων πάντων κατὰ ταὐτὸν
ἐκπεπτωκότων, ἐστερήθησαν δὲ γλωττῶν· διέρευσαν γὰρ καὶ αὗται
σηπεδόνι περιπεσοῦσαι· ἀφῃρέθησαν δὲ καὶ τὸ βλέπειν καὶ διὰ τῶν
παθημάτων ἐκήρυττον τῆς εὐσεβείας τὴν δύναμιν. ἐν Ἐμέσῃ δὲ τῇ 5
δμόρῳ πόλει Διονύσῳ τῷ γύννιδι τὴν νεόδμητον ἀμίερωσαν ἐκκλησίαν,
τὸ καταγέλαστον καὶ ἀνδρόγυνον ἐν αὐτῇ ἱδρύσαντες ἄγαλμα. ἐν
Δοροστόλῳ δὲ (πόλις δὲ αὕτη τῆς Θρᾴκης ἐπίσημος) Αἰμιλιανὸς ὁ
νικηφόρος ἀγωνιστὴς ὑπὸ Καπετωλίνου τοῦ τῆς Θρᾴκης ἁπάσης
ἄρχοντος παρεδόθη πυρί.

Τὸ δέ γε Μάρκου τοῦ Ἀρεθουσίων ἐπισκόπου δρᾶμα τῆς Αἰσχύλου 6
καὶ Σοφοκλέους μεγαληγορίας δεῖται, ἵν' ἀξίως τὰ ἐκείνου τραγῳ-
δήσωσι πάθη. ἐπειδὴ γὰρ οὗτος ἐν τοῖς Κωνσταντίου καιροῖς εἰδω-

10—12 vgl. Chronic. Pasch. a. 362 S. 547, 6. Theophan. 48, 12 — **12—15** vgl. Chronic. Pasch. a. 363 S. 549, 17. Theophan. 51, 17. Synax. 827, 1. Acta SS Juli IV 373. Hieron. Chron. a. Abr. 2381 — **16**—S. 185, 5 vgl. Gregor. Nazianz. Orat. IV 88—91. Sozomen. V 10, 8—14

* **10—18** Cass. V 16 — **18**—S. 185, 5 Synax. 565, 12 u. 42

B HN (n) + GS (s) = r AL (y) FVR (v)

1 *κωνσταντίνου* BAv Chr. Pasch. Theophan. Suidas Synax. Michael *κωνσταντίου* rL Cass. Σ | **1/2** *βασιλεία* am Rand Ac | **3** *εἰδώλων* > L | **4** *τῆσ γαστέροσ* B | **5** *ὁρῶντα* n | *διέφυγον* Brv *effugere* Cass. *διέλαθον* y | **6** *ἀξίασ* ryv Cass. Σ *ἀξίωσ* B | **7** *πάντων* Bnyv Σ > s Cass. | *καταντὸ* B | **8** *γλωσσῶν* v | *διέρευσαν* By Cass. Σ, vgl. *κατέρρευσε* Chr. Pasch. Theophan. *τῆς γλώττης διαρρεί-σης* Synax. *διέπεσον* rv | *γὰρ* Brv Cass. Σ *τε γὰρ* y | *καὶ* = Cass. Σ > Hy | *αὗται* rA *αὐταὶ* BLv *ipsae* Cass. | **9** *τὸ*] *τοῦ* L | **10** *ἐμέσῃ* B *ἐμίσῃ* n, *Emesa* Cass. | **11** nach *Διονύσῳ* + *γε* B, *γε* fehlt bei Cass. | *γύννιδι* B *gunnidi* Cass. Cod. L *γυνίδι* L Ac *γυναιώδει* r *γυναικώδει* v, s. Gr. aff. cur. S. 91, 10 Raeder | *θεό-δμητον* v, Cass. wie im Text | *ἀφιέρωσεν* A | **12** *τὸ — ἄγαλμα* am Rand Ac | *ἐν αὐτῇ* B *illic* Cass. > ryv | **13** *δε*[1] Byv Cass. > r | *Αἰμιλιανὸς* = Theophan. Synax.] *αἰμηλιανὸσ* BG Acta SS | **14** *καπετωλίου* A | **15** *πυρί* B *igni* Cass. vgl. *πυρὶ παραδοθεὶς* Chr. Pasch. Theophan., *πυρᾶ* ryv | **17** *σοφοκλέωσ* B | *δεῖται μεγαληγορίας* ∾ r | *ἐκείνων* A | **18** *ἐπειδὴ*] *ἐπεὶ* r | *Κωνσταν-τίου* = Gr. Naz. Sozom.] *κωνσταντίου* (*ν* übergeschrieben Ac) A *Κωνσταντίνου* Synax.

λικόν τινα καταλύσας σηκὸν ἐκκλησίαν ἐδείματο, τὸν Ἰουλιανοῦ μεμαθηκότες Ἀρεθούσιοι σκοπὸν ἐγύμνωσαν τὴν δυσμένειαν. ὁ δὲ 7
πρῶτον μὲν ἀποδρᾶναι κατὰ τὸν εὐαγγελικὸν ἐπειράθη νόμον· ἐπειδὴ
δὲ ἔγνω τῶν ὑπ' αὐτὸν ἀντ' αὐτοῦ συνειλῆφθαί τινας, ἐπανῆκέ τε
καὶ ἑαυτὸν τοῖς μιαιφόνοις ἐξέδωκεν. οἱ δὲ λαβόντες οὔτε ᾤκτειραν 8
ὡς πρεσβύτην οὔτε ἠδέσθησαν ὡς ἀρετῆς φροντιστήν. ἀλλὰ καὶ βίῳ
καὶ λόγῳ τὸν ἄνδρα κοσμούμενον πρῶτον μὲν ἠκίσαντο, τὸ σῶμα
γυμνώσαντες καὶ τοῖς μέλεσιν ἅπασιν ἐπιθέντες τὰς μάστιγας· εἶτα
εἰς ὑπονόμους δυσώδεις ἐμβαλόντες κἀκεῖθεν ἀναγαγόντες τῷ πλήθει
τῶν μειρακίων παρέδοσαν, ἀφειδῶς αὐτὸν κατακεντεῖν ταῖς γραφίσι
κελεύσαντες. μετὰ δὲ ταῦτα εἰς γύργαθον ἐμβαλόντες καὶ γάρῳ καὶ
μέλιτι χρίσαντες, ὑπαίθριον ἠώρησαν ἐν θέρους ἀκμῇ, σφῆκας ὁμοῦ
καὶ μελίττας εἰς θοίνην προκαλούμενοι. ταῦτα δὲ ἔδρων. δυοῖν
θάτερον ἀναγκάζοντες, ἢ τὸν σηκὸν τὸν καταλυθέντα δομήσασθαι
ἢ τὴν τῆς οἰκοδομίας ἐκτῖσαι δαπάνην. ὁ δὲ τῶν μὲν χαλεπῶν 9
ἐκείνων παθημάτων ἠνείχετο, δράσειν δὲ τῶν προτεινομένων οὐδὲν
ἐπηγγέλλετο. ἐκεῖνοι δὲ διὰ πενίαν αὐτὸν μὴ παρέχειν ὑπειληφότες
τὰ χρήματα, τὰ μὲν ἡμίση τῶν προταθέντων ἠφίεσαν, τἆλλα δὲ
ἐκτίνειν ἐκέλευον· ὁ δὲ ἐξηρτημένος καὶ ὑπό τε τῶν γραφίδων κεν-
τούμενος ὑπό τε τῶν σφηκῶν καὶ τῶν μελιττῶν ἐσθιόμενος, οὐ
μόνον οὐκ ἐδήλου τὰς ἀλγηδόνας, ἀλλὰ καὶ ἐπετώθαζε τοῖς ἀνοσίοις
καὶ ἔλεγεν αὐτοὺς μὲν εἶναι χαμαιζήλους καὶ περιγείους, ἑαυτὸν δὲ

3 Matth. 10, 23

* **6—13** Suidas *Μάρκος Ἀρεθουσίων* — **13**—185, 3 Cass. VI 12

B HN(n) + GS(s) = r AL(y) FVR(v)

5 *οὔτε*] *οὐκ* B | **5/6** *ὡς πρεσβύτην ᾤκτειραν* ∽ n | **6** *οὔτε*] *οὐδὲ* B *ὡς ἀρετῆς ἠδέσθησαν* ∽ n | *καὶ* > A | **8** *καὶ τοῖς μέλεσιν — μάστιγας*] *πολλὰσ μέλλεσιν ἐπιθέντεσ μάστιγασ* B, vgl. Synax.: *καὶ παντὶ τῷ σώματι πληγὰς ἐπιθέντες* | **10** *κατακεντεῖν* rLv vgl. *κατεκέντουν* Sozom. V 10, 11, *κατακεντᾶν* A *μετακεντεῖν* B *κεντεῖν* Suidas *κεντᾶν* Synax. | **12** *ὑπαίθριον* L Suidas am Rand Ac *ὑπέθριον* B *ἐπαίθριον* HG *ἐπ' αἴθριον* Nv *αἴθριον* S | *ἐώρησαν* BN *ἐώρισαν* G | **13** vor *δυοῖν* + *δρᾶσαι* yv, *δρᾶσαι* fehlt bei Cass. Michael, vgl. S. 239, 17 | **14** *δωμήσασθαι* B | **15** *ἐκτῖσαι*] *ἐκτίσασθαι* s *εἰσ τὸ κτίσαι* B | *μὲν* > B | **16** *παθημάτων ἠνείχετο* ∽ A | *εἴχετο* y, *ἠν* übergeschrieben Ac | *δρᾶσαι* v | **17** *μὴ παρέχειν αὐτὸν διὰ πενίαν* ∽ B | **18** *τὰ μὲν ἡμίση* rLv *τὰ μὲν ἥμισυ* A *μὲν ἡμεῖσ* B | *τἆλλα δὲ* B *τὰ ἄλλα δὲ* y *τὰ δ' ἄλλα* rv | **19** *ἐκτίνειν* Lv *ἐκτείνειν* BA *ἐκτιννύειν* r | **20** *τε* > B | *μελισσῶν* B | **22** *ἐπιγείουσ* A | *αὐτὸν* rv

ὑψηλὸν καὶ μετέωρον. τέλος δὲ βραχύ τι μόριον τῶν χρημάτων 10
ἐξήτησαν· ὁ δὲ ἴσον εἰς ἀσέβειαν ἔφη τὸ ὀβολὸν γοῦν ἕνα δοῦναι τῷ
πάντα δοῦναι. οὕτως ἡττηθέντες ἀπέλυσαν, ὑπεραγασθέντες τὴν
καρτερίαν καὶ διὰ τῶν ἐναντίων εἰς τἀναντία μετατεθέντες. διὰ γὰρ
τῆς ἐκείνου γλώττης μετέμαθον τὴν εὐσέβειαν.

Καὶ ἕτερα δὲ μυρία πανταχοῦ γῆς καὶ θαλάττης κατ' ἐκεῖνον 8
τὸν καιρὸν ὑπὸ τῶν δυσσεβῶν κατὰ τῶν εὐσεβῶν ἐτολμήθη. καὶ
γὰρ προφανῶς λοιπὸν ὁ θεομισὴς κατὰ τῆς εὐσεβείας ἐνομοθέτει.
καὶ πρῶτον μὲν ἀπηγόρευσε τῶν Γαλιλαίων τοὺς παῖδας (οὕτω γὰρ
τοῦ σωτῆρος ἡμῶν τοὺς θιασώτας ὠνόμαζε) ποιητικῶν καὶ ῥητορικῶν
καὶ φιλοσόφων μεταλαγχάνειν λόγων. »τοῖς οἰκείοις γάρ«, φησί, 2
»πτεροῖς κατὰ τὴν παροιμίαν βαλλόμεθα· ἐκ γὰρ τῶν ἡμετέρων
συγγραμμάτων καθοπλιζόμενοι τὸν καθ' ἡμῶν ἀναδέχονται πόλεμον«.
μετὰ τοῦτον ἕτερον τέθεικε νόμον τοὺς Γαλιλαίους κελεύων τῆς
στρατιᾶς ἐξελαύνεσθαι.

Κατὰ τοῦτον τὸν χρόνον Ἀθανάσιος πάλιν ὁ πένταθλος τῆς 9
ἀληθείας ἀγωνιστὴς ἕτερον ὑπέμεινε κίνδυνον. οὐκ ἐνεγκόντες γὰρ
οἱ δαίμονες τῆς Ἀθανασίου γλώττης καὶ προσευχῆς τὴν ἰσχύν, τοὺς
οἰκείους ὑπουργοὺς εἰς τὰς κατ' ἐκείνου λοιδορίας καθώπλισαν. καὶ
πολλὰς μὲν καὶ ἄλλας ἀφῆκαν φωνάς, ἀντιβολοῦντες τὸν προστάτην
τῆς ἀσεβείας ἐξελάσαι τὸν Ἀθανάσιον, προσέθεσαν δὲ καὶ ταύτην·
»εἰ Ἀθανάσιος μένοι, οὐδεὶς Ἕλλην μενεῖ· ἅπαντας γὰρ εἰς τὸν
οἰκεῖον μεταστήσει χορόν«. ταύτας Ἰουλιανὸς τὰς ἱκετείας δεξάμενος 2

9—15 vgl. Socrat. III 12, 7. 13, 1. Rufin. H. E. X 33. Sozomen. V 18, 1. V 17, 12? Gregor. Nazianz. Orat. IV 101—105. Julian. Epist. 42 (423 A). Zonar. XIII 12, 21 S. 61, 14 — **16**—S. 186, 15 vgl. Socrat. III 13, 13. 14, 1—6. Rufin. H. E. X 34—35. Vita Athanas. 26 PG 25 CCVIII B. Photius (258) ebd. 13 CCXXI. Symeon. Vita Athanas. 15. Sozomen. V 15, 1—3

* **6—15** Cass. VI 17 — **10—15** Georg. Mon. 541, 20

B HN (n) + GS (s) = r AL (y) FVR (v)

1 τῶν > y | **2** ἐξητήσαντο B | ἔφη] εἶναι L | **3** ἀπέλυσαν ὑπεραγασθέντες > L | **4** μετατιθέντες A μεταθέντες BG | **5** μετέμαθον ryv Synax. ἔμαθον B | **7/8** καὶ γὰρ: ϗ am Rand HSS | **8** θεομισὴς Bsyv Cass. μισόθεος n | κατὰ τῆς ryv *contra pietatem* Cass. κατὰ τῶν τῆς B | **11** φιλοσόφων ny Georg. *philosophorum disciplinas* Cass. φιλοσοφουμένων Bsv Georg. Cod. P **11/12** φησὶ πτεροῖς ryv Cass. πτεροῖς φησὶν B | **16** ϗ am Rand HSS | καιρὸν s | πάλιν > y, übergeschrieben Ac | **17** ἀληθείας] εὐσεβείας HG | **21** προσέθηκαν n | **22** μένοι B μείνοι ryv | ἑλλήνων B | ἅπαντας γὰρ] ἀλλ' ἅπαντας n | **23** τὰς ἱκετείας Ἰουλιανὸς ~ B

οὐκ ἐξελαθῆναι μόνον προσέταξεν, ἀλλὰ καὶ ἀναιρεθῆναι τὸν Ἀθανάσιον. τῶν δὲ θιασωτῶν ὀρρωδούντων, προειρηκέναι λέγεται τὴν ταχεῖαν τοῦ θορύβου κατάλυσιν· νέφος γὰρ αὐτὸν προσηγόρευσε διαλυόμενον ὅτι τάχιστα. ὑπεχώρησε δὲ ὅμως, ἐληλυθέναι τοὺς 3
ἀπεσταλμένους μεμαθηκώς· καὶ πορθμεῖον εὑρὼν παρὰ τὴν ὄχθην τοῦ ποταμοῦ ἐπὶ τὴν Θηβαίων χώραν ἀνήγετο. ὁ δὲ ἀνελεῖν αὐτὸν προστεταγμένος, πυθόμενος τὴν φυγήν, κατὰ κράτος ἐδίωκεν. ἑτέρου δέ τινος τῶν γνωρίμων προειληφότος καὶ σφύδρα ἐλαύνειν αὐτὸν εἰρηκότος, τινὲς μὲν τῶν συνόντων ἐπὶ τὴν ἔρημον ἐκκλίνειν ἱκέτευον· αὐτὸς δὲ τῷ κυβερνήτῃ ἐπὶ τὴν Ἀλεξάνδρειαν ἰθῦναι τὸ πορθμεῖον ἐκέλευεν. οὕτω δὴ αὐτῶν καταντικρὺ τοῦ διώκοντος φερομένων, 4
ἦκεν ὁ τοῦ θανάτου τὰς ἐντολὰς δεδεγμένος καὶ πόσον ἀφέστηκεν ὁ Ἀθανάσιος ἤρετο. ὁ δὲ πελάζειν τοῦτον εἰπὼν ἐκεῖνον μὲν ἀπέπεμψεν, αὐτὸς δὲ τὴν Ἀλεξάνδρειαν κατέλαβε καὶ τὸ λειπόμενον τῆς Ἰουλιανοῦ βιοτῆς αὐτόθι διέλαθεν.

Ἰουλιανὸς δὲ Πέρσαις ἐπιστρατεῦσαι βουλόμενος εἰς ἅπαντα μὲν 10
τὰ κατὰ τὴν Ῥωμαίων ἡγεμονίαν χρηστήρια τοὺς εὐνουστάτους τῶν ὑπηκόων ἐξέπεμψεν, αὐτὸς δὲ τὸν Πύθιον τὸν Δαφναῖον ἱκέτευε δηλῶσαί οἱ τὰ ἐσόμενα. ὁ δὲ τοὺς γειτονεύοντας νεκροὺς ἔφη ἐμποδὼν γίγνεσθαι τῇ μαντείᾳ, καὶ χρῆναι τούτους πρότερον εἰς ἕτερον μετατεθῆναι χωρίον, εἶθ' οὕτως ἀπαγγεῖλαι τὴν πρόρρησιν· »οὐ γὰρ ἂν εἴποιμί τι, μὴ τοῦ τεμένους ἐκκαθαρθέντος«. κατ' ἐκεῖνον δὲ 2
τὸν καιρὸν αὐτόθι κατέκειτο τοῦ καλλινίκου μάρτυρος Βαβυλᾶ καὶ τῶν συναθλησάντων αὐτῷ μειρακίων τὰ λείψανα· καὶ δῆλος ἦν ὁ ψευδόμαντις ὑπὸ τῆς ἐκείνου χάριτος τῆς συνήθους ψευδολογίας

1 vgl. Julian. Epist. 6 u. 26. Gregor. Nazianz. Orat. XXI 32 — **16**—S. 188, 5 vgl. Rufin. H. E. X 36—37. Socrat. III 18. 19, 3—9. Sozomen. V 19, 1, 16—19. 20, 1—4. Philostorg. VII 8. Artemii Passio 53 u. 55. Joh. Chrys. De S. Hierom. Babyla 2—3. De S. Babyla c. Julian. 15—16. Zonar. XIII 12, 38 f. S. 64, 12 — **18**—S. 188, 9 vgl. Theodoret. Gr. aff. cur. X 47—48

* **16**—S. 187, 7 Cass. VI 31 — **22**—S. 188, 5 Synax. 254, 54

B HN (n) + GS (s) = r AL (y) FVR [R bis **1** *οὐκ ἐξε*] (v)

2 *προ*//*ειρηκέναι* A | **4** *δὲ* > B | **5** *παρὰ*] *κατὰ* B | *ὄχθαν* A **7** *πυθόμενος* > y, am Rand Ac | **8** *τῶν* > B | **10** *ἰθύνειν* B | **11** *ἐκέλευσεν* v *ἱκέτευεν* NG | *καταντικρὺς* s *καταντικροῖς* B | **13** *ἐπηρώτη* H *ἐπηρώτησεν* N | **15** *βιότητος* nF | **16** *ī* am Rand HSS | **18** nach *Πύθιον* + *καὶ* L | **19** *οἱ*] *αὐτῷ* rv | *ἔφη νεκροὺς* ∾ B | **20** *γενέσθαι* y in *γίνεσθαι* corr. Ac | **21** *ἐπαγγεῖλαι* HSv | *πρόσρησιν* B | **23** *κατέκειντο* y | *βαβύλα* rv | **25** *ἐκείνου* (*ου* auf Rasur Ac) A *ἐκείνων* H

εἰργόμενος. τοῦτο δὴ καὶ Ἰουλιανὸς συνεὶς (ἐκ γὰρ τῆς παλαιᾶς εὐσεβείας ἐγνώκει τῶν μαρτύρων τὴν δύναμιν) ἄλλο μὲν ἐκεῖθεν οὐδὲν νεκρὸν μετεκόμισε σῶμα, μόνων δὲ τῶν νικηφόρων μαρτύρων τὰ λείψανα τοῖς τοῦ Χριστοῦ θιασώταις μετενεγκεῖν παρηγγύησεν. οἱ δὲ ἅσμενοι τὸ ἄλσος καταλαβόντες καὶ ἐπὶ ζεύγους τεθεικότες τὴν λάρνακα, πανδημεὶ ταύτης ἡγοῦντο, χορεύοντες καὶ τὴν Δαυϊτικὴν ᾄδοντες μελῳδίαν καὶ καθ' ἕκαστον κῶλον ἐπιφθεγγόμενοι· »αἰσχυνθήτωσαν πάντες οἱ προσκυνοῦντες τοῖς γλυπτοῖς«. ἦτταν γὰρ τοῦ δαίμονος ὑπελάμβανον τοῦ μάρτυρος τὴν μετάθεσιν. 3

Ἰουλιανὸς δὲ τὴν ἐντεῦθεν αὐτῷ προσγενομένην αἰσχύνην οὐκ 11
ἐνεγκὼν τῇ ὑστεραίᾳ τοὺς τῆς χορείας ἐκείνης ἡγεμόνας συλληφθῆναι προσέταξε. Σαλούστιος δὲ ὕπαρχος ὢν τηνικαῦτα, καίτοι τῇ δυσσεβείᾳ δουλεύων, πεῖσαι τὸν τύραννον ἐπειράθη δόξης ἐφιεμένοις τοῖς Χριστιανοῖς μὴ παρασχεῖν τὸ ποθούμενον. ἰδὼν δὲ ὅμως τὸν 2
βασιλέα ἐγκρατῆ γενέσθαι τοῦ θυμοῦ μὴ δυνάμενον, νέον τινὰ ζήλῳ θείῳ κοσμούμενον βαδίζοντα κατὰ τὴν ἀγορὰν ἁρπάσας καὶ δημοσίᾳ τοῦτον ἐπὶ ξύλου κρεμάσας, ἱμᾶσι μὲν τὰ νῶτα κατέξηνεν, ὄνυξι δὲ διώρυξε τὰς πλευράς· καὶ τοῦτο ποιῶν διετέλεσεν ἕωθεν ἀρξάμενος μέχρι ληγούσης ἡμέρας. εἶτα αὐτῷ τὰ ἐκ σιδήρου δεσμὰ περιθεὶς φυλαχθῆναι προσέταξε. ταῦτα ἕωθεν τὸν Ἰουλιανὸν διδάξας καὶ 3
τοῦ νέου τὴν καρτερίαν ἀπαγγείλας, ἑαυτῶν μὲν ἧττταν εἶναι, τῶν δὲ Χριστιανῶν εὔκλειαν ἔλεγε τὰ γινόμενα. οὕτω πεισθεὶς ὁ θεομισὴς ταῦτα παθεῖν ἑτέρους οὐκ εἴασε, καὶ μέντοι καὶ τὸν Θεόδωρον ἐκέλευσε τῆς εἱρκτῆς ἀφεθῆναι· τοῦτο γὰρ ἦν ὄνομα τῷ νέῳ ἐκείνῳ καὶ γενναίῳ τῆς ἀληθείας ἀγωνιστῇ. τοῦτον ἤροντό τινες εἰ τῆς ὀδύνης ἐπήσθετο τὰς πικρὰς ἐκείνας καὶ ὠμοτάτας ὑπομείνας βασά-

7/8 Psal. 96, 7

B V² [von **15** *νέον* an] HN (n) + GS (s = r AL (y) FV [V bis **15** *δνάμενον*] (v)

2 *ἄλλο*] *ἀλλ' ὁ* B *ἄλλων* r | **2 3** *οὐδὲν ἐκεῖθεν* ∼ BF | **3** *οὐδὲ* A | *νεκρὸν* > r | *μόνον* A | *μαρτύρων* Lm | **4** *παρεγγύησεν* BA, *η* über *εγ* geschrieben Ac | **5** *ἀσμένως* rv | *καὶ* > H, übergeschrieben Ac | **8** *ἧττταν* — **9** *μετάθεσιν* am Rand Ac | **10** *ιᾱ* am Rand HSS | *προσγενομένην* AV *προσγεναμένην* B *προσγινομένην* rF *γενομένην* L | **13** *ἐπειράθη*] *ἠβουλήθη* r | **14** *τοῖς* > B | *ἰδὼν*] *εἰδὼς* B | **15/16** *θείῳ ζήλῳ* ∼ L | **16** *θείῳ* > A | **17** *κατέξηνεν* BsF *κατέξαινεν* V² *κατέξανεν* ny | **18** *ἀρξάμενος ἕωθεν* ∼ B | **19** *τὰ* > y, übergeschrieben Ac | **21** *εἶναι* > H | **22** + *εἶναι* nach *εὔκλειαν* V²H, nach *ἔλεγεν* N | *τὰ γινόμενα ἔλεγε* ∼ H | **25** *ἠρώτων* B | **26** *ὠμοτάτους* s | *ὑπομείνας* BryF Synax. *ὑπομένων* V²

νους. ὁ δὲ ἔφη τὴν μὲν ἀρχὴν ὀλίγης ἀλγηδόνος αἰσθέσθαι, εἶτά οἱ ἐπιφανῆναί τινα ὀθόνῃ μαλακῇ τε καὶ ψυχρᾷ τοῦ προσώπου συνεχῶς ἐκματτόμενον τὸν ἱδρῶτα καὶ παρεγγυῶντα θαρρεῖν· διά τοι τοῦτο καὶ τῶν δημίων παυσαμένων οὐχ ἡσθῆναι ἀλλ' ἀνιαθῆναι ἔφη· συναποστῆναι γὰρ ἔλεγεν καὶ τὸν τὴν ψυχαγωγίαν προσφέροντα.

Ὁ δὲ ψευδόμαντις δαίμων τοῦ μὲν μάρτυρος τὸ κλέος ἐπηύξησε. **4** τὸ δὲ οἰκεῖον ἐγύμνωσε ψεῦδος. σκηπτὸς γὰρ οὐρανόθεν καταπεμφθεὶς τὸν σηκὸν ἐνέπρησεν ἅπαντα καὶ αὐτὸ τοῦ Πυθίου τὸ ἄγαλμα κόνιν λεπτοτάτην ἀπέφηνε· ξύλινον γὰρ ἦν, ἔξωθεν ἀληλιμμένον χρυσῷ. τοῦτο Ἰουλιανὸς ὁ Ἰουλιανοῦ θεῖος νύκτωρ μαθὼν (τῆς Ἑῴας δὲ **5** ὕπαρχος ἦν) κατὰ τάχος ἐλαύνων τὴν Δάφνην κατέλαβεν, ἐπικουρῆσαι σπουδάζων τῷ παρ' αὐτῶν προσκυνουμένῳ θεῷ. ἰδὼν δὲ τὸν καλούμενον θεὸν κόνιν γεγενημένον, τοὺς νεωκόρους ἠκίζετο, παρὰ Χριστιανοῦ τινος τὸν ἐμπρησμὸν γεγενῆσθαι τοπάζων. οἱ δὲ καὶ αἰκιζόμενοι φάναι τι ψευδὲς οὐκ ἠνέσχοντο· τὸν γὰρ ἐμπρησμὸν ἔλεγον οὐ κάτωθεν ἀλλ' ἄνωθεν λαβεῖν τὴν ἀρχήν, καὶ τῶν πλησιοχώρων δὲ ἀγροίκων τινὲς ἀφικόμενοι ἔφασαν οὐρανόθεν τὸν πρηστῆρα φερόμενον τεθεᾶσθαι.

Ἀλλὰ καὶ ταῦτα οὕτως γεγενῆσθαι μεμαθηκότες οἱ δυσσεβεῖς **12** κατὰ τοῦ θεοῦ τῶν ὅλων ὡπλίζοντο· καὶ τά τε ἱερὰ σκεύη τοῖς βασιλικοῖς ταμιείοις ὁ τύραννος παραδοθῆναι προσέταξε καὶ τῆς μεγάλης ἐκκλησίας, ἣν Κωνσταντῖνος ἐδείματο, καθηλώσας τὰς θύρας ἄβατον τοῖς εἰς αὐτὴν ἀθροιζομένοις ἀπέφηνεν. οἱ δὲ τῆς Ἀρείου συμμορίας ταύτην τηνικαῦτα κατεῖχον.

6—18 vgl. Sozomen. V 20, 5—6. Philostorg. VII 8. Artemii Passio 56 u. 52. Zonar. XIII 12, 42 f. S. 64, 18 — **6**—S. 190, 7 vgl. Theophan. 50, 2 — **7—9** vgl. Joh. Chrys. De S. Babyla c. Julian. 17 — **20—23** vgl. Artemii Passio 23 u. 57. Zonar. XIII 12, 43 S. 65, 3. Sozom. V 8, 1. Amm. Marcell. 22, 13, 3

* **6—18** Cass. VI, 31 — **16**—S. 190, 7 Niceph. H. E. X 29 — **20**—S. 190, 7 Cass. VI 32

B V^2 HN (n) + GSP [P von **21** *ὁ τύραννος* an] (s) = r AL (y) F

1 nach *ὀλίγης* + *τινὸς* B, vgl. *ὀλίγης ὀδύνης αἰσθέσθαι* Synax. | *οἱ* V^2y *μοι* rF *αὐτῷ* Synax. > B | **3** *ἐκματτόμενον* V^2ryF Synax. *ἐκμάττοντα* B | *διά* = Synax.] *καὶ διά* B | **5** *ἔλεγεν* BV^2rF Synax. *ἔφη* y | **8** *τοῦ Πυθίου τὸ*] *τὸ πυθίον* L *τοῦ πυθίου* A | **9** *ἀληλιμμένον* Gaisford *ἀλληλειμένον*, *ει* auf Rasur, V^2 *ἀλλειλημμένον* A *ἀλληλι*//*μμένον* A^r *ἀλλειλιμμένον* L *ἠλιμμένον* BF *ἠλειμμένον* n *εἰλημμένον* G *εἰλιγμένον* S | **11** *ἦν*] *ὢν* V^2 | **13** *γεγενημένον*, *o* auf Rasur A **14** *τὸν ἐμπρησμὸν* > r, *hoc* Cass. | *καὶ* > sy, übergeschrieben A^c | **16** *δὲ* > V^2 | **19** *ιβ* am Rand HSS | **20** *τε* > B | **21** *ταμείοις* BsA, vgl. V 29 **23** *αὐτὴν*] *ταύτην* V^2 | **23 24** *συμμορίας Ἀρείου* ~ V^2

Ἰουλιανῷ δέ γε τῷ τῆς Ἐφας ὑπάρχῳ συνεισῆλθεν εἰς τὸν θεῖον 2 [γ']
νεὼν Φίλιξ μέν, ταμίας ὢν τῶν βασιλικῶν θησαυρῶν. Ἐλπίδιος δέ,
τῶν ἰδίων τοῦ βασιλέως χρημάτων τε καὶ κτημάτων τὴν ἡγεμονίαν
πεπιστευμένος· κόμητα δὲ πριβάτων τὸν τοιοῦτον Ῥωμαῖοι προσα-
γορεύειν εἰώθασιν. καὶ τὸν Φίλικα δὲ καὶ τὸν Ἐλπίδιόν φασι Χρι- 3
στιανοὺς ὄντας ἀποστῆναι τῆς εὐσεβείας, χαριζομένους τῷ δυσσεβεῖ
βασιλεῖ. ὁ δὲ Ἰουλιανὸς οὖρον μὲν κατὰ τῆς ἱερᾶς τραπέζης ἐξέκρινε,
τὸν δὲ Εὐζῴϊον πειραθέντα κωλῦσαι κατὰ τῆς κόρρης ἐπάταξε·
φάναι δὲ λέγεται ὡς ἔρημα τὰ Χριστιανῶν τῆς θείας ὑπάρχει κηδε-
μονίας. ὁ δὲ Φίλιξ τῶν ἱερῶν σκευῶν τὴν πολυτέλειαν θεασάμενος 4
(Κωνσταντῖνος γὰρ καὶ Κωνστάντιος φιλοτίμως ταῦτα κατεσκεύασαν)·
»ἰδού«, ἔφη, »ἐν ὁποίοις σκεύεσιν ὑπηρετεῖται ὁ Μαρίας υἱός«.

Ἀλλὰ τῶν δυσσεβῶν τούτων καὶ μανικῶν τολμημάτων οὐκ εἰς 13
μακρὰν ἔτισαν δίκας. Ἰουλιανὸς μὲν γὰρ παραυτίκα νόσῳ χαλεπῇ
περιπεσὼν ὑπὸ σηπεδόνος διεφθάρη τὰ ἔγκατα, καὶ τὴν κόπρον οὐκέτι
διὰ τῶν ἀποκριτικῶν μορίων παρέπεμπεν, ἀλλὰ τὸ μυσαρὸν στόμα,
τὸ τῆς βλασφημίας γενόμενον ὄργανον, ἀποκρίσεως ἐγένετο μόριον.
φασὶ δὲ αὐτοῦ τὴν γυναῖκα πίστει λαμπρυνομένην ταῦτα φάναι πρὸς 2
τὸν ὁμόζυγα· »ὑμνεῖν, ὦ ἄνερ, προσήκει τὸν σωτῆρα Χριστόν, ὅτι
σοι διὰ τῆς παιδείας τὴν οἰκείαν ὑπέδειξε δύναμιν· οὐ γὰρ ἂν ἔγνως
τίς ὁ παρὰ σοῦ πολεμούμενος, εἰ τῇ συνήθει μακροθυμίᾳ χρησάμενος
ταύτας σοι τὰς θηλάτους πληγὰς οὐκ ἐπήγαγεν«. ἐκ τῶνδε τῶν 3
λόγων καὶ τῶν ἐπικειμένων παθῶν συνεὶς τῆς νόσου τὴν αἰτίαν

1—S. 190, 8 vgl. Philostorg. VII 10. Sozomen. V 8, 2 f. Joh. Chrys. De S. Babyla c. Julian. 17. De laud. S. Pauli Homil. IV S. 492 E. Bickell, Gedichte des Ephräm, Zeitschr. f. kath. Theol. II 351 (1878). Amm. Marcell. 23, 1, 4—5

* **14—17** vgl. Theophyl. Bulg. Martyr. XV mart. 13 PG 126, 169 C?

B V² HN (n) + GSP (s) = r AL (y) F

1 *ιγ* am Rand H²S | *γε* > Bn | *ἐπάρχω* V² | *συνῆλθεν* A | **2** *φίλιξ* V²rF *φίληξ* L *φήλιξ* BP^{c} *φήληξ* A | **4** *κόμιτα* BV² | *πριβάτον* n *περιονατῶν* B **4/5** *ῥωμαῖοι προσαγορεύειν εἰώθασιν* BV² *προσαγορεύειν εἰώθασι ῥωμαῖοι* y *ῥωμαῖοι προσαγορεύουσιν* rF | **5** *φίλικα* nGSF *φίληκα* V²L *φήλικα* BP *φήληκα* A | **6** *δυσσεβεῖ* > AF, am Rand A^{c} | **8** *κόῤῥησ* V² *κόρησ* BSF | **9** *ὡς ἔρημα τὰ*] *κατὰ* P | *τὰ* BV²y *τὰ τῶν* rF | **10** *φίλιξ*] wie Z. 5 | **11** vor *ταῦτα* + *δὴ* V² | **12** *ποίοις* rF | **14** *ἔτισαν* BryF Cass. *ἔτισεν* V² | *γὰρ* übergeschrieben A^{c} | **16** *ἀποκριτικῶν*] *κριτικῶν* B | **17** *ἀποκρίσεως*] *ἐκκρίσεως* V²L | nach *ἀποκρίσεως* + *κόπρον* r, Nic. Cass. wie im Text | **19** *τὸν σωτῆρα Χριστὸν προσήκει* ∾ A | **20** *οὐ* BV²rF Cass. *οὐδὲ* y | **22** *τῶνδε*] *τούτων δὲ* V² **23** *τῶν* > P | *τὴν αἰτίαν* — 190, 1 *τοῖς* — Cass. > B

ὁ δείλαιος ἀποδοῦναι τὴν ἐκκλησίαν τὸν βασιλέα ἱκέτευσε τοῖς ταύτης ἐστερημένοις· ἀλλ᾽ οὔτε ἐκεῖνον ἔπεισε καὶ αὐτὸς τοῦ βίου τὸ τέλος ἐδέξατο. ὁ δὲ Φίλιξ ἐξαπίνης θεήλατον καὶ αὐτὸς δεξάμενος μάστιγα αἷμα πανημέριόν τε καὶ παννύχιον ἐκ τοῦ στόματος ἔφερε, τῶν ἀγγείων τοῦ σώματος πάντοθεν εἰς τοῦτο συρρεόντων τὸ μόριον. οὕτω δὲ παντὸς δαπανηθέντος τοῦ αἵματος, ἀπέσβη καὶ οὗτος καὶ τῷ αἰωνίῳ παρεπέμφθη θανάτῳ. οὗτοι μὲν οὖν τῆς δυσσεβείας ταύτας ἔτισαν τὰς δίκας.

Νέος δέ τις ἱερέως υἱὸς ἐν δυσσεβείᾳ τραφεὶς κατ᾽ ἐκεῖνον τὸν καιρὸν εἰς τὸν τῶν εὐσεβῶν μετέστη χορόν. γυνὴ γάρ τις ἐπίσημος ἐν εὐλαβείᾳ καὶ τοῦ τῆς διακονίας ἠξιωμένη χαρίσματος συνήθης ἦν τῆς τούτου μητρός. αὕτη τοῦτον μετὰ τῆς μητρὸς ἀφικνούμενον (ἔτι γὰρ μειρακύλλιον ἦν) ἡσπάζετό τε καὶ προὔτρεπεν εἰς εὐσέβειαν. καὶ τῆς μητρὸς δὲ τελευτησάσης, ἀφικνεῖτο πρὸς ταύτην ὁ νέος καὶ τῆς συνήθους διδασκαλίας ἀπήλαυε· παγίως δὲ τὰς συμβουλὰς εἰσδεξάμενος ἤρετο τὴν διδάσκαλον τίς ἂν γένοιτο πόρος δι᾽ οὗ δυνατὸν καὶ τὴν τοῦ πατρὸς δεισιδαιμονίαν φυγεῖν καὶ τῆς παρ᾽ αὐτῶν κηρυττομένης ἀληθείας μεταλαχεῖν. ἡ δὲ ἔλεγεν χρῆναι τὸν πατέρα φυγεῖν καὶ προτιμῆσαι τὸν αὐτοῦ τε κἀκείνου δημιουργόν, καὶ πόλιν ἑτέραν καταλαβεῖν ἐν ᾗ λαθεῖν δυνατὸν καὶ διαδρᾶναι τοῦ δυσσεβοῦς βασιλέως τὰς χεῖρας· ὑπισχνεῖτο δὲ τούτου προνοήσειν αὐτή. »ἀτάρ«,

* **7**—S. 192, 12 Cass. VI 33 — **9**—S. 192, 14 Synax. 181, 18

B V² HN (n) + GSP (s) = r AL (y) F

1 *ἱκέτευε* H *rogabat* Cass. | *ταύτην* P | **2** *ἐστερημένος* B | *ἐκεῖνον ἔπεισε* = Cass.] *ἐκεῖνος ἐπίσθη* B | *αὐτὸς* = *ipse* Cass.] *οὕτως* B | **3** *φίλιξ* r *φίληξ* V²LF *φήλιξ* B *φήληξ* A | *καὶ αὐτὸς θεήλατον* ~ V²HL | *δεξάμενος*] *ἐδέξατο* P | *μάστιγα δεξάμενος* ~ L | **5** *σώματος*] *στόματος* B | **6** *δὲ*] *δὴ* V² | *ἀπεσβέσθη* B | *καὶ*¹ > P | *οὗτος*] *αὐτὸς* r *ipse* Cass. | **7** *παρεπέμφθη*] *παρεδόθη* GS | *θανάτῳ* = Cass.] *πυρί* n | **8** *ταύτης* V² | *τὰς* BP > V²nGSyF | **9** am Rand *ιδ* HSS | *ἱερέως υἱὸς* = Synax. Cass.] *ἱερέως υς εἰδωλικοῦ* A | **10** *εὐσεβῶν* = Synax. > *εὐσεβούντων* A | **11** *ἐν* = Synax. > BP | vor *καὶ* + *δι᾽ ἧν* S, dann *ἠξιώθη* GS | *ἠξιωμένη, μένη* auf Rasur A^{c} | **12** *αὕτη — μητρὸς* > V²GS, *τοῦτον οὖν* am Rand V² | **13** *μειρακίριλλιον, κίρι* auf Rasur A^{c} | **14** *τελευσάσης* A | **15** *ἀπέλαυε, έ* auf Rasur V² **16** *πόρος*] *προσ* B *τρόπος* P | **17** *παρ᾽ αὐτῶν*] *παραυτὴ* B, vgl. *παρὰ σοῦ* Synax., *παρ᾽ αὐτῆς* Ausgaben | **18** *μεταλαχεῖν* = Synax.] *μετασχεῖν* B Synax. Cod. Mv *ἔλεγεν* BV²rF *dixit* Cass. *λέγει* y | **20** *ἡ λαθεῖν* am Rand A^{c} | *δυνατὸν λαθεῖν* ~ B | **21** *προνοήσειν — ἀτάρ*] *προνοῆσαι αὕτη ἀ* (*ἀ* gestrichen) *γὰρ* B

ἔφη ὁ νέος, »ἥξω λοιπὸν καὶ τὴν ἐμαυτοῦ σοι παραδώσω ψυχήν«. ὀλίγων δὲ διελθουσῶν ἡμερῶν, Ἰουλιανὸς μὲν εἰς τὴν Δάφνην δημοθοινίαν ἐπιτελέσων ἀνῆλθε· συνανῆλθε δὲ καὶ ὁ τούτου πατήρ, ἱερεύς τε ὢν καὶ εἰωθὼς συνέπεσθαι τῷ βασιλεῖ· τῷ δὲ πατρὶ συνῆν καὶ οὗτος καὶ ὁ τούτου γε ἀδελφός· νεωκόρῳ γὰρ ἦστην, τὰ βασιλέως ἐδέσματα περιρραίνοντες. ἑπτὰ δὲ ἡμέρας ἐν τῇ Δάφνῃ πανηγυρίζειν εἰώθεσαν.

Τῇ οὖν ἡμέρᾳ τῇ πρώτῃ παραστὰς οὗτος τῇ βασιλέως στιβάδι καὶ τὰ ὄψα κατὰ τὸ ἔθος διαρράνας καὶ τοῦ μύσους ἐμπλήσας, δρόμῳ χρησάμενος τὴν Ἀντιόχου πόλιν κατέλαβε, καὶ πρὸς τὴν θαυμασίαν ἐκείνην ἀφικόμενος ἄνθρωπον· »ἐγὼ μὲν ἥκω σοι«, ἔφη, »μὴ ψευσάμενος τὴν ὑπόσχεσιν· σὺ δὲ σωτηρίας ἑκατέρας ἐπιμελήθητι καὶ τὴν ἐπαγγελίαν ἐκπλήρωσον«. παραυτίκα δὴ οὖν ἐκείνη διαναστᾶσα πρὸς τὸν τοῦ θεοῦ ἄνθρωπον Μελέτιον τὸν νέον ἀπήγαγεν· ὁ δὲ τέως αὐτὸν ἄνω διάγειν ἐν τῷ καταγωγίῳ προσέταξεν. ὁ δὲ πατὴρ τὸν παῖδα ἐπιζητῶν τήν τε Δάφνην περιενόστει καὶ εἰς τὸ ἄστυ ἀφικόμενος περιῄει τὰς ἀγυιὰς καὶ τοὺς στενωπούς, πάντοσε περιάγων τὸ ὀφθαλμῶ καὶ τοῦτον ἀνιχνεῦσαι ποθῶν. ἐπειδὴ δὲ κατ' ἐκεῖνο τὸ χωρίον ἐγένετο ἔνθα τὸ καταγώγιον ὁ θεῖος εἶχε Μελέτιος, ἀναβλέψας εἶδεν ἐκεῖνον ἀπὸ τοῦ δρυφάκτου διακύπτοντα καὶ δραμὼν εἵλκυσέ τε καὶ κατήγαγε, καὶ εἰς τὴν οἰκίαν ἀπαγαγὼν πρῶτον μὲν αὐτῷ μάστιγας παμπόλλας ἐπήγαγεν, εἶτα ὀβελοὺς πυρακτώσας καὶ ταῖς χερσὶ καὶ τοῖς ποσὶ καὶ τοῖς νώτοις ἐπέθηκεν, ἔπειτα καθείρξας ἐν τῷ θαλάμῳ καὶ κλεῖθρα ἔξωθεν ἐπιθεὶς εἰς τὴν Δάφνην ἀνῆλθε. ταῦτα ἐγὼ τοῦ ἀνδρὸς πρεσβύτου ἤδη γεγονότος διηγουμένου ἀκήκοα. προστέθεικε δὲ καὶ ταῦτα, ὡς ἔνθους γενόμενος καὶ θείας χάριτος ἐμπλησθεὶς συνέτριψε μὲν ἅπαντα τοῦ πατρὸς τὰ

B V² HN (n) + GSP (s) = r AL (y) F

1 *ὁ νέος ἥξω λοιπὸν*] *ἔξω λοιπὸν ὁ νέος* V² | **2** *πλάνην* B *δάφνην* Bᶜ **3** *συνανῆλθε δὲ*] *συνῆλθέ τε* F | **4** *συνέπεσθαι* BV²rF Synax. *ἕπεσθαι* y *sequi* Cass. | **5** *νεωκόρω γὰρ ἦστην* V²ny *νεωκόροι γὰρ ἦστην* s *νεωκόροι γὰρ ἦσαν* BF Synax. | **6** *περιραίνοντες* BP | **7** *εἰώθεσαν* BV²y Cass. *εἰώθασιν* rF **9** *διαράνας* BsF | **10** *πόλιν* BP Synax. Cass. > V²nGSyF, s. 180, 24 | **11** *ἔφη* = Synax. Cass.] *ὡσ ἔφην* F | **13** *δὴ οὖν*] *δὲ* F | **14** *ὁ δὲ* — **15** *προσέταξεν* am Rand Aᶜ | **16** *τὸ* > BV² | **17** *περιείη* BA | *πανταχόσε* B *πάντοθεν* Synax. **19** *εἶχεν ὁ θεῖος* ~ rF Synax. | **22** *αὐτῷ* BV²y Cass. > rF | *παμπόλλας* BV²L *παμπόλλουσ* AP *πολλὰσ* nGSF *multis* Cass. | *ὀβελοὺσ* BV²y *obolos* Cass. *ὀβελίσκουσ* rFAᶜSynax. | **25** *ἀνῆλθε* = Synax.] *ἀπῆλθεν* V²P | *ἀνδρὸσ πρεσβύτου ἤδη γεγονότοσ* V²nGSyF Cass. Synax. *ἀνδρὸσ τούτου πρεσβύτου γεγονοτοσ ἤδη* BP

εἴδωλα, ἐκωμῴδει δὲ αὐτῶν τὴν ἀσθένειαν· ὕστερον δὲ εἰς νοῦν λαβὼν ὅπερ ἔδρασεν, ἔδεισέ τε τοῦ πατρὸς τὴν παρουσίαν καὶ τὸν δεσπότην Χριστὸν ἠντιβόλησε νεῦσαι καὶ συντρῖψαι τὰ κλεῖθρα καὶ τὰς θύρας ἀναπετάσαι· »σοῦ γὰρ δὴ ἕνεκα«, ἔφη, »ταῦτα πέπονθά τε καὶ δέδρακα. ταῦτά μου«, ἔφη, »λέγοντος, ἐξέπεσε μὲν τὰ κλεῖθρα, ἀνεῴχθησαν δὲ αἱ θύραι· ἐγὼ δὲ πάλιν πρὸς τὴν διδάσκαλον ἔδραμον. ἡ δὲ σχῆμά μοι γυναικὸς περιθεῖσα καὶ σὺν αὐτῇ γε εἰς τὴν καμάραν καθίσασα τῷ θείῳ με πάλιν Μελετίῳ προσήγαγεν. ὁ δὲ τῷ τῶν Ἱεροσολύμων με παρέδωκεν ἐπισκόπῳ (Κύριλλος δὲ τηνικαῦτα ἦν), καὶ οὕτω νύκτωρ εἰς τὴν Παλαιστίνην ὥρμησαμεν«. μετὰ δὲ τὴν Ἰουλιανοῦ τελευτὴν καὶ τὸν πατέρα οὗτος πρὸς τὴν ἀλήθειαν ἐποδήγησε· καὶ τοῦτο γὰρ ἡμᾶς μετὰ τῶν ἄλλων ἐδίδαξε. τοῦτον μὲν δὴ τὸν τρόπον οὗτοι πρὸς θεογνωσίαν ποδηγηθέντες τῆς σωτηρίας μετέλαχον.

Ἰουλιανὸς δὲ παρρησιέστερον, μᾶλλον δὲ ἀναιδέστερον, κατὰ τῆς εὐσεβείας ὡπλίζετο, τὸ μὲν τῆς ἐπιεικείας περικείμενος προσωπεῖον, πάγας δὲ κατασκευάζων καὶ θήρατρα πρὸς τὸν τῆς ἀσεβείας ὄλεθρον τοὺς ἐξαπατωμένους ἀγρεύοντα. πρῶτον μὲν γὰρ τὰς ἐν τῷ ἄστει καὶ τὰς ἐν Δάφνῃ πηγὰς ταῖς μυσαραῖς θυσίαις ἐμόλυνεν ἵν' ἕκαστος ἀπολαύων τοῦ νάματος μεταλαγχάνῃ τοῦ μύσους. ἔπειτα δὲ καὶ τὰ κατὰ τὴν ἀγορὰν προκείμενα τοῦ μιάσματος ἐνεπίμπλα· περιερραίνοντο γὰρ καὶ ἄρτοι καὶ κρέα καὶ ὀπῶραι καὶ λάχανα καὶ τἄλλα

21—S. 193, 1 vgl. Nectarius De festo S. Theodori PG 39, 1829 B

* **15**—S. 193, 5 Georg. Mon. 540, 19 — **15**—194, 10 Niceph. H. E. X 12 — **15**—S. 194, 12 Cass. VI 34 — **19**—S. 193, 1 Theophyl. Bulg. Martyr. XV mart. 14 PG 126, 169 C

B V² HN (n) + GSP [P bis **20** *μύσους*] (s) = r AL (y) F

1 *ἐκωμῴδει* BryF Synax. *ἐκωμῴδησε* V² | **2** *τὴν τοῦ πατρὸς* ∼ y | **5** *μου* = Synax. > B | *ἐξέπεσαν* y *ἐξέπεσον* Synax. | **8** *Μελετίῳ πάλιν* ∼ V², Synax. wie im Text | **9** *τῶν* > V²L | *παραδέδωκεν* HF | **11** *οὗτος* = Synax. Cass.] *αὐτὸς* B | *πρὸς*] *εἰς* P | **13** *οὗτοι*] *αὐτοὶ* B | *πρὸς*] *πρὸς τὴν* V² | **15** *ιε* am Rand HSS | *παρρησιέστερον* BV²LF am Rand Aᶜ *παρρησιαίτερον* rNic. | *δὲ*² übergeschrieben Aᶜ | *ἀνεδέστερον* A | **16** *εὐσεβείας* BV²yF Nic. Georg. Cass. *ἀληθείας* r | *τὸ μὲν τῆς*] *τῆς μὲν* auf Rasur Aᶜ | *προσωπεῖον, εἶον* auf Rasur Aᶜ *πρόσωπον* B | **18** *μὲν* gestrichen A | **20** *μεταλαγχάνει* BGF in *μεταλαγχάνῃ* corr. P | *τοῦ μύσους* vor *μεταλαγχάνῃ* ∼ n *ἔπειτα δὲ* = Georg.] *ἐπειδὴ δὲ* B, *cumque . . . complerisset* Cass. | **21** *ἐνεπίμπλα* V²y *ἐνεπίμπλη* BNs *ἐνεπίπλη* HF | **21/22** *περιερραίνοντο* BHFS | **22** *ὀπῶραι* = Georg.] *ὀπῶρα* B | **22 f** *τἄλλα ὅσα* BV²rF Georg. *ὅσα ἄλλα* y

ὅσα ἐδώδιμα. ταῦτα ὁρῶντες οἱ τῆς τοῦ σεσωκότος προσηγορίας 3
τετυχηκότες ἔστενον μὲν καὶ ὠλοφύροντο βδελυττόμενοι τὰ γινόμενα,
μετελάμβανον δὲ ὅμως ἀποστολικῷ πειθόμενοι νόμῳ· »πᾶν γάρ«,
φησί, »τὸ ἐν μακέλλῳ πωλούμενον ἐσθίετε, μηδὲν ἀνακρί-
νοντες διὰ τὴν συνείδησιν«.

Δύο δέ τινες ἐν στρατείᾳ διαπρέποντες (ἀσπιδηφόροι γὰρ ἦσαν 4
καὶ βασιλέως πεζέταιροι) ἔν τινι συμποσίῳ θερμότερον τῶν γιγνο-
μένων τὸ μύσος ἐθρήνησαν καὶ τοῖς θαυμασίοις τῶν ἐν Βαβυλῶνι
διαπρεψάντων μειρακίων ἐχρήσαντο ῥήμασι· »παρέδωκας γὰρ
ἡμᾶς«, ἔλεγον, »βασιλεῖ παρανόμῳ ἀποστάτῃ παρὰ πάντα τὰ
ἔθνη τὰ ὄντα ἐπὶ τῆς γῆς«. ταῦτά τις τῶν ὁμοτραπέζων ἐκείνῳ 5
μεμήνυκεν. ὁ δὲ παραυτίκα γε ἀγαγὼν τοὺς ἀρίστους ἄνδρας ἐκείνους
ἐπυνθάνετο τίνα εἴη τὰ εἰρημένα. οἱ δὲ παρρησίας ἀφορμὴν ὑπειλη-
φότες τὴν τοῦ βασιλέως ἐρώτησιν, τὸν ἀξιέπαινον παραθήξαντες
ζῆλον, εἶπον τοιάδε· »ἐν εὐσεβείᾳ τραφέντες, ὦ βασιλεῦ, καὶ νόμοις
ἀξιεπαίνοις δεδουλευκότες (Κωνσταντίνου γὰρ καὶ τῶν ἐκείνου παίδων
ἦσαν οἱ νόμοι), ὀλοφυρόμεθα νῦν μύσους ἅπαντα πεπληρωμένα θεώ-
μενοι καὶ ταῖς ἐναγέσι θυσίαις καὶ τὰ βρώματα καὶ τὰ πόματα μο-
λυνόμενα. ταῦτα καὶ οἴκοι τεθρηνήκαμεν καὶ σοῦ παρόντος ἀπο- 6
δυρόμεθα· τοῦτο γὰρ δὴ μόνον τῆς σῆς δυσχεραίνομεν βασιλείας«.
τούτων ἀκούσας τῶν λόγων ὁ πραότατος καὶ φιλοσοφώτατος παρὰ
τῶν ἐκείνῳ προσομοίων ὀνομαζόμενος τὸ μὲν τῆς ἐπιεικείας ἀπεδύ-
σατο προσωπεῖον, τὸ δὲ τῆς δυσσεβείας ἐγύμνωσε πρόσωπον. καὶ 7

3/5 I Kor. 10, 25 — **7 8** u. **11/12** vgl. Joh. Chrys. In Iuvent. et Maxim. 2 — **10/11** Daniel 3, 32 (Gebet des Azarias 8)

* **6**—S. 194, 2 Synax. 121, 29 — **7**—S. 194, 8 Michael Syr. VII 5 S. 287

B V² HN (n) + GS (s) = r AL (y) F

2 *γενόμενα* L, vgl. *ἐπὶ τοῖς γινομένοις* Georg. | **4** *τὸ ἐν μακέλλω φησὶ* n *μηδὲν* — **5** *συνείδησιν* = Nic. Georg. Cass. > n | **6** *διαπρέψαντες* y, in *διαπρέποντες* corr. Ac | **7** *πεζέτεροι* V²G *πεζαίτεροι* n | **9** *μειρακίων* > L | *ἐκέχρηντο* r, *usi sunt* Cass. | **11** *ἐκείνῳ* r *τῷ βασιλεῖ* Nic. *imperatori* Cass. = Michael *ἐκείνων* BV²yF | **12** *γε* am Rand V² > H | *ἄνδρας ἐκείνους* V²syF *ἐκείνους ἄνδρας* BnNic. | **13** *τίνα* V²yF *τί ἄν* Br *quid locuti fuissent* Cass. *τίνα ἄν* Nic. | **14** *τοῦ* > n | **18** *καὶ*² > y Cass. | *βρώματα* By *βρωτὰ* V²rF | *τὰ*² > n *πόματα* y *πώματα* B *ποτὰ* V²rF | **20** *δὴ* > y, übergeschrieben Ac | *δυσχεραίνομεν τῆς σῆς* ∾ s | **22** *ἐκείνου* A, *ω* übergeschrieben Ac | vor *ὀνομαζόμενος* + *οὕτως* yF, Cass. wie im Text, s. S. 197, 8 | **23** *προσωπεῖον*] *πρόσωπον* A, *πεῖον* übergeschrieben Ac

πικρὰς αὐτοῖς καὶ χαλεπὰς αἰκίας ἐπιθεῖναι κελεύσας, ἐστέρησε μὲν τῆς παρούσης ζωῆς, μᾶλλον δὲ ἠλευθέρωσεν ἐκείνου τοῦ δυστήνου καιροῦ καὶ τοὺς νικηφόρους στεφάνους προὐξένησεν. αἰτίαν δὲ τῇ 8
τιμωρίᾳ συνήρμοσεν, οὐ τὴν εὐσέβειαν ὑπὲρ ἧς ἀνῃρέθησαν, ἀλλὰ
τὴν παροινίαν· ὡς βασιλέα γὰρ ὑβρικότας ἔφησε τιμωρήσασθαι. ταῦτα
δὲ θρυλεῖσθαι προσέταξε, φθονῶν τοῖς τῆς ἀληθείας ἀθληταῖς τῆς
τῶν μαρτύρων προσηγορίας τε καὶ τιμῆς. τούτων ὁ μὲν Ἰοβεντῖνος, 9
ὁ δὲ Μαξιμῖνος προσηγορεύετο. τούτους ἡ Ἀντιόχου πόλις ὡς ἀγω-
νιστὰς εὐσεβείας τιμήσασα πολυτελεῖ παραδέδωκε θήκῃ, καὶ μέχρι δὲ
τήμερον ἐτησίῳ δημοθοινίᾳ γεραίρονται.

Καὶ ἄλλοι δὲ τῶν ἐν τέλει καὶ ἀξιωτάτων παραπλησίῳ παρρησίᾳ 16
χρησάμενοι τῶν ἴσων στεφάνων ἀπήλαυσαν. καὶ γὰρ Βαλεντινιανὸς
ἐκεῖνος ὁ μικρὸν ὕστερον βασιλεύσας (χιλίαρχος δὲ ἦν τηνικαῦτα τῶν
περὶ τὰ βασίλεια τεταγμένων λογχοφόρων ἡγούμενος) ὃν εἶχεν ὑπὲρ
τῆς εὐσεβείας οὐκ ἀπέκρυψε ζῆλον. ὁ μὲν γὰρ ἐμβρόντητος ἐκεῖνος 2
εἰς τὸ τῆς Τύχης τέμενος εἰσῄει χορεύων, ἑκατέρωθεν δὲ τῶν θυρῶν
εἱστήκεισαν νεωκόροι περιρραντηρίοις τοὺς εἰσιόντας προκαθαίροντες
ὡς ἐνόμιζον ἐπειδὴ δὲ τοῦ βασιλέως ἡγούμενος τῇ χλανίδι ῥανίδα 3
πελάσασαν εἶδεν Βαλεντινιανός, ὁ βασιλείας ἑκατέρας τούτου χάριν
τετυχηκώς, πὺξ ἔπαισε τὸν νεωκόρον, μεμολύνθαι φήσας, οὐ κεκαθάρ-

3—8 vgl. Joh. Chrys. ebd. 3. Malal. S. 327, 15 — **12**—S. 195, 2 vgl. Sozomen. VI 6, 4—6

* **12**—S. 195, 7 Cass. VI 35

B V² HN (n) + GS (s) = r AL (y) F

2 *τοῦ δυστήνου* am Rand Ac | **3** *στεφάνους* am Rand Ac | **5** *γὰρ βασιλέα* ∼ n | **6** *φθονῶν*] *βασκαίνων* r | **7** *τε* > rF | *Ἰωβεντῖνος* A *Ἰουβεντῖνος* S Nic. Synax. Chrysost. Mal. *Iuventius* Cass. | **8** *Μαξιμῖνος* = Nic. Cass. Chrysost.] *μαξιμιανὸς* s Mal. *Μάξιμος* Synax. Michael | *προσηγορεύοντο* B *προσαγορεύεται* s | *τούτους*] *τούτων, ων* auf Rasur, B | **11** *ιζ* am Rand BA | *καὶ*[1] = Cass. > B | *ἀξιωτάτων* BA *ἀξιωμάτων* V²NsLF und, *μ* über *τά* geschrieben, Ac *ἀξιώμ̄* H; vgl. Cass.: *plurimi nobilium et dignitate fulgentium*; s. Wortregister | **11/12** *χρησάμενοι παρρησίᾳ* ∼ y | **12** *ἀπέλαυσαν*, *ε* auf Rasur, V² | *καὶ γὰρ ιζ* am Rand sF | **12** und **19** *οὐαλεντινιανὸς* A, *οὐ* auf Rasur Ac | **14** *ὃν*] *οὗτος ὃν* B, *is zelum quem* Cass. | **15** *οὐκ ἀπέκρυψε* V²nLF *οὐ κατέκρυψε* sA *κατέκρυψεν* B | *ἐκεῖνος* = Cass.] *ἐκεῖνος βασιλεὺς* B | **16** *τῆς* ≻ V², übergeschrieben Ac *εἰσῄει*] *ἐπισείη* B | *ἐγχορεύων* V² | *ἑκατέρων* y | **17** *ἑστήκεσαν* B *εἱστήκεσαν* V² | *περιραντηρίοις* BGF *περιρραντίοις* A | *περικαθαίροντες* B **18** *ἡγούμενοι* V² | **19** *πελάσαν* B | *ὁ*] *τῆς* B | *χάριν τούτου* ∼ rF | **20** *μεμολύσθαι* V²s | **20 f** *οὐκ ἐκκαθάρθαι* B

θαι. θεασάμενος δὲ τὸ γεγονὸς ὁ ἐξάγιστος εἰς φρούριον αὐτὸν παρὰ
τὴν ἔρημον κείμενον ἐξέπεμψεν, αὐτόθι διάγειν προστεταχώς. ἀλλ' 4
ἐκεῖνος μὲν ἐνιαυτοῦ καὶ μηνῶν διεληλυθότων ὀλίγων μισθὸν τῆς
ὁμολογίας τὴν βασιλείαν ἐδέξατο. οὐ γὰρ μόνον ἐν ἐκείνῳ τῷ βίῳ 5
τοὺς τῶν θείων ἐπιμελουμένους ὁ δίκαιος γεραίρει κριτής, ἀλλ'
ἔστιν ὅτε καὶ παραυτίκα τῶν ἀγαθῶν πόνων ὀρέγει τὰς ἀντιδόσεις,
ταῖς ἄρτι χορηγουμέναις δωρεαῖς τὰς ἐλπιζομένας πιστούμενος.

Ὁ δὲ τύραννος καὶ ἕτερον κατὰ τῆς εὐσεβείας ἐξεῦρε μηχάνημα. 6 [ιζ'
τοῖς γὰρ στρατιωτικοῖς καταλόγοις κατὰ τὸ παλαιὸν ἔθος διανέμων
χρυσίον, καθῆστο μὲν αὐτὸς ἐπὶ θρόνου βασιλικοῦ, προὔθηκε δὲ παρὰ
τὸ ἔθος βωμὸν ἀνθράκων πλήρη, καὶ λιβανωτὸν ἐπί τινος τραπέζης
παρέθηκε. προσέταξε δὲ τῶν τὸ χρυσίον κομιζομένων ἕκαστον 7
πρότερον ἐπιβαλεῖν τῷ βωμῷ τὸν λιβανωτόν, εἶτα τὸ χρυσίον παρὰ
τῆς αὐτοῦ κομίσασθαι δεξιᾶς. τήνδε τὴν πάγην οἱ πλεῖστοι μὲν
ἠγνόησαν παντελῶς· οἱ δὲ προμεμαθηκότες, σκηψάμενοι νόσον, τὴν
χαλεπὴν ἐκείνην διέφυγον θήραν· ἄλλοι δὲ τῶν χρημάτων ὀρεγόμενοι
τῆς σφετέρας κατωλιγώρησαν σωτηρίας· ἕτεροι δὲ δειλίᾳ προὔδωκαν
τὴν εὐσέβειαν.

Μετὰ μέντοι τὴν ὀλεθρίαν ἐκείνην τῶν χρημάτων διανομὴν ἔν 17
τινι συσσιτίῳ τινὲς τῶν τὸ χρυσίον εἰληφότων κατὰ ταὐτὸν εἱστιῶντο.
τούτων εἷς φιάλην δεξάμενος οὐ πρότερον ἔπιε πρὶν ἢ τὴν σωτή-
ριον ἐπιθεῖναι σφραγίδα. τινὸς δὲ τῶν συσσίτων ἐπιμεμψαμένου 2
καὶ φήσαντος ἐναντίον εἶναι τοῦτο τῷ πρὸ βραχέως γεγενημένῳ,
ἤρετο ἐκεῖνος τί τῶν ὑπ' αὐτοῦ πεπραγμένων κέκληκεν ἐναντίον.
ὁ δὲ τοῦ βωμοῦ καὶ τοῦ λιβανωτοῦ καὶ τῆς ἀρνήσεως τῆς γεγενη-

1/2 vgl. Philostorg. VII 7. Chronic. Pasch. a. 363 S. 549, 9. Theophan. 51, 10 — **2—7** vgl. Rufin. H. E. XI 2, 1002, 14 — **8**—S. 196, 11 vgl. Sozomen. V 17, 8—11. Gregor. Nazianz. Orat. IV 81—84

* **8—14** Georg. Mon. 541, 1

B V² HN (n) + GS (s) = r AL (y) F

1 ἐξάγιστος] ἐναγέστατος B | **5** ἐπιμελομένους An | **7** δωρεαῖς übergeschrieben Ac | πιστούμενος > F | **8** ιζ am Rand HSS | **10** καθῆστο BV² Georg. ἐκάθητο r ἐκάθιτο F ἐκαθέσθη y | **12** τὸ Bs | **13** πρότερον ryF Georg. πρῶτον BV² | ἐπιβάλλειν B Georg. | **14** κομίζεσθαι V² | δεξιᾶς κομίσασθαι ~ s | τὴν > y, übergeschrieben Ac | **15** σκεψάμενοι B | **20** κατὰ ταὐτὸν] καταυτὸν B | **21** πρὶν ἢ BV² πρὶν ryF | **23** τοῦ — γεγενημένου y | βραχέως Br βραχέος y o auf Rasur V²F | **25 f** ἀρνήσεως τῆς γεγενημένης sy ἀρνήσεως γεγενημένης V² ἀρνήσεως τῆς γεναμένης B γενομένης ἀρνήσεως n

μένης ἀνέμνησε· ταῦτα γὰρ τῆς Χριστιανικῆς ὁμολογίας ἀντίπαλα. τούτων ἀκούσαντες τῶν ἑστιωμένων οἱ πλείους ἀνωλόλυξάν τε καὶ 3 ὠλοφύραντο, καὶ πολλὰς τῶν κεφαλῶν ἀποτίλαντες τρίχας ἐξανέστησάν τε τοῦ συμποσίου καὶ διὰ τῆς ἀγορᾶς θέοντες Χριστιανοί τε εἶναι ἐβόων καὶ βασιλικοῖς παρακεκροῦσθαι τεχνάσμασι καὶ παλινῳδίαν ᾄδειν καὶ τὴν ἐξ ἀγνοίας συμβᾶσαν ἧτταν ἀναπαλαίειν. μετὰ 4 τούτων θέοντες τῶν βοῶν κατέλαβον τὰ βασίλεια, τῶν τοῦ τυράννου σοφισμάτων κατηγοροῦντες καὶ πυρὶ παραδοθῆναι παρακαλοῦντες, ἵνα πυρὶ μιανθέντες διὰ πυρὸς ἑτέρου τὴν κάθαρσιν δέξωνται. ταῦτα καὶ ὅσα τούτοις προσόμοια παρ᾽ ἐκείνων λεγόμενα ἐξέμηνε τὸν τοῦ ἁλιτηρίου θυμόν. καὶ πρῶτον μὲν αὐτῶν τὰς κεφαλὰς ἀποτμηθῆναι 5 προσέταξεν. ἀπαγομένων δὲ αὐτῶν ἔξω τοῦ ἄστεως, ἠκολούθει τὸ τῆς πόλεως πλῆθος, ἀγάμενον αὐτοὺς τῆς εὐψυχίας καὶ τὴν ὑπὲρ τῆς εὐσεβείας παρρησίαν θαυμάζον. ἐπειδὴ δὲ τὸ χωρίον ἐκεῖνο 6 κατέλαβον ἔνθα τοὺς κακούργους κολάζειν εἰώθασιν, ἐλιπάρησε τὸν δήμιον ὁ τῶν ἄλλων πρεσβύτερος, τοῦ πάντων αὐτῶν νεωτάτου πρῶτον τὴν κεφαλὴν ἐκτεμεῖν, ἵνα μὴ τῶν ἄλλων θεασάμενος τὴν σφαγὴν τὴν δειλίαν εἰσδέξηται. ἐπειδὴ δὲ ὁ μὲν ἐπέθηκε τῷ δαπέδῳ 7 τὰ γόνατα, ὁ δὲ τὸ ξίφος ἐγύμνωσεν, ἧκέ τις μηνύων τὴν ἄφεσιν καὶ βοῇ κωλύων πόρρωθεν τὴν ἀναίρεσιν. τότε ὁ νεώτατος τὴν τῆς σφαγῆς δυσχεράνας ἀπαλλαγήν· »οὐκ ἦν ἄρα«, ἔφη, »Ῥωμανὸς ἄξιος μάρτυς κληθῆναι Χριστοῦ«. τοῦτο γὰρ ἦν αὐτῷ ὄνομα. ἀλλὰ 8 τὴν μὲν σφαγὴν ὁ κακομήχανος ἐκεῖνος ἐκώλυσε, φθόνῳ βαλλόμενος καὶ τῆς εὐκλείας βασκαίνων τοῖς ἀθληταῖς, οὐκ εἴασε δὲ ὅμως

21 vgl. Amm. Marcell. 22, 11, 2? — **22**—S. 197, 2 vgl. Sozomen. V 17, 12. Gregor. Nazianz. Orat. IV 84

* **9**—S. 197, 2 Cass. VI 30

B V² HN (n) + GSP [P von **23** *τὴν μὲν* an] (s) = r AL (y) F

1 nach *ἀντίπαλά* + *φησι* y | **3** *ὠλοφύροντο* BV²A, *α* über *ρον* geschrieben A^{c} | *ἀποτίλλαντεσ* nLF *ἀποτείλλαντεσ* B | **4** *τε* > y | **5** *ἀνεβόων* L *τεχνάσμασι, τεχνάσ* auf Rasur A^{c} | **6** *ἀνακαλεύειν* L *ἀναπαλαίειν, παλαί* auf Rasur A^{c} | **7** *τοῦ* > A | **8** *κατηγοροῦντεσ* BV²L *καταβοῶντεσ* A (aber *αβοῶν* /// auf Rasur A^{c}) rF | *καὶ πυρὶ — παρακαλοῦντεσ* > y, am Rand A^{c} | **12** *ἄστεωσ* BV²G *ἄστεοσ* nSyF | **13** *εὐψυχίας*] *εὐσεβείασ* s | **14** *θαυμάζον* y *ἐθαύμαζον* BV² *θαυμάζοντεσ* rF | *ἐκεῖνο* > L Cass. | **15** *εἰώθασιν* BV²y *solent* Cass. *εἰώθεσαν* rFA^{c} | **16** *ὁ* > y, übergeschrieben A^{c} | *αὐτοῦ*^{ῶν} A | **17** *πρώτου* F | **20** *νεώτεροσ* L | vor *τὴν*² + *ὁ* ausradiert A | **21** *ἦν*] *ἂν* B | **22** *ἄξιος* > s | *κληθῆναι μάρτυσ* ~ r | *τοῦ χῦ* s | *τὸ ὄνομα* s **23** *κακότεχνοσ* y

αὐτοὺς τὰς πόλεις οἰκεῖν, ἀλλ' εἰς τὰς ἐσχατιὰς τῆς Ῥωμαίων ἡγεμονίας ἐξέπεμψε.

Καὶ Ἀρτέμιον δέ (στρατηγὸς δὲ οὗτος τῶν ἐν Αἰγύπτῳ στρατιωτῶν ἐγεγόνει), ἐπειδὴ πλεῖστα τῶν εἰδώλων συνέτριψε τὴν ἀρχὴν ἐκείνην ἐν τοῖς Κωνσταντίου χρόνοις λαχών, οὐ μόνον τῶν ὄντων ἐγύμνωσεν ἀλλὰ καὶ τῆς κεφαλῆς τὸ λοιπὸν ἐστέρησε σῶμα. ταῦτα καὶ τὰ τοιαῦτα δέδρακεν ὁ πραότατος καὶ ὀργῆς ἐγκρατέστατος παρὰ τῶν δυσσεβούντων ὀνομαζόμενος. ἐγὼ δὲ καὶ γυναικὸς ἀρίστης ἀξιέπαινον διήγημα προσθήσω τῇ συγγραφῇ· κατεφρόνησαν γὰρ τῆς τούτου λύττης καὶ γυναῖκες τῷ θείῳ ζήλῳ καθωπλισμέναι.

Πουπλία τις ἦν κατ' ἐκεῖνον τὸν χρόνον ὀνομαστοτάτη καὶ πολυθρύλητος ἐκ τῶν τῆς ἀρετῆς κατορθωμάτων γεγενημένη. αὕτη καὶ τοῦ γάμου τὸν ζυγὸν πρὸς ὀλίγον δεξαμένη καιρόν, καρπὸν ἀξιάγαστον τῷ θεῷ προσενήνοχεν. Ἰωάννης γάρ, ὁ τῶν ἐν Ἀντιοχείᾳ πρεσβυτέρων ἐπὶ πλεῖστον ἡγησάμενος χρόνον καὶ πολλάκις μὲν τῆς ἀποστολικῆς προεδρίας τὰς ψήφους δεξάμενος, ἀεὶ δὲ τήνδε τὴν ἡγεμονίαν φυγών, ἐξ ἐκείνης τῆς θαυμασίας ἀρούρας ἐβλάστησεν. αὕτη χορὸν ἔχουσα παρθένων τὴν διὰ βίου παρθενίαν ἐπηγγελμένων ἀεὶ μὲν ὕμνει τὸν πεποιηκότα καὶ σεσωκότα θεόν, τοῦ δὲ βασιλέως παριόντος γεγωνότερον κοινῇ ἔψαλλον, εὐκαταφρόνητον ἡγούμεναι καὶ καταγέλαστον τὸν ἀλάστορα. ἦδον δὲ μάλιστα ἐκεῖνα τὰ ᾄσματα ἃ τῶν εἰδώλων κωμῳδεῖ τὴν ἀσθένειαν, καὶ μετὰ τοῦ Δαβὶδ ἔλεγον· »τὰ εἴδωλα τῶν ἐθνῶν ἀργύριον καὶ χρυσίον, ἔργα χειρῶν ἀνθρώπων«. καὶ μετὰ τὴν τῆς ἀναισθησίας διήγησιν ἔλεγον·

18 19

3—6 vgl. Chronic. Pasch. a. 363 S. 549, 12. Theophan. 51, 14. Zonar. XIII, 12, 44 S. 65, 4. Cedren. I 537, 4. Artemii Passio 36 f. Synax. 151, 13 — **23/24** Psal. 113, 12 (134, 15) — **24** vgl. Psal. 113, 13—15 (134, 16 f.)

* **3**—S. 198, 14 Niceph. H. E. X 11 — **3**—S. 198, 16 Cass VI 36 — **11**—S. 198, 13 Synax. 123, 1

B V² HN (n) + GSP (s) = r AL (y) F

3 ιη am Rand HSS | **3/4** *στρατιῶν* B | **5** *κωνσταντίου* V²HA Nic. Cass. Chr. Pasch. Theophan. Cedren. Artem. Pass. *κωνσταντίνου* BNsLFSynax. | *καιροῖσ* V² | **8** ιθ am Rand GSF | *δὲ* BPyF *δέ γε* V²nGS | *γυναικῶν* A | **9** *ἀξιέπαινον* > V² | *προθήσω* V² | **9/10** *καὶ γυναῖκες* vor *τῆς τούτου* ∾ P | **11** ιθ am Rand BV²P | *πο//πλία* V² | *ὀνομαστὴ* B, *nominatissima* Cass. | **13** *καὶ* > B | *γάμου*] *νόμου* n | **14** *Ἰωάννης*] am Rand *τὸν χρυσόστομον λέγει* SP, unrichtig | **15** *ἐπὶ* > P | **16** *τήνδε* > V²GPF Synax. | **19** *καὶ σεσωκότα* am Rand Ac | **20** *γεγονώτερον* BV² | **24** *καὶ μετὰ — ἔλεγον*] *καὶ μετὰ τὴν τῆσ ἀναισθησίασ ἔλεγον* P, aber *καὶ μετὰ τὴν τῆσ* expungiert und *καὶ περὶ τῆσ ἀναισθησίασ αὐτῶν* am Rand Pc > GS Nic.; vgl. *et iterum* Cass.

»ὅμοιοι αὐτοῖς γένοιντο οἱ ποιοῦντες αὐτὰ καὶ πάντες οἱ πεποιθότες ἐπ' αὐτοῖς«. τούτων ἀκούσας ἐκεῖνος καὶ λίαν ἀνιαθεὶς σιγᾶν αὐταῖς προσέταξε κατὰ τὸν τῆς παρόδου καιρόν. ἡ δὲ μικρὸν τῶν ἐκείνου νόμων φροντίσασα, πλείονος τὸν χορὸν προθυμίας ἐνέπλησε, καὶ πάλιν ἐκείνου διώντος ψάλλειν ἐκέλευσεν· »ἀναστήτω ὁ θεὸς καὶ διασκορπισθήτωσαν οἱ ἐχθροὶ αὐτοῦ«. ὁ δὲ χαλεπήνας τοῦ χοροῦ τὴν διδάσκαλον ἀχθῆναι προσέταξε. καὶ γῆρας ἰδὼν αἰδοῦς ἀξιώτατον, οὔτε τοῦ σώματος τὴν πολιὰν ᾤκτειρεν οὔτε τὴν τῆς ψυχῆς τετίμηκεν ἀρετήν, ἀλλά τισι τῶν δορυφόρων ἐκέλευσεν ἐπὶ κόρρης αὐτὴν ἑκατέρας παῖσαι καὶ ταῖς χερσὶ φοινίξαι τὰς παρειάς. ἡ δὲ ὡς ἄκραν τιμὴν δεξαμένη τὴν ἀτιμίαν ἀνελήλυθε μὲν εἰς τὸ δωμάτιον, συνήθως δὲ αὐτὸν ταῖς πνευματικαῖς ἔβαλλε μελῳδίαις, καθάπερ ὁ τῆς μελῳδίας ἐκείνης συγγραφεὺς καὶ διδάσκαλος τὸ πονηρὸν ἐκεῖνο κατέπαυε πνεῦμα τὸ τῷ Σαοὺλ ἐνοχλοῦν.

Καὶ γὰρ οὗτος τοὺς ἀλάστορας εἰσοικισάμενος δαίμονας, κορυβαντιῶν διετέλει καὶ κατὰ τῆς εὐσεβείας λυττῶν. διὰ γὰρ δὴ τοῦτο καὶ τοὺς Ἰουδαίους κατὰ τῶν εἰς Χριστὸν πεπιστευκότων καθώπλισεν. καὶ πρῶτον μὲν αὐτοὺς συναλίσας ἤρετο τί δή ποτε τοῦ νόμου θύειν κελεύοντος ταῖς θυσίαις οὐ χρῶνται· ἐπειδὴ δὲ ἔφασαν ἐνὶ τόπῳ τὴν σφετέραν περιγεγράφθαι λατρείαν, παραυτίκα προσέταξεν ὁ θεομισὴς ἀνεγεῖραι τὸν καταλυθέντα νεών, τὴν δεσποτικὴν ὑπολαμβάνων

1/2 Psal. 113, 16 (134, 18) — **6** Psal. 67, 2 — **14** I Sam. 16, 23 — **16**—S. 200, 5 vgl. Rufin. H. E. X 38—40. Socrat. III 20. Sozomen. V 22, 4—13. Gregor. Nazianz. Orat. V 3—4 u. 6—7. Joh. Chrys. De S. Babyla c. Julian. 22 — **20/21** Julian. bei Lydus De mens. IV 53. vgl. Julian. S. 295 C. 397 D — **20**—S. 199, 20 vgl. Philostorg. VII 9. Artemii Passio 68. Theophan. 51, 28. Cedren. I 537, 9. Zonar. XIII 12, 24 S. 62, 5. Amm. Marcell. 23, 1, 2 f.

* **16**—S. 200, 6 Cass. VI 43 — **16**—S. 200, 15 Georg. Mon. 543, 8

B V^2 HN (n) + GSP (s) = r AL (y) F

1 *αὐτοῖς*] *αὐτῶν* GS | nach *γένοιντο* + *πάντες* F + Rasur von 6 Buchst. V^2 | **2** *ἐπ'*] *ἐν* P | **3** *αὐτὰς* B | **5** *ἐκέλευεν* nGS | **6** *καὶ — αὐτοῦ*] *καὶ τὰ ἑξῆς τῆς ᾠδῆς* N | *οἱ ἐχθροὶ αὐτοῦ* > H | **8** *τοῦ σώματος* = Cass. > L | **9** *τισι* = Cass.] *τινι, ν* auf Rasur, A | **10** *ἐκέλευσεν* = Synax.] *προσέταξεν* B | *κόρης* B | **12** *μὲν* > B | *συνήθως δὲ*] *καὶ συνήθως* B | *αὐτὸν* = Cass.] *αὐτῶν* B | **12/13** *ἔβαλλε μελῳδίαις*] *ἔβαλεν ὑμνῳδίαις* P | **14** *κατέπαυε* BV²nPF am Rand Ac *κατέπαυσεν* GSL *effugaverat* Cass. > A | **16** *καὶ*¹ > B | *διὰ*: $\bar{\text{κ}}$ am Rand HSS | **17** *κατὰ τῶν εἰσ* (+ *τὸν* V²) *χ̄ν̄ πεπιστευκότων καθώπλισεν* BV² *κατ' αὐτῶν* (////////////// *τῶν* P) *καθώπλισεν* (*καθώπλησεν* P) *τῶν εἰσ τὸν* (*τὸν* > Py) *χ̄ν̄ πεπιστευκότων* ryF, bei Cass. Georg. Wortfolge wie im Text | **18** *αὐτοὺς* > A Cass. | **20** *περιγράφεσθαι* B, vgl. *περιγεγραμμένην* Georg. | **21** *ναόν* y Georg.

ὁ μάταιος πρόρρησιν διελέγχειν. ἔδειξε δὲ μᾶλλον τὴν ταύτης ἀλή- 2
θειαν. τούτων γὰρ ἐκεῖνοι τῶν λόγων ἀσπασίως ἀκούσαντες ἅπασι
τὰ προστεταγμένα τοῖς κατὰ τὴν οἰκουμένην ὁμοφύλοις ἐδήλωσαν. οἱ
δὲ πάντοθεν συνέθεον, καὶ χρήματα καὶ προθυμίαν εἰς τὴν οἰκοδο-
μίαν εἰσφέροντες. ἐχορήγησε δὲ ὅτι πλεῖστα καὶ ὁ τοῦτο προστετα- 3
χώς, οὐ φιλοτιμίᾳ χρώμενος ἀλλὰ τῇ ἀληθείᾳ μαχόμενος. συναπέστειλε
δὲ καὶ ἄρχοντα, τῶν δυσσεβῶν προσταγμάτων ἄξιον ὑπουργόν. φασὶ
δὲ αὐτοὺς καὶ σκαπάνας ἐξ ὕλης ἀργύρου καὶ ἅμας καὶ κοφινίδας
κατασκευάσαι.

Ἐπειδὴ δὲ ὀρύττειν ἤρξαντο καὶ τὸν χοῦν ἐκφορεῖν, πανημέριον 4
μὲν τοῦτο ἔδρων μυριάδες πολλαί. νύκτωρ δὲ ὁ χοῦς αὐτόματος ἀπὸ
τῆς φάραγγος μετετίθετο. κατέλυσαν δὲ καὶ αὐτὰ τῆς οἰκοδομίας τὰ
λείψανα, νεόδμητα πάντα κατασκευάσειν ἐλπίσαντες. ἐπειδὴ δὲ καὶ 5
γύψου καὶ τιτάνου πολλὰς μεδίμνων συνήθροισαν μυριάδας, ἐξαπίνης
ἄνεμοι βίαιοι πνεύσαντες καὶ στρόβιλοι καὶ καταιγίδες καὶ λαίλαπες
πάσας ἀθρόως ἐσκέδασαν. ἔτι δὲ μεμηνότων ἐκείνων καὶ τῇ μακρο-
θυμίᾳ τῇ θείᾳ μὴ σωφρονιζομένων, πρῶτον μὲν σεισμὸς ἐγένετο
μέγιστος καὶ τοὺς παντελῶς ἀμνήτους τῶν θείων ἱκανὸς καταπλῆ-
ξαι. ἐπειδὴ δὲ οὐκ ἔδεισαν, πῦρ ἐκ τῶν ὀρυττομένων ἀναδραμὸν
θεμελίων πλείστους μὲν τῶν ὀρυττόντων ἐνέπρησε, τοὺς δὲ ἄλλους
ἐσκέδασε. καὶ νύκτωρ δὲ παμπόλλων ἔν τινι πελαζούσῃ καθευδόν- 6
των στοᾷ, κατηνέχθη μὲν ἀθρόως σὺν τῷ ὀρόφῳ τὸ οἰκοδόμημα,
τοὺς δὲ καθεύδοντας συνέχωσεν ἅπαντας. κατὰ δὲ τὴν αὐτὴν νύκτα 7
καὶ αὖ πάλιν τῇ ὑστεραίᾳ ὤφθη ἐν τῷ οὐρανῷ τοῦ σωτηρίου στα-
ροῦ τὸ σχῆμα φωτοειδές· καὶ αὐτὰ δὲ τὰ τῶν Ἰουδαίων ἐσθήματα

1 Matth. 24, 2. Mark. 13, 2. Luk. 19, 44. 21, 24 — **15—23** vgl. Bickell, Gedichte des Ephräm, Zeitschr. f. kath. Theol. II 355 (1878)

B V² HN (n) + GSP (s) = r AL (y) F

1 *πρόσρησιν* B | **4/5** *οἰκοδομὴν* L Georg. | **5** *ἐχορήγει* V², *ministravit* Cass. | **8** *ἄμμασ* nGP Georg., *amas* Cass. Cod. L | *κοφινίδασ* BV²r *κοφινιάδασ* F *κοφίνουσ* y *cophinos* Cass. (*chofinos* Cod. L) | **10** *ἐπειδὴ*] *ἐπεὶ* nGSy | nach *δὲ* + *καὶ* B | *ἐκφορεῖν* V²y *ἐκφέρειν* BrF Georg., s. S. 64, 5 | **11** *αὐτόματοσ* BnGSF *spontanea terra* Cass. *αὐτομάτωσ* V²Py, s. S. 76, 14 | **15** *λέλαπεσ* BA | **16** *ἀθρόωσ* = Georg.] *ἀφόβωσ* L | *ἐσκέδασεν* P | **17** *μὴ σωφρονιζομένων τῇ θείᾳ* ∼ n | **18** *ἱκανὸσ* (*ἱκανῶσ* V²P) *καταπλῆξαι* V²r *ἱκανῶσ κατέπληξεν* ByF *quisquis ... vehementer attritus est* Cass., vgl. S. 179, 6; 211, 13 | **19** *ὀρυσσομένων* y | **19/20** *ἀναδραμὸν θεμελίων* BV² *θεμελίων ἀναδραμὸν* ryF (*ἀναδραμὼν* NGPF) Georg. | **20** *μὲν* BV² > ryF | *ἐνέπρησε*] *κατέπρησε* n *ἔπλησε* F | **22** *σὺν τῷ ὀρόφῳ* übergeschrieben Ac | **24** nach *πάλιν* + *ἐν* GS | **24.25** *σταροῦ* > GS | **25** *τὸ* > V² | *φωτοειδὲσ σχῆμα* ∼ V² | *τὰ* nach *Ἰουδαίων* ∼ B

σταυρῶν ἐπεπλήρωτο, οὐκ ἔτι μέντοι φωτοειδῶν ἀλλ' ἐκ μελαίνης κατεσκευασμένων χροιᾶς. ταῦτα οἱ ἀντίθεοι θεασάμενοι καὶ τὰς 8
θεηλάτους μάστιγας ὀρρωδήσαντες ἀπέδρασάν τε καὶ τὰ οἰκεῖα κατέλαβον, θεὸν ὁμολογοῦντες τὸν ὑπὸ τῶν προγόνων τῷ ξύλῳ προσηλωθέντα. ταῦτα ἤκουσε μὲν Ἰουλιανός, παρὰ πάντων γὰρ ἤδετο, τῷ δὲ Φαραὼ παραπλησίως τὴν καρδίαν ἐσκλήρυνεν.

Ἐπειδὴ δὲ Πέρσαι τὴν Κωνσταντίου πυθόμενοι τελευτὴν ἀνε- 21
θάρρησαν καὶ εἰς τοὺς Ῥωμαίων ὅρους ἀφίκοντο πόλεμον προαγγείλαντες, ἔδοξεν αὐτῷ συναγεῖραι τὴν στρατιάν, τὸν ταύτης οὐκ ἔχοντι πρόμαχον. πέμψας δὲ εἰς Δελφοὺς καὶ Δῆλον καὶ Δωδώνην καὶ τὰ ἄλλα χρηστήρια, εἰ χρὴ στρατεύειν ἐπηρώτα τοὺς μάντεις. οἱ δὲ καὶ 2
στρατεύειν ἐκέλευον καὶ ὑπισχνοῦντο τὴν νίκην. ἕνα δὲ τῶν χρησμῶν εἰς ἔλεγχον τοῦ ψεύδους ἐνθήσω τῇ συγγραφῇ. ἔστι δὲ οὗτος· »νῦν πάντες ὡρμήθημεν θεοὶ νίκης τρόπαια κομίσασθαι παρὰ Θηρὶ ποταμῷ· τῶν δ' ἐγὼ ἡγεμονεύσω θοῦρος πολεμόκλονος Ἄρης«. τὸ μὲν 3
οὖν τῶν ἐπῶν καταγέλαστον κωμῳδείτωσαν οἱ λόγιον θεὸν καὶ τῶν Μουσῶν ἀρχηγέτην τὸν Πύθιον ὀνομάζοντες· ἐγὼ δὲ αὐτοῦ τὸ ψεῦδος εὑρὼν τὸν ἐξηπατημένον ὀδύρομαι. Θῆρα δὲ ποταμὸν τὸν Τίγριν ὠνόμασαν, ἐπειδήπερ ἐστὶν αὐτοῦ θηρίον ὁμώνυμον. οὗτος δὲ ἐκ 4
τῶν Ἀρμενίων ἀναβλυστάνων ὀρῶν καὶ διὰ τῆς Ἀσσυρίας ῥέων εἰς τὸν Περσικὸν εἰσβάλλει κόλπον.

Ὑπὸ τούτων ὁ δείλαιος βουκοληθεὶς τῶν χρησμῶν, καὶ τὴν νίκην ὠνειροπόλει καὶ μετὰ τὴν Περσικὴν μάχην τὸν πρὸς τοὺς Γαλιλαίους ἐφαντάζετο πόλεμον. τοὺς δὲ Χριστιανοὺς Γαλιλαίους 5

1/2 vgl. Theophan. 52, 19. Joh. Chrys. Exp. in Ps. CX, 4 (V 271 D Montfaucon) — **6** Exod. 7, 22 — **10—12** vgl. Philostorg. VII 15. Gregor. Nazianz. Orat. V 9 — **23/24** vgl. Sozomen. VI 2, 9. Joh. Chrys. De S. Babyla c. Julian. 22 (Ende)

* **7**—S. 202, 24 Cass. VI 44 — **10—23** Niceph. H. E. X 29 — **13—15** Theodoret. Gr. aff. cur. X 27. Theophan. 52, 23. Polydeukes 382, 9 — **18/19** Eustath. Comment. in Dionys. Perieg. v. 976

B V^2 HN (n) + GSP [P bis **21** *τὸν Περ*] (s) = r AL (y) F

1 *μέντοι*] *μὲν* L | **2** *ἀντίθεοι*] *θεομάχοι* B | **5** *παρὰ — ἤδετο* = Cass. > n | **7** *κα* am Rand BV^2yF | *Κωνσταντίου* = Cass.] *κωνσταντίνου* HSF | **7/8** *ἀνεθάρρησαν* BV^2 *ἐθάρρησαν* ryF *capta fiducia* Cass., vgl. S. 181, 16 | **8** *ῥωμαίους* B, *ad terminos Romanorum* Cass. | **8/9** *προσαγγείλαντες* H *προαγγείραντες* L | **9** *ἔχοντα* BP | **13** *τοῦ* > P | **14** *θήρει* B | **17** *μυσῶν* B | **18** *Τίγριν*] *τίχριτὰ* B, *Tigrim* Cass. | **19** *ὠνόμασαν* BV^2rF Nic. *ὠνόμασεν* y *voluit appellare* Cass. | *οὗτος*] *αὐτὸς* B | **20** *ὀρῶν* = Cass. > B | *ἀσυρίας* P *ἀσυρρίας* H *συρίας* G *ἀσσυρίας* A | **22** *ὁ δείλαιος* nach *χρησμῶν* ~ V^2

ὠνόμαζεν, ἀτιμίαν αὐτοῖς ἐκ τῆς προσηγορίας προσάψειν ἡγούμενος. ἔδει δὲ αὐτὸν σκοπῆσαι λόγοις ἐντεθραμμένον, ὡς ἥκιστα δόξῃ λυ- 6
μαίνεται προσηγορίας ἐναλλαγή. οὐδὲ γὰρ εἰ Σωκράτης ὠνομάσθη Κριτίας καὶ Φάλαρις ὁ Πυθαγόρας προσηγορεύθη, λώβης ἂν μετέσχον τινὸς ἐκ τῆς τῶν ὀνομάτων μεταβολῆς· οὐδέ γε ὁ Νηρεὺς Θερσίτης ἐπικληθεὶς ἀπώλεσεν ἂν ὃ παρὰ τῆς φύσεως ἐδέξατο κάλλος. ἀλλὰ 7
τούτων οὐδὲν ὁ ταῦτα πεπαιδευμένος εἰς νοῦν λαβών. ἐκ τῆς οὐδαμόθεν ἡμῖν ἁρμοττούσης προσηγορίας πημαίνειν ἡμᾶς ὑπέλαβε· καὶ τῇ τῶν χρησμῶν ψευδολογίᾳ πιστεύσας ἠπείλει ταῖς ἐκκλησίαις ἐνιδρῦσαι τῆς δαίμονος τῆς ἀκολάστου τὰ εἴδωλα.

Μετὰ τούτων δὲ ἀπάρας τῶν ἀπειλῶν, ὑφ' ἑνὸς ἀνδρὸς ἐν Βεροίᾳ 22
κατηγωνίσθη. οὗτος γὰρ ὁ ἀνὴρ καὶ ἄλλως μὲν περιφανὴς ἐτύγχανεν ὤν (τῶν γὰρ αὐτόθι πολιτευομένων ἡγεῖτο), περιφανέστερον δὲ αὐτὸν ὁ ζῆλος ἀπέφηνε. τὸν γὰρ υἱὸν θεασάμενος εἰς τὴν τότε κρατοῦσαν ἀσέβειαν ἐξοκείλαντα ἐξήλασε τῆς οἰκίας καὶ προφανῶς ἀπεκήρυξεν. ὁ δὲ ἐν τῷ πελάζοντι τῇ πόλει σταθμῷ τῷ βασιλεῖ προσελθών, τήν 2
τε οἰκείαν γνώμην καὶ τὴν τοῦ πατρὸς ἐδήλωσεν ἀποκήρυξιν· ὁ δὲ ἡσυχίαν ἄγειν τῷ νέῳ προσέταξε, καταλλάξειν ὑποσχόμενος τὸν πατέρα. ἐπειδὴ δὲ ἀφίκετο εἰς τὴν Βέροιαν, τοὺς ἐν τέλει καὶ ἀξιωτάτους συνεκάλεσεν εἰς ἑστίασιν· ἐν δὲ τούτοις ἦν καὶ ὁ τούτου πατήρ. τοῦτον δὲ μετὰ τοῦ παιδὸς εἰς τὴν αὐτοῦ στιβάδα κατακλιθῆναι προσέταξε. τοῦ δὲ ἀρίστου μεσοῦντος ἔφη πρὸς τὸν πατέρα· 3
»οὐ δίκαιον εἶναί μοι δοκεῖ βιάζεσθαι γνώμην ἑτέρωσε κλινομένην

1—3 vgl. Gregor. Nazianz. Orat. IV 76 — **19**f. vgl. Julian. Epist. 27 S. 399 D

B V² HN (n) + GS (s) = r AL (y) F

2 *λόγοις σκοπῆσαι* ∼ n | *ὡς ἥκιστα*] *ὡσ οὐχίκηστα* B | **2/3** *λοιμαίνεται* V²G | **3** *εἰ Σωκράτης ὠνομάσθη*] *ἰσοκρὰτησ ὀνομασθεὶσ, εἰ* auf Rasur, B | **4** *φιλάρησ* B | *προσαγορευθεὶσ* B, Cass. wie im Text | **5** *γε*] *γὰρ* F > s | *ὁ — ἐπικληθεὶσ* BV²rF Cass.] *εἰ ὁ — ἐπεκλήθη* (*ἐπικληθείη* L) y | *νειρεὺσ* V² *νιρεὺσ* HSL | **6** *κάλλος*] *κλέοσ* A *κάλλοσ* Am | **8** *ἁρμοζούσησ* y | **9 10** *ἵν' εἰδρύση* B *ἐνιδρύνειν* V² | **10** *τῆσ ἀκολάστου δαίμονοσ* B | *τὰ εἴδωλα* BV² *simulacra* Cass. *τὸ εἴδωλον* ryF | **11** *κβ̄* am Rand HSS | *δὲ* > Bn, *igitur* Cass. | *ὑπ' ἑνὸσ* B | **12** *κατηγωνίστη* B | *γὰρ* BsyF Cass. *μὲν γὰρ* V² > n | **14** *ἀπέφανεν* B *ἀπέδειξε* H | **15** *ἐξωκείλαντα* BN *ἐξωκίλαντα* G | **17** *ὁ δὲ — 19 πατέρα* = Cass. > B | **18** *τῶ νεωτέρω ἐκέλευσε* n | **19** *ἐπειδὴ δὲ — 22 πατέρα* = Cass. > s | *ἐπειδὴ*] *ἐπεὶ* n | **19/20** *ἀξιωτάτους*] *ἀξιώματι* N *ἀξιώμασι* H, *nobiles et honoratos* Cass. | **20** *ἐκάλεσεν* B, *convocavit* Cass. | *τούτου* übergeschrieben Ac | **23** *ἑτέρωσε κλινομένην* BcSL *ἑτέρωσε κηνομένην, ε κη* auf Rasur, V² *ἑτέρωσ ἐκκλινομένην* BnGAF, *ad aliud declinandi* Cass.

καὶ μετάγειν μὴ βουλομένην εἰς ἕτερα. μὴ δὴ οὖν βιάσῃ τὸν παῖδα τοῖς σοῖς δόγμασιν ἀκολουθεῖν οὐ βουλόμενον· οὐδὲ γὰρ ἐγώ σε«, ἔφη, »βιάζομαι τοῖς ἐμοῖς ἕπεσθαι, καίτοι μάλα ῥᾳδίως ἀναγκάσαι δυνάμενος«. ὁ δὲ τῇ περὶ τὰ θεῖα πίστει τὸν λογισμὸν παραθήξας· 4
»περὶ τούτου«, ἔφη, »ὦ βασιλεῦ, τοῦ ἀλάστορος λέγεις τοῦ θεομισοῦς καὶ τὸ ψεῦδος τῆς ἀληθείας προελομένου;« ὁ δὲ πάλιν τὸ τῆς πραότητος περιθεὶς προσωπεῖον· »παῦσαι«, ἔφη, »ἄνθρωπε, λοιδορούμενος«. καὶ πρὸς τὸν νέον ἀποκλίνας τὸ πρόσωπον· »ἐγώ σου«, ἔφη, »φροντιῶ, ἐπειδή σου τὸν πατέρα δρᾶσαι τοῦτο οὐκ ἔπεισα«. τοῦδε μέντοι τοῦ διηγήματος οὐ μάτην ἐμνήσθην, ἀλλὰ δεῖξαι βου- 5
λόμενος οὐ μόνον τοῦ θαυμασίου ἀνδρὸς τὴν ἀξιάγαστον παρρησίαν, ἀλλ᾽ ὅτι καὶ πλεῖστοι τῆς ἐκείνου κατεφρόνησαν δυναστείας.

Καὶ γὰρ καὶ ἐν Ἀντιοχείᾳ πάλιν ἀνήρ τις ἄριστος, παιδαγωγεῖν 23
μειράκια πεπιστευμένος, συνήθης μὲν ἦν, ὡς πλειόνων λόγων ἢ κατὰ παιδαγωγὸν μετασχών, τῷ τηνικαῦτα τῶν διδασκάλων ἡγουμένῳ· Λιβάνιος δὲ ἦν, ὁ ἐν σοφισταῖς πολυθρύλητος. δυσσεβὴς δὲ οὗτος ὢν καὶ τὴν νίκην προσμένων καὶ τὰς Ἰουλιανοῦ φανταζόμενος ἀπειλάς, ἤρετο τὸν παιδαγωγὸν κωμῳδῶν τὰ ἡμέτερα· »τί νῦν ποιεῖ«, λέγων, »τοῦ τέκτονος ὁ υἱός;« ὁ δὲ τῆς θείας ἀναπλησθεὶς χάριτος 2
προείρηκε τὸ μετ᾽ ὀλίγον γενόμενον· »γλωσσόκομον γάρ«, ἔφη, »ὦ 3
σοφιστά, ὁ τοῦ παντὸς κατασκευάζει δημιουργός, ὃν σὺ κωμῳδῶν τέκτονος υἱὸν προσηγόρευσας«. ὀλίγων δὲ διελθουσῶν ἡμερῶν, ὁ τοῦ ἀλάστορος ἐκείνου θάνατος ἐμηνύθη καὶ ἐν γλωσσοκόμῳ κείμενος ἐκομίσθη καὶ τῶν ἀπειλῶν ὁ κόμπος μάταιος ἀπεφάνθη.

Καὶ ὁ τῶν ἀσωμάτων δὲ τὸν βίον ἐν σώματι μιμησάμενος, Ἰου- 24

18—22 vgl. Sozomen. VI 2, 9

* **25**—S. 203, 19 Niceph. H. E. X 35. Cass. VI 45

B V² HN (n) + GS (s) = r AL (y) F

2 *οὐ*] *μὴ* s | **3** *ἔφη* > nCass. | **6** *τῇ ἀληθείᾳ* B | **7** *παῦσε* BG *παῦσον, ον* auf Rasur, V² | *ἄνθρωπε ἔφη* ∾ F | **13** *κ̄γ̄* am Rand HSS | *καὶ*² nur in B | *ἀνήρ τις πάλιν* ∾ y | nach *ἄριστος* + *καὶ* V² | **14** *σύνηθες* L | *ἦν*] *ὢν* B | **16** *περιθρύλητος* n | **17** *περιμένων* B | **18** *τὸν* übergeschrieben Bᶜ | *νῦν* BV²Cass. > ryF | **19** *ὁ* vor *τοῦ* ∾ r | **20** *γενόμενον* V²rLF *quod post paululum contigit* Cass. *γεινόμενον* B *ἐσόμενον* A | *ὦ* BV²Cass. > ryF | **22** *ὁ* > B | **23** *ἐκείνου* V²ryF Cass. *ἰουλιανοῦ* B | **24** nach *ἀπεφάνθη* + *καὶ ὁ θ̄ς̄* (*θ̄ς̄* Ar) *ἐδοξάσθη* ryF, fehlt bei Cass. | **25** *κ̄δ̄* am Rand BV²yF | *δὲ*] *μὲν* V²

λιανὸν λέγω τὸν Σάβαν ἐπίκλην τῇ Σύρων φωνῇ προσαγορευόμενον, οὗ τὴν πολιτείαν ἐν τῇ Φιλοθέῳ συνεγράψαμεν Ἱστορίᾳ, σπουδαιοτέραν τῷ θεῷ τῶν ὅλων ἱκετείαν προσέφερε, τὰς τοῦ δυσσεβοῦς ἐκείνου μεμαθηκὼς ἀπειλάς. κατ᾽ ἐκείνην δὲ τὴν ἡμέραν καθ᾽ ἣν 2
ἐκεῖνος ἐδέξατο τὴν σφαγήν, οὗτος ταύτην προσευχόμενος ἔγνω, καίτοι πλειόνων ἢ εἴκοσι σταθμῶν ἐκ τοῦ φροντιστηρίου μέχρι τοῦ στρατοπέδου ἀριθμουμένων. φασὶ δὲ αὐτὸν ποτνιώμενον καὶ τὸν φιλάνθρωπον ἀντιβολοῦντα δεσπότην ἐπισχεῖν μὲν ἐξαπίνης τὴν τῶν δακρύων φοράν, διαχυθῆναι δὲ καὶ θυμηδίας πλησθῆναι καὶ γανωθῆναι τὸ πρόσωπον καὶ τούτῳ μηνῦσαι τὴν τῆς ψυχῆς ἡδονήν. ταύ- 3
την οἱ συνηθέστεροι τὴν μεταβολὴν αὐτοῦ θεασάμενοι, μηνῦσαι σφίσιν ἱκέτευσαν τῆς εὐφροσύνης τὴν ἀφορμήν. ὁ δὲ τὸν σῦν ἔφη τὸν ἄγριον τὸν τοῦ ἀμπελῶνος τοῦ θείου πολέμιον δίκας εἰσπεπρᾶχθαι τῶν εἰς τοῦτον ἀδικημάτων καὶ κεῖσθαι νεκρόν, τῆς ἐπιβουλῆς πε-
παυμένον. ταῦτα μεμαθηκότες ἐχόρευον ἅπαντες καὶ τῷ θεῷ τὸν χαριστήριον προσέφερον ὕμνον. ἔγνωσαν δὲ καὶ παρὰ τῶν τὴν ἐκεί- 4
νου τελευτὴν μεμηνυκότων αὐτὴν εἶναι καὶ τὴν ἡμέραν καὶ τὴν ὥραν καθ᾽ ἣν ἀνῃρῆσθαι τὸν ἀλιτήριον ὁ θεῖος ἐκεῖνος πρεσβύτης ἔγνω τε καὶ προείρηκε.

Τὴν ἐκείνου δὲ ἀβουλίαν σαφέστερον ὁ θάνατος ἔδειξε. διαβὰς 25
γὰρ τὸν ὁρίζοντα ποταμὸν ἀπὸ τῆς Περσῶν τὴν Ῥωμαίων ἡγεμονίαν καὶ τὴν στρατιὰν διαβιβάσας, ἐνέπρησε παραυτίκα τὰ σκάφη, πολεμεῖν ἀναγκάζων, οὐ πείθων, τοὺς στρατιώτας. οἱ δὲ ἄριστοι στρατηγοὶ 2
προθυμίας ἀναπιμπλάναι τοὺς ἀρχομένους εἰώθασι, κἂν ἀθυμοῦντας

2 f Theodoret. Relig. Historia 2 PG 82, 1316 D — **12/13** vgl. Psal. 79, 14

* **12—15** Synax 399, 3? — **20**—S. 204, 8 Cass. VI 46 — **20/21** Georg. Mon. 544, 18

B V² HN (n) + GS (s) = r AL (y) F

1 *σάββαν* H | *ἐπίκλην* nach *φωνῇ* ∼ r | *σύρων* V²yF *σύρῳ* B *τῶν σύρων* r | *προσαγορευόμενον* > r | **2** *συνεγράψαμεν* V²nyF Cass. *συνεγραψάμην* B *συνέγραψα* s | **2 3** *σπουδαιότερον* yF, vgl. S. 64, 15 | **3** *ἱκετείαν*] *τὴν ἱκετείαν* A *ἱκετηρίαν* B | **6** *ἣ*] *ἣν* LF *ἣ* /// A | **8** nach *ἀντιβολοῦντα* + *καὶ ἱκετεύοντα* V², fehlt bei Cass. | **9** *ἐμπλησθῆναι* V² | **10** *τούτῳ* ry *τοῦτο* BV²F | **11** *σφίσιν* V²ryF Cass. > B | **12** *ἱκέτευσαν* = Cass.] *ἱκέτευον* V²G *τὴν τῆς εὐφροσύνης* ∼ n | *σῦν*] *ὗν* F | **13** *τὸν τοῦ θείου ἀμπελῶνος* B *sacrae vineae* Cass. | **14** *τούτων* A | **15** *τὸν θεὸν* L | *τὸν* > B | **17** *καὶ*[1] > V² | **20** *κε* am Rand BV²yF | **24** *ἀναπιμπλάναι προθυμίας* ∼ ryF | *ἀθυμοῦντας* BV²

ἴδωσι, ψυχαγωγοῦσι καὶ ταῖς ἐλπίσιν ἐπαίρουσιν· οὗτος δὲ τὴν ἀγαθὴν εὐθὺς ἀπέκοψεν ἐλπίδα, τῆς ἐπανόδου τὴν διαβάθραν ἐμπρήσας. πρὸς 3 δὲ τούτοις δέον πάντοθεν πορίζειν τοῖς στρατιώταις τὴν ἀναγκαίαν τροφήν, οὔτε ἐκ τῆς οἰκείας ταύτην προσέταξε φέρεσθαι, οὔτε τὴν πολεμίαν ληϊζόμενος παρεῖχε τὴν ἀφθονίαν· καταλιπὼν γὰρ τὴν οἰκουμένην διῆρει τὴν ἔρημον. ἐνταῦθα δὴ καὶ ποτοῦ καὶ τροφῆς οἱ στρατιῶ- 4 ται σπανίζοντες, καὶ τῆς πορείας ἡγεμόνας οὐκ ἔχοντες ἀλλ' ἐν ἐρήμῳ χώρᾳ πλανώμενοι, τὴν τοῦ σοφωτάτου βασιλέως ἔγνωσαν ἀβουλίαν. ὀλοφυρόμενοι δὲ καὶ στένοντες εὗρον ἐξαπίνης κείμενον τὸν κατὰ τοῦ 5 πεποιηκότος λυττήσαντα, καὶ τὸν Ἄρεα τὸν πολεμόκλονον ἐπίκουρον οὐ γενόμενον κατὰ τὴν ὑπόσχεσιν, καὶ τὸν Λοξίαν τὰ ψευδῆ μαντευσάμενον, καὶ τὸν τερπικέραυνον κατὰ τοῦ κτείναντος τοῖς κεραυνοῖς οὐ χρησάμενον, καὶ τὸν κόμπον τῶν ἀπειλῶν ἐρριμμένον εἰς ἔδαφος. τὸν μέντοι τὴν δικαίαν ἐκείνην ἐπενεγκόντα πληγὴν οὐδεὶς 6 ἔγνω μέχρι καὶ τήμερον· ἀλλ' οἱ μέν τινα τῶν ἀοράτων ταύτην ἐπενηνοχέναι φασίν, οἱ δὲ τῶν νομάδων ἕνα τῶν Ἰσμαηλιτῶν καλουμένων, ἄλλοι δὲ στρατιώτην τὸν λιμὸν καὶ τὴν ἔρημον δυσχεράναντα. ἀλλ' εἴτε ἄνθρωπος εἴτε ἄγγελος ὥσε τὸ ξίφος, δῆλον ὡς τοῦτο 7 δέδρακε τοῦ θείου νεύματος γενόμενος ὑπουργός. ἐκεῖνον δέ γέ φασι δεξάμενον τὴν πληγὴν εὐθὺς πλῆσαι τὴν χεῖρα τοῦ αἵματος καὶ τοῦτο

6—S. 205, 3 vgl. Sozomen. VI 1, 12—14. Philostorg. VII 15. Artemii Passio 69. Zonar. XIII 13, 14f. S. 67, 5. Cedren. I 538, 17. Gregor. Nazianz. Orat. V 12—13. Socrat. III 21. Joh. Chrys. De S. Babyla c. Julian. 23. Bickell, Gedichte des Ephräm, Zeitschr. f. kath. Theol. II 348, 32 (1878). Malal. S. 332—334

* **8—10** Georg. Mon. 545, 8 — **14/15** u. **18**—S. 205, 1 Georg. Mon. 545, 13 — **14**—S. 206, 17 Cass. VI 47—48

B V² HN (n) + GSP [P von **11/12** *μαντευσάμενον* an] (s) = r AL (y) F

1 *εἶδωσιν ψυχαγωγῶσιν* B | *ἐλπίδαις* B | *οὗτος*] *αὐτὸς* B | *δὲ* > s | **2** *ἀπέκοψεν*] *ἀπέκρυψεν* F | **3** *δέον* BV²r *cum debuisset* Cass. > yF | *πορίζειν* BV² *congregare* Cass. *πορίζειν τε καὶ κομίζειν* r (*κομίζειν τε καὶ πορίζειν* ~ H) yF | *τοῖς* zweimal A | **4** *τροφήν* BV²rCass. *τροφήν* + *ὁ δὲ σοφὸς οὗτος* yF | *προσέταξε ταύτην* ~ n | **6** *δὴ* ryF *δὲ* V² > BCass. | **9** *ηὗρον* y | *κείμενον* BV²rGeorg. *κείμενον* + *τραυματίαν* yF | **11** *γενάμενον* B | nach *Λοξίαν* + *τὸν* V²yF | **11/12** *τὰ ψευδομαντευσάμενον* B | **13** *ἀπειλῶν* BV²r *κεραυνῶν* yF, s. S. 202, 24 | *τῶν ἀπειλῶν κόμπον* ~ n | *εἰς*] *ἐπ'* V² | **15** nach *ταύτην* + *αὐτῶ* yF, fehlt bei Cass. Georg. | **16** *φασίν*] *ἔφασαν* V², *ferunt* Cass. | **17** vor *στρατιώτην* + *τινα* und vor *τὸν λιμὸν* + *διὰ* y, Cass. wie im Text | **18** *ὡσ* V²rF *ὅσ* B *quia* Cass. *ὅτι ὅσ* y | **19** *γενόμενοσ ὑπουργόσ* V²F *γενάμενοσ ὑπ.* B *γεγονὼσ ὑπ.* r *ὑπουργὸσ ἐγεγόνει* y | *φασι* > n

ῥίψαι εἰς τὸν ἀέρα καὶ φάναι· »νενίκηκας Γαλιλαῖε«, καὶ κατὰ ταὐτὸν τήν τε νίκην ὁμολογῆσαι καὶ τὴν βλασφημίαν τολμῆσαι· οὕτως ἐμβρόντητος ἦν.

Μετὰ δὲ τὴν σφαγὴν αἱ τῆς ἐκείνου γοητείας ἐφωράθησαν μαγγα- 26
νεῖαι. *Κάρραι γὰρ πόλις ἐστὶν ἔτι καὶ νῦν ἔχουσα τῆς ἀσεβείας τὰ λείψανα. διὰ ταύτης ὁ μάταιος τὴν πορείαν ποιούμενος (τὴν γὰρ 2*
Ἔδεσαν ὡς εὐσεβείᾳ κοσμουμένην εὐώνυμον καταλελοίπει), εἰς τὸν παρὰ τῶν δυσσεβῶν τιμώμενον σηκὸν εἰσελθὼν καί τινα ἐν τούτῳ σὺν τοῖς κοινωνοῖς τοῦ μύσους ἐπιτελέσας, κλεῖθρα καὶ σήμαντρα ταῖς θύραις ἐπέθηκε καί τινας ταύταις προσεδρεύειν προσέταξε στρατιώτας, μηδένα εἴσω τῶν θυρῶν γενέσθαι μέχρι τῆς ἐπανόδου κελεύσας. *ἐπειδὴ δὲ ὁ θάνατος ἀπηγγέλθη καὶ εὐσεβὴς βασιλεία τὴν δυσσεβῆ 3*
διεδέξατο, εἴσω γενόμενοι τοῦ σηκοῦ εὗρον τὴν ἀξιάγαστον τοῦ βασιλέως ἀνδρείαν τε καὶ σοφίαν καὶ πρὸς τούτοις εὐσέβειαν. *εἶδον γὰρ* γύναιον ἐκ τῶν τριχῶν ἠωρημένον, ἐκτεταμένας ἔχον τὰς χεῖρας· ἧς ἀνακείρας ὁ ἀλιτήριος τὴν γαστέρα τὴν νίκην δήπουθεν τὴν κατὰ Περσῶν διὰ τοῦ ἥπατος ἔγνω. τοῦτο μὲν οὖν ἐν *Κάρραις* ἐφωράθη τὸ μύσος.

Ἐν Ἀντιοχείᾳ δὲ πολλὰς μὲν κιβωτοὺς ἐν τοῖς βασιλείοις κεφαλῶν *27*
πεπληρωμένας εὑρῆσθαί φασι, πολλὰ δὲ φρέατα σωμάτων ἀνάπλεα νεκρῶν. ταῦτα γὰρ τῶν δυσωνύμων θεῶν τὰ μαθήματα.

5—9 vgl. Sozomen. VI 1, 1

*** 4—21** Georg. Mon. 546, 4—5 u. 21 ff — **5**—S. 206, 8 Niceph. H. E. X 35 — **9—20** Theophan. 53, 10. Polydeukes 382, 19

B V² HN (n) + GSP (s) = r AL (y) F

1 *καταυτὸ* B | **2** *οὕτοσ* BP | **4** *κ̄ξ* am Rand BV²GSyF *κδ* P | *αἱ τῆσ ἐκείνου γοητείασ ἐφωράθησαν* (*ἐφωράθησαν* vor *αἱ τῆς* ∼ Georg.; *ἐφάνησαν* statt *ἐφωράθησαν* GS) *μαγγανεῖαι* V²ryF Georg. *τὴν ἐκείνου γοητίαι ἐφοράθησαν καὶ μαγγανίαι* B, vgl. Cass.: *post cuius mortem eius magiae compertae sunt* | **5** *κάραι* H *κάρρα* B *Carra* Cass., *ἐν δὲ Κάραις* Georg. *Κάρραις* Theophan. Polyd. | **7** *αἴδεσαν* B | *καταλελοίπει* BV² *transire noluerat* Cass. *καταλέλοιπεν* ryF **10** *παρεδρεύειν* B | **13 14** *τοῦ βασιλέως τὴν ἀξιάγαστον* ∼ s | **14** *εὐσέβειαν* BV²yF Cass. *ἀσέβειαν* r | **15** *ἠωρημένον* V²nSLF *ἐωρημένον* BGP *αἰωρημένον* A *ἐκτεταμένον* sGeorg., *extensas* Cass. | **17** *ἔγνω* = Georg.] *ἔγνωκεν* V² | *ἔγνω διὰ τοῦ ἥπατος* ∼ + *ὁ ἀλιτήριοσ* L | **19** am Rand *κ̄ζ* BsyF | *μὲν* > GSL *κεφαλῶν* BV²rNic. *κεφαλῶν* + *ἀνθρώπων* yF Georg. *humanis . . . capitibus* Cass., *κράνια ἀνθρώπων* Theophan. Polyd. | **20** *εὑρεθῆναι* L | **21** *ταῦτα* BV² *τοιαῦτα* ryF

Ἡ δὲ Ἀντιόχου πόλις τὴν ἐκείνου μεμαθηκυῖα σφαγὴν δημοθοινίας 28
ἐπετέλει καὶ πανηγύρεις· καὶ οὐ μόνον ἐν ταῖς ἐκκλησίαις ἐχόρευον
καὶ τοῖς τῶν μαρτύρων σηκοῖς, ἀλλὰ καὶ ἐν τοῖς θεάτροις τοῦ σταυ-
ροῦ τὴν νίκην ἐκήρυττον καὶ τοῖς ἐκείνου μαντεύμασιν ἐπετώθαζον.
ἐγὼ δὲ καὶ τὴν ἀξιάγαστον αὐτῶν θήσω φωνήν, ἵνα καὶ τοῖς μεθ' 2
ἡμᾶς ἐσομένοις ἡ ταύτης φυλάττηται μνήμη. κοινῇ γὰρ πάντες
ἐβόων· »ποῦ σου τὰ μαντεῖα, Μάξιμε μωρέ· ἐνίκησεν ὁ θεὸς καὶ ὁ
Χριστὸς αὐτοῦ«. Μάξιμος δέ τις ἦν κατ' ἐκεῖνο καιροῦ φιλοσοφίας
μὲν πρόσχημα περικείμενος, γοητείᾳ δὲ χρώμενος καὶ προλέγειν τὰ
μέλλοντα σεμνυνόμενος. ὅτι δὲ Ἀντιοχεῖς, παρὰ τῆς μεγίστης ξυνω-
ρίδος Πέτρου καὶ Παύλου τὰ θεῖα δεξάμενοι δόγματα καὶ θερμῶς
τὸν τῶν ὅλων δεσπότην καὶ σωτῆρα ποθοῦντες, βδελυττόμενοι ἀεὶ
τὸν ἐξάγιστον διετέλεσαν, καὶ αὐτὸς ἐκεῖνος ᾔδει σαφῶς. διά τοι 3
τοῦτο καὶ λόγον συνέγραψε κατ' αὐτῶν καὶ Μισοπώγωνα τοῦτον
ὠνόμασεν. ἐγὼ δὲ τὴν ἐπὶ τῇ τελευτῇ τοῦ τυράννου χορείαν τέλος
ἐπιθήσω τῇ συγγραφῇ· οὐ γὰρ ὅσιον ὑπέλαβον εὐσεβῆ συνάψαι βασι-
λείαν τῇ δυσσεβεῖ δυναστείᾳ.

14/15 vgl. Socrat. III 17, 9. Sozomen. V 19, 3. Zonar. XIII 12, 37 S. 64, 11.

* **8/9** Theophyl. Bulg. Martyr. XV mart. 8 PG 126, 164 B 12?

B V² HN (n) + GSP (s) = r AL (y) F

1 *κὴ* am Rand BV²AF | *ἡ δὲ* — **4** *ἐπετώθαζον* > y, am Rand Ac | **3** *τῶν* > Ac | *καὶ ἐν* BP *κἂν* V²H *καὶ* NGSAcF | **4** nach *ἐκείνου* + *τοῦ ἀθλίου ἰουλιανοῦ* B | *μαντεύμασιν*] *μάντεσιν* V² | **5** *τὴν* übergeschrieben Ac *αὐτῶν* BV²rF Cass. *τῶν ἀντιοχέων* y | *θήσω* BnSPyF *ἐνθήσω* V²G, *hic ponere* Cass., vgl. S. 137, 18 | **6** *φυλάττοιτο* B | **8** *δέ*] *γάρ* y | *κατ' ἐκείνου καίρου* B *κατὰ τὸν καιρὸν ἐκεῖνον* n | **9** *πρόσσχημα* A | *γοητείᾳ δὲ χρώμενος* > n | **11** *δόγματα*] *δόγματα* (*δογ* auf Rasur Ac) A *γράμματα* B | **12** *τὸν* > P | *ἀεὶ* > BV² **13** *ἐξάγιστον*] *ἐξάγιστον ἐκεῖνον* V² *ἄξιον λήθης ἰουλιανὸν* B | *ᾔδει* BV² *ἔφη* ryF | *τοι* > B | **14** *κατὰ τούτων* B | *μισοπώγωνας τούτους* rF ; **16** *εὐσεβῆ* — **17** *δυναστεία* BV²Fc *εὐσεβεῖ συνάψαι βασιλεία τὴν δυσσεβῆ δυναστείαν* ry *ne pio imperio impietatis potentia copuletur* Cass.

Τὰ κεφάλαια τοῦ δ΄ λόγου

α΄. Περὶ τῆς Ἰοβιανοῦ βασιλείας καὶ εὐσεβείας.
β΄. Περὶ τῆς ἐπανόδου τοῦ ἁγίου Ἀθανασίου.
γ΄. Ἐπιστολὴ συνοδικὴ πρὸς τὸν βασιλέα Ἰοβιανὸν γραφεῖσα περὶ τῆς πίστεως.
δ΄. Περὶ τῶν ἀποδοθέντων σιτηρεσίων ταῖς ἐκκλησίαις.
ε΄. Περὶ τῆς τούτου τελευτῆς.
ς΄. Περὶ τῆς Βαλεντινιανοῦ βασιλείας, καὶ ὅπως Βάλεντα τὸν ἀδελφὸν κοινωνὸν ἐποίησατο.
ζ΄. Περὶ τῆς Ἀμβροσίου τοῦ ἐπισκόπου χειροτονίας.
η΄. Ἐπιστολὴ τοῦ βασιλέως Βαλεντινιανοῦ καὶ Βάλεντος περὶ τοῦ ὁμοουσίου γραφεῖσα πρὸς τὴν Ἀσιανὴν διοίκησιν.
θ΄. Συνοδικὸν τῆς ἐν τῷ Ἰλλυρικῷ συναθροισθείσης συνόδου περὶ τῆς πίστεως.
ι΄. Περὶ τῆς τῶν Αὐδιάνων αἱρέσεως.
ια΄. Περὶ τῆς τῶν Μεσσαλιανῶν αἱρέσεως.
ιβ΄. Τίνα τρόπον ὁ Βάλης ἐξέκλινεν εἰς τὴν αἵρεσιν.
ιγ΄. Ὅπως τοὺς ἀρετῇ διαλάμποντας τῶν ἐπισκόπων ἐξώρισε.

B V² HN (n) + GSP (s) = r AL (y) F

1 *τὰ κεφάλαια τοῦ δ λόγου* B *κεφάλαια τοῦ δ* V² *τάδε περιέχει καὶ ὁ δ τόμος τῆσ ἐκκλησιαστικῆσ ἱστορίασ* Ns *καὶ ὁ δ τόμοσ τῆσ ἐκ. ἱσ. περιέχει τάδε* H *καὶ τὸ δ τῆσ θεοδωρήτου ἐκ. ἱσ. τάδε περιέχει* A *τάδε περιέχει τῆσ ἐκ. ἱσ. θεοδωρήτου τὸ δ* L *τάδε περιέχει τῆσ ἐκ. ἱσ. τόμοσ δ* F | **2** *ἰωβιανοῦ* y *ἰουβιανοῦ* NGS *καὶ*] *τὲ καὶ* s | **4** *συνοδικὴ*] *βασιλεικὴ* s | *βασιλέα* nach *Ἰοβιανὸν* ∾ r *ἰωβιανὸν* y *ἰουβιανὸν* GS | *γραφεῖσα* > r | **5** *τῆς* > F | nach *πίστεως* + *παρὰ τοῦ ἁγίου ἀθανασίου* y | **6** *σιτερεσίων* P | **7** *τούτου*] *τοῦ βασιλέωσ* y **8** nach *τῆς* + *τοῦ* y | *βασιλείας*] *φιλοσοφίασ* L | **10** nach *ἐπισκόπου* + *μεδιολάνου* (*-νων* L) y | **11** *τοῦ βασιλέως* > n | **12** *γραφεῖσα* > n | *ἀσιανικὴν* GS | **13** *Συνοδικὸν*] *ἐπιστολὴ συνοδικὴ* H *συνοδικὴ* N | *συναθροισθείσης*] *συναχθείσησ* Gy > n | **14** *τῆς* > HGS | **15** *ι΄. Περὶ τῆς*] *καὶ τῆσ* (ohne alinea) B | **16** *μεσαλιανῶν* BV² | **17** *ὁ Βάλης*] *βάλησ* F *οὐάλισ* P | **18** *λάμποντασ ἐπισκόπουσ* n

ιδ'. Περὶ Εὐσεβίου τοῦ ἐπισκόπου Σαμοσάτων καὶ Ἀντιόχου τοῦ πρεσβυτέρου καὶ Εὐολκίου τοῦ διακόνου.
ιε'. Περὶ τοῦ Σαμοσατέων ζήλου.
ις'. Περὶ τοῦ ἁγίου Βάρσου τοῦ ἐπισκόπου Ἐδέσσης καὶ τῶν σὺν αὐτῷ ἐξορισθέντων κληρικῶν.
ιζ'. Περὶ τοῦ ἐν Ἐδέσσῃ γενομένου διωγμοῦ.
ιη'. Περὶ Εὐλογίου καὶ Πρωτογένους τῶν Ἐδεσσηνῶν πρεσβυτέρων.
ιθ'. Περὶ τοῦ ἁγίου Βασιλείου τοῦ Καισαρείας ἐπισκόπου, καὶ τῶν κατ' αὐτοῦ γεγενημένων ὑπὸ Βάλεντος τοῦ βασιλέως καὶ Μοδέστου ὑπάρχου.
κ'. Περὶ τῆς τοῦ ἁγίου Ἀθανασίου τελευτῆς καὶ τῆς Πέτρου χειροτονίας.
κα'. Περὶ Λουκίου τοῦ Ἀρειανοῦ.
κβ'. Διήγησις τοῦ μακαρίου Πέτρου τοῦ ἐπισκόπου Ἀλεξανδρείας περὶ τῶν ἐν Ἀλεξανδρείᾳ συμβεβηκότων.
κγ'. Περὶ τῆς Μωϋσέως τοῦ μονάζοντος χειροτονίας.
κδ'. Περὶ τῶν ἐν Κωνσταντινουπόλει τολμηθέντων.
κε'. Ὅπως Φλαβιανὸς καὶ Διόδωρος τὴν ἐν Ἀντιοχείᾳ τῶν ὀρθοδόξων συνεκρότουν ἐκκλησίαν.
κς'. Τὰ κατὰ τὸν ἅγιον Ἀφραάτην τὸν μονάζοντα.
κζ'. Τὰ κατὰ τὸν ἅγιον Ἰουλιανὸν τὸν μονάζοντα.
κη'. Τὰ κατὰ τὸν ἅγιον Ἀντώνιον τὸν μονάζοντα.

B V² HN (n) + GSP (s) = r AL (y) F

1 *σαμοσατῶν* P | *καὶ Ἀντιόχου* — **2** *διακόνου*] *καὶ λοιπῶν* H > N **2** *οὐλκίου* sL | *τοῦ* > s | **3** *Περὶ* — *ζήλου* > n | *σαμοσατέως* GV *σαμοσατῶν* P | vor *ζήλου* + *εὐσεβεστάτου* y | **4** *τοῦ ἁγίου Βάρσου* > N | *τοῦ ἐπισκόπου Ἐδέσσης* > H | *ἐδέσης* V²NGP *καὶ δέσσης* B | *καὶ τῶν* — **5** *κληρικῶν*] *ις περὶ τῆς ἐξορίας τοῦ ἐπισκόπου ἐδέσης καὶ τῶν σὺν αὐτῷ* H | **6** *αἰδέσση* B *ἐδέση* V²GP | **7** *προτογένους* BV²GS | *αἰδέσεων* B *αἰδεσίμων* V² *αἰδεσινῶν* G *ἐδεσενῶν* P | **8** *Περὶ* — **10** *ὑπάρχου*] *τὰ περὶ τοῦ μεγάλου βασιλείου* n | *τοῦ*² > B | *ἐπισκόπου Καισαρείας* ~ V² | **9** *γεναμένων* B *οὐάλεντος* s | *τοῦ βασιλέως* BV² *βασιλέως* sF > y | **10** *ἐπάρχου* LF **11** *τῆς*² > n | **13** *περὶ λουκίου* (*λουκιανοῦ* BV²) *τοῦ ἀρειανοῦ* BV²rF *περὶ τῆς ἐκβολῆς πέτρου καὶ εἰσαγωγῆς λουκίου τοῦ ἀρειανοῦ* y | **14** *Διήγησις* — **15** *συμβεβηκότων*] *ἐκ τῆς ἐπιστολῆς πέτρου ἀλεξανδρείας διήγησις περὶ τῶν ἐν ἀλεξανδρεία συμβάντων ὑπὸ λουκίου* y *περὶ τῶν ἐν ἀλεξανδρεία συμβεβηκότων* n *τοῦ*² > BGSF | **16** nach *Περὶ* + *μαβίας τῆς ἀρχηγοῦ τῶν σαρακηνῶν καὶ* y *τῆς*] *τοῦ* B | *μωϋσοῦ* BV²HGPF > N | **18** *θεόδωρος* GS | **19** *συνεκράτουν* V² | **20** *ἀφράτον* L | *τὸν*² > B | **22** *τὸν μονάζοντα*] *τὸν μέγαν* y > r

κθ′. *Τίνες ἄλλοι μονάζοντες κατὰ τοῦτον διέπρεπον τὸν καιρόν.*
λ′. *Περὶ Διδύμου τοῦ Ἀλεξανδρέως καὶ Ἐφραὶμ τοῦ Σύρου.*
λα′. *Τίνες ἐν τῇ Ποντικῇ καὶ Ἀσιανῇ διέπρεπον ἐπίσκοποι κατὰ τοῦτον τὸν καιρόν.*
λβ′. *Περὶ τῶν παρὰ Βάλεντος τῷ μεγάλῳ Βαλεντινιανῷ περὶ τοῦ πολέμου γραφέντων καὶ τῶν παρ᾽ ἐκείνου πιστῶς ἀντιγραφέντων.*
λγ′. *Περὶ τῆς Τερεντίου τοῦ κόμητος εὐσεβείας.*
λδ′. *Περὶ τῆς Τραϊανοῦ τοῦ στρατηλάτου παρρησίας.*
λε′. *Περὶ Ἰσαακίου τοῦ ἐν Κωνσταντινουπόλει μονάζοντος.*
λς′. *Περὶ τῆς Βετρανίωνος τοῦ Σκυθίας ἐπισκόπου παρρησίας.*
λζ′. *Περὶ τῆς κατὰ Γότθων Βάλεντος στρατείας καὶ ὅπως ἔτισε τῆς ἀσεβείας δίκας.*
λη′. *Πόθεν οἱ Γότθοι τῆς Ἀρειανικῆς μετέλαχον πλάνης.*

B V^2 HN (n) + GSP [P bis **11/12** *τῆς ἀσε*] (s) = r AL (y) F

1 *κατὰ τοῦτον*] *καταυτὸν* P | *τὸν καιρὸν διέπρεψαν* SPy *διέπρεψαν τὸν καιρόν* n | **2** *τοῦ Ἀλεξανδρέως*] *ἀλεξανδραῖσ* B > n | vor *Ἐφραὶμ* + *περὶ* rF | **3** *ἐν πόντω καὶ ἀσία* n | *διέπρεψαν* B | **3/4** *κατὰ τοῦτον τὸν καιρόν* > n | **3** *τοῦτον*] *τουτονὶ* GS *τουτονεὶ* V^2 *τοῦτον νννὶ* P | **5** *παρὰ* > V^2 *οὐάλεντοσ* r | *τῷ μεγάλῳ* — **6** *πολέμου*] *καὶ βαλεντινιανῶ* n | **7** *τοῦ* > ryF | **8** *τοῦ* > n | **9** *ἰσακίου* BGL *ἰσαάκου* V^2 | **10** *βετρανίωνοσ* BnAF *βετρανίονοσ* V^2 *βρεττανίωνοσ* SP *βρετανίωνοσ* L *βρεντανίωνοσ* G | *σκυθίασ* V^2y *σκυθίου* rAc *σκυθίων* F *σκυθων* B | **11** *γόθθων* s | *οὐάλεντοσ* rF *βάλεντα* B

ΤΟΜΟΣ ΤΕΤΑΡΤΟΣ ΤΗΣ ΘΕΟΔΩΡΗΤΟΥ ΕΚΚΛΗΣΙΑΣΤΙΚΗΣ ΙΣΤΟΡΙΑΣ

Μετὰ δὲ τὴν Ἰουλιανοῦ σφαγὴν συνελθόντες σὺν τοῖς ὑπάρχοις **1**
οἱ στρατηγοὶ ἐβουλεύοντο τίνα χρὴ τὴν βασιλείαν παραλαβεῖν, καὶ
τήν τε στρατιὰν ἐν τῇ πολεμίᾳ διασῶσαι τά τε Ῥωμαίων ἀναρρῶσαι
πράγματα ἐπὶ ξυροῦ ἀκμῆς ὄντα, τὸ δὴ λεγόμενον, διὰ τὴν τοῦ
κατοιχομένου θρασύτητα. τούτων δὲ περὶ τούτων βουλευομένων, ἡ **2**
στρατιὰ συναθροισθεῖσα κατὰ ταὐτὸν Ἰοβιανὸν ἐξήτησε βασιλέα, οὔτε
στρατηγὸν ὄντα οὔτε τῶν μετ' ἐκείνους. ἐπίσημον δὲ ἄνδρα καὶ
περιφανῆ καὶ πολλῶν ἕνεκα γνώριμον· σῶμά τε γὰρ μέγιστον εἶχε
καὶ ψυχὴν μεγαλόφρονα, καὶ ἀριστεύειν ἐν τοῖς πολέμοις εἰώθει καὶ
ἐν τοῖς ἀγῶσι τοῖς μείζοσι. παρρησίᾳ γὰρ κατὰ τῆς ἀσεβείας χρησά-
μενος τοῦ τυράννου τὴν δυναστείαν οὐκ ἔδεισεν, ἀλλὰ κατὰ τὴν
προθυμίαν τοῖς τοῦ σωτῆρος ἡμῶν μάρτυσι συνετέτακτο. τότε δὴ
οἱ στρατηγοί, τῆς στρατιᾶς τὴν συμφωνίαν θείαν ψῆφον ὑπολαβόντες,
ἤγαγον εἰς μέσον τὸν πάντα ἄριστον ἄνδρα ἐκεῖνον, καὶ βῆμα σχεδιά-
σαντες ὑψηλὸν ἔστησαν ἐπὶ τούτου. εἶτα πάντων αὐτῷ τὰ βασιλικὰ **4**
προσενηνοχότων προσρήματα καὶ Αὔγουστον προσαγορευσάντων καὶ

3—S. 211, 10 vgl. Rufin. H. E. XI 1 [Georg. Mon. 548, 14]. Socrat. III 22, 1—5. Sozomen. VI 3, 1. Zonar. XIII 14, 2 u. 20 S. 70, 6 u. 72, 10. Cedren. I 539, 15. Leo Grammat. 95, 7. Synops. 57, 9. Chronic. Pasch. 552, 17. Amm. Marcell. 25, 5 u. 10, 14

B V² HN (n) + GS (s) = r AL (y) F

1 *τόμος* — **2** *ἱστορίας* A *τάδε περιέχει καὶ ὁ δ΄ τόμος τῆς ἐκκλησιαστικῆς ἱστορίας* N *τόμος τέταρτος* G *τόμος δ̄* SLF *λόγος δ̄* B > V²H | **3** *ᾱ* am Rand BF | nach *Ἰουλιανοῦ* + *τοῦ τοῦ τυράννου* B | **4** *ἐβουλεύοντο* BV² *ἐβουλεύσαντο* ryF | **5** *τε*¹ > B | *ἐπιρρῶσαι* B | **6** *ἀκμῆς ὄντα*] *ἀκμάσαντα* V² | **7** *τούτων δὲ*: *ᾱ* am Rand y | *δὲ*] *δὴ* F | *τούτων*²] *τούτου* B | **8** *καταυτὸν* B | *ἰοβιανὸν* ByF (aber *o* auf Rasur A) *ἰοβανὸν* V² *ἰοβιανὸν* r | **10** *εἵνεκα* HGF *εἵ* auf Rasur V² | **11** *ἐν τοῖσ* B *ἔν τε* V² *ἐν* ryF | **14** *σωτῆρος ἡμῶν*] *σῦ̄σ* s *χῦ̄* n | **15** *συμφωνίαν*] *συγγραφίαν* L | *ὑπολαβότεσ* s | **16** *ἐκεῖνον ἄνδρα* ∼ V²L | **17** *αὐτῶν* yF | **18** *καὶ*² > A

Καίσαρα, τῇ συνήθει παρρησίᾳ χρησάμενος ὁ ἀξιάγαστος ἐκεῖνος ἀνήρ, καὶ μήτε τοὺς ἄρχοντας δείσας μήτε τῶν στρατιωτῶν τὴν ἐπὶ τὰ χείρω μεταβολήν· »οὐ δύναμαι«, ἔφη, »Χριστιανὸς ὢν τῶν τοιούτων ἄρχειν οὐδὲ τῆς Ἰουλιανοῦ στρατιᾶς βασιλεύειν πονηρὰ παιδευθείσης μαθήματα· οἱ γὰρ τοιοῦτοι, τῆς θείας προμηθείας γεγυμνωμένοι, εὐάλωτοί τέ εἰσιν καὶ λίαν εὐεπιχείρητοι, καὶ ἐπίχαρτοι τοῖς πολεμίοις γενήσονται«. τούτων ἀκούσαντες τῶν λόγων οἱ στρατιῶται 5
κοινὴν ἀφῆκαν φωνήν· »μὴ ἐνδοιάσῃς, ὦ βασιλεῦ, μηδὲ τὴν ἡμετέραν ὡς πονηρὰν φύγῃς ἡγεμονίαν· Χριστιανῶν γὰρ βασιλεύσεις καὶ μαθήμασιν εὐσεβέσι συντεθραμμένων. οἱ μὲν γὰρ ἐν ἡμῖν γεραίτεροι καὶ 6
τῆς Κωνσταντίνου διδασκαλίας ἀπήλαυσαν, οἱ δὲ μετ' ἐκείνους τῶν Κωνσταντίου μετέλαχον παιδευμάτων· τούτου δὲ τοῦ τεθνεῶτος ὀλίγος τῆς ἡγεμονίας ὁ χρόνος καὶ οὐχ ἱκανὸς οὐδὲ τοῖς ἐξηπατημένοις ἐνιδρῦσαι τὴν λώβην«.

Ἐπὶ τούτοις ἡσθεὶς τοῖς λόγοις ὁ βασιλεὺς ἐβουλεύετο λοιπὸν 2
περὶ τῆς τῶν κοινῶν σωτηρίας καὶ ὅπως ἐκ τῆς πολεμίας ἀπήμαντον ἀπαγάγοι τὴν στρατιάν. οὐκ ἐδεήθη δὲ βουλευμάτων πολλῶν, ἀλλὰ 2
τῶν τῆς εὐσεβείας σπερμάτων ἐτρύγησε τοὺς καρπούς. παραυτίκα γὰρ τὴν οἰκείαν ἔδειξε προμήθειαν ὁ τῶν ὅλων θεὸς καὶ τὴν φαινομένην ἔλυσεν ἀπορίαν. τὴν γὰρ τούτου βασιλείαν ὁ Περσῶν μεμαθηκὼς βασιλεὺς πρέσβεις ἀπέστειλεν ὑπὲρ εἰρήνης πρεσβευσομένους· εἶτα τροφὰς τοῖς στρατιώταις ἐξέπεμψε, καὶ ἀγορὰν αὐτοῖς ἐν τῇ ἐρήμῳ γενέσθαι προσέταξε. τριακοντούτεις δὴ οὖν σπονδὰς ποιησάμενος 3
ἐρρωμένην τὴν στρατιὰν τῆς πολεμίας ἐξέβαλε.

17—S. 212, 7 vgl. Rufin. H. E. XI 1, 1002 [Georg. Mon. 549, 9] — **20/21** vgl. Malal. 335, 4. Chronic. Pasch. 553, 6. Amm. Marcell. 25, 7, 5 — **23/24** vgl. Philostorg. VIII 1. Sozomen. VI 7, 10. Theophan. 53, 27

* **15—24** Cass. VII 1

B V² HN (n) + GS (s) = r AL (y) F

2 *μήτε*²*]καὶ* B | **3** *τῶν* > n | *τοιούτων*] *οὐ τοιούτων* F *οὐ τοιούτων* V² | **5** *προμηθείας* BV² *προνοίας* ryF, s. Z. 19 | **6** *τέ εἰσιν καὶ λίαν* (*λείαν* B) *εὐεπιχείρητοι* BV² > ryF | **8** *ἐνδνάσης* BF | **9** *βασιλεύεις* BF | **10** *εὐσεβέσι* BV²r *εὐσεβείας* yF | *γεραιότεροι* F | **11** *ἀπέλαυσαν* V²L und, vor Correctur, F | *ἐκείνου* F | **13** *ὁ* > s | *οὐδὲ*] *οὔτε* B | **14** *ἰδρῦσαι* B | **15** *ὁ βασιλεὺς τοῖς λόγοις* ~ ryF | **16** *πολεμίας*] *πολεμικῆς* s | **18** *παραχρῆμα* L | **19** *προμήθειαν ἔδειξεν* ~ V² | **20** *ἀπορίαν, ἀπο* auf Rasur Ac | **21** *πρεσβευσομένους* B *πρεσβευσόμενος* V² *πρεσβευομένους* ryF | **23** *τριακοντούντις* B | **24** *πολεμίας*] *βασιλείας* B | *ἐξέβαλε*] *ἐξέλαβε* oder *ἐξήγαγε* Val.

Παραυτίκα δὲ τῆς ὑπ᾽ αὐτοῦ βασιλευομένης γῆς ἐπιβάς, πρῶτον [β′]
μὲν ἔγραψε νόμον καὶ τοὺς ἐπισκόπους ἐπανελθεῖν ἐκ τῆς ἐξορίας
διαγορεύοντα καὶ τὰς ἐκκλησίας ἀποδοθῆναι παρεγγυῶντα τοῖς τὴν
ἐκτεθεῖσαν ἐν Νικαίᾳ πίστιν διατετηρηκόσιν ἀκήρατον. ἐπέστειλε 4
δὲ καὶ πρὸς Ἀθανάσιον ἐκεῖνον τὸν τούτων πρόμαχον τῶν δογμά-
των, γραφῆναί οἱ παρακαλῶν τὴν ἀκριβῆ περὶ τῶν θείων διδασκα-
λίαν. ὁ δὲ τοὺς λογιμωτέρους τῶν ἐπισκόπων ἀγείρας ἀντέγραψε 5
τὴν ἐν Νικαίᾳ ἐκτεθεῖσαν πίστιν φυλάττειν παρακαλῶν, ὡς τοῖς
ἀποστολικοῖς συμβαίνουσαν δόγμασιν. ἐνθήσω δὲ καὶ τὴν ἐπιστολήν,
τῆς τῶν ἐντευξομένων προμηθούμενος ὠφελείας.

»Τῷ εὐλαβεστάτῳ καὶ φιλανθρωποτάτῳ Νικητῇ Αὐγούστῳ 3
»Ἰοβιανῷ Ἀθανάσιος καὶ οἱ λοιποὶ ἐπίσκοποι οἱ ἐλθόντες ἐκ προσώ-
»που πάντων τῶν ἀπὸ τῆς Αἰγύπτου καὶ Θηβαΐδος καὶ Λιβύων
»ἐπισκόπων.

»Πρέπουσα θεοφιλεῖ βασιλεῖ φιλομαθὴς προαίρεσις καὶ πόθος
»τῶν οὐρανίων· οὕτως γὰρ ἀληθῶς καὶ τὴν καρδίαν ἔχεις ἐν χειρὶ
»θεοῦ καὶ τὴν βασιλείαν μετ᾽ εἰρήνης πολλαῖς ἐτῶν περιόδοις ἐπι-
»τελέσεις. θελησάσης τοίνυν τῆς σῆς εὐσεβείας μαθεῖν παρ᾽ ἡμῶν 2
»τὴν τῆς καθολικῆς ἐκκλησίας πίστιν, εὐχαριστήσαντες ἐπὶ τούτῳ τῷ

11—S. 216, 7 bei Timotheus fr. 182 [Lietzmann, Apollinaris 279] — **15**—S. 216, 7 bei Athanas. PG 26, 813 — **16/17** Prov. 21, 1

* **1—8** Cod. syriac. Br. Mus. Add. 14, 725 f. 190r (= Σ) — **1**—S. 216, 16 Cass. VII 3 — **4**—S. 216, 9 Niceph. H. E. X 42

B V² HN (n) + GS (s) = r AL (y) F W [von **11** an]

1 β am Rand HSS | *βασιλευομένης ὑπ᾽ αὐτοῦ* ∾ V² | **2** *μὲν* nur in B **3** *διαγορεύοντα*] *κελεύοντα* B | *παρεγγυῶντα* V²HAc *παρεγγυῶν* BNsyF > Σ | **4** *ἐκτεθεῖσαν* BV²Cass. Σ > ryF | *πίστιν ἐν Νικαίᾳ* ∾ B | **5** *πρόμαχον*] *ὑπέρμαχον* B | **6** *οἱ* BV² *αὐτῶ* ryF | **7** *λογιμωτέρους* By *λογιωτέρους* V² *ἐλλογιμωτέρους* rNic. *ἐλλογικωτέρους* F | **9** *συμβαίνουσιν* B | **11** γ̄ am Rand BV²yF | *ὑπαγορία τοῦ μεγάλου ἀθανασίου* sm | nach *Τῷ* + *μεγάλῳ καὶ* s, Tim. wie im Text | *εὐλαβεστάτῳ*] *εὐσεβεστάτω* WTim., *piissimo* Cass. | **12** *ἰοβιανῶ* V²LW Tim. und, *o* auf Rasur, AF *ἰωβιανῶ* B *ἰουβιανῶ* r | **13** *λιβύων* V²ryF Tim. *λιβύης* BW *Libyae* Cass. | **14** *ἐπίσκοποι* y | **15** *προαίρεσις* = Cass. Athan. Tim.] *πρόσρησις* B | **16** *ἔχεις*] *ἔχοις* n *ἕξεις* Athan. Tim. *habens* Cass. | **17** *καὶ τὴν* — **18** *ἐπιτελέσεις* Π Cass. Tim. > Athan. | **17/18** *ἐπιτελέσεις*] *ἐπιτελέσαις* n *διατελέσεις* Tim., *gubernabis* Cass. | **19** *τούτῳ* = Tim. *ob hoc* Cass.] *τοῦτο* AG *τούτοις* Athan.

»κυρίῳ ἐβουλευσάμεθα πάντων μᾶλλον τὴν παρὰ τῶν πατέρων ὁμο-
»λογηθεῖσαν ἐν Νικαίᾳ πίστιν ὑπομνῆσαι τὴν σὴν θεοσέβειαν. ταύτην 3
»γὰρ ἀθετήσαντές τινες ἡμῖν μὲν ποικίλως ἐπεβούλευσαν ὅτι μὴ πει-
»θόμεθα τῇ Ἀρειανῇ αἱρέσει, αἴτιοι δὲ γεγόνασιν αἱρέσεως καὶ σχι-
»σμάτων τῇ καθολικῇ ἐκκλησίᾳ. ἡ μὲν ἀληθὴς καὶ εὐσεβὴς εἰς τὸν
»κύριον ἡμῶν Ἰησοῦν Χριστὸν πίστις φανερὰ πᾶσι καθέστηκε καὶ
»ἐκ τῶν θείων γραφῶν γιγνωσκομένη τε καὶ ἀναγιγνωσκομένη. ἐν ταύτῃ 4
»γὰρ καὶ οἱ ἅγιοι τελειωθέντες ἐμαρτυρήθησαν καὶ νῦν ἀναλύσαντές
»εἰσιν ἐν κυρίῳ. ἔμεινε δὲ ἀεὶ ἡ πίστις διὰ παντὸς ἀβλαβής, εἰ μὴ
»πονηρία τινῶν αἱρετικῶν παραποιῆσαι ταύτην ἐτόλμησεν. Ἄρειος
»γάρ τις καὶ οἱ σὺν αὐτῷ διαφθεῖραι ταύτην καὶ ἀσέβειαν κατ᾽ αὐτῆς
»ἐπεισαγαγεῖν ἐπεχείρησαν, φάσκοντες ἐξ οὐκ ὄντων καὶ κτίσμα καὶ
»ποίημα καὶ τρεπτὸν εἶναι τὸν υἱὸν τοῦ θεοῦ, πολλούς τε ἐν τούτοις
»ἠπάτησαν, ὥστε καὶ τοὺς δοκοῦντας εἶναί τι συναπαχθῆναι αὐτῶν
»τῇ δυσφημίᾳ. καὶ φθάσαντες μὲν οἱ ἅγιοι πατέρες ἡμῶν, συνελθόν- 5
»τες ὡς προεῖπον ἐν τῇ κατὰ Νίκαιαν συνόδῳ, τὴν μὲν Ἀρειανὴν
»αἵρεσιν ἀνεθεμάτισαν, τὴν δὲ τῆς καθολικῆς ἐκκλησίας πίστιν ὡμο-
»λόγησαν ἐγγράφως, ὥστε ταύτης πανταχοῦ κηρυττομένης ἀποσβε-
»σθῆναι τὴν ἀναφθεῖσαν αἵρεσιν παρὰ τῶν αἱρετικῶν. ἦν μὲν οὖν 6
»αὕτη κατὰ πᾶσαν ἐκκλησίαν γιγνωσκομένη τε καὶ κηρυττομένη.
ἀλλ᾽ ἐπειδὴ τὴν Ἀρειανὴν αἵρεσιν ἀνανεῶσαι βουλόμενοι τινὲς μὲν 7

7 vgl. II Kor. 3, 2 — **7—9** vgl. Hebr. 11, 2 f u. 39—40. Phil. 1, 23 — **14** vgl. Gal. 2, 6 u. 13

B V² HN(n) + GS(s) = r AL(y) F W

1/2 *ἐν Νικαίᾳ ὁμολογηθεῖσαν* ∾ s Athan. | **3/4** *πειθόμεθα* BV²HSW *πειθόμενοι* NGF *ἐπείσθημεν* y *ἐπειθόμεθα* Athan. Tim. *quod non . . . consentiremus* Cass. | **4** *αἱρέσεως* = Cass. Athan. Tim. > A, *διαιρέσεως* Val. | **5** *μὲν*] *μὲν οὖν* V² *ergo* Cass. *μὲν γὰρ* Athan. Tim. | **6** *καθέστηκε πᾶσι* ∾ r | *καὶ Π* Cass. > Athan. Tim. | **8** *ἐμαρτυρήθησαν* BV²nGFW *martyrio consummati sunt* Cass. *ἐμαρτύρησαν* Sy Athan. Tim. | **9** *ἔμεινε δὲ ἀεὶ* (*ἀεὶ* > W, nach *ἡ πίστις* ∾ V²s) *Π manserat itaque semper* Cass. *καὶ ἔμεινεν ἂν* Athan. *ἔμεινεν δ᾽ ἂν* Tim. | *διὰ παντὸς ἀβλαβής* = Tim.] *ἀβλαβὴς διὰ παντός* r Athan. *ἀβλαβής* W *illaesa* Cass. | **10** *ταύτην* V²Athan. Tim. *eam* Cass. > BryFW | **11** *τις* > F | **12** *ἐξ οὐκ ὄντων* = Cass. Athan. Tim. > V² | **15** *δυσφημίᾳ*] *βλασφημία* WAthan. Tim. *blasphemia* Cass. | **16** *προεῖπον Π προείπομεν* Athan. Tim. *praediximus* Cass. **17** *καθολικῆς ἐκκλησίας*] *ἐκκλησιαστικῆς* s | **18** *ἐγγράφως* = Cass. Athan. Tim. > V² | **19** *ἀναφανεῖσαν* F | **20** *αὕτη* BryFW Cass. Tim. *αὕτη* + *πανταχοῦ* V²AcAthan. | *γιγνωσκομένη* = Athan. Tim.] *ἀναγινωσκομένη* W *legebatur* Cass. | **21** *ἀλλ᾽* — S. 214, 5 *γεγονός* > W | *ἀνανεῶσαι* = Athan. Tim.] *ἀνανεώσασθαι* B | **21 f** *μὲν αὐτὴν* = Tim.] *αὐτὴν* V² *ταύτην μὲν* Athan.

»αὐτὴν τὴν ἐν Νικαίᾳ παρὰ τῶν πατέρων ὁμολογηθεῖσαν πίστιν
»τετολμήκασιν ἀθετῆσαι, τινὲς δὲ σχηματίζονται ὁμολογεῖν αὐτήν,
»ταῖς δὲ ἀληθείαις ἀρνοῦνται, παρερμηνεύοντες τὸ ὁμοούσιον, καὶ
»οὗτοι βλασφημοῦντες τὸ πνεῦμα τὸ ἅγιον ἐν τῷ φάσκειν αὐτοὺς
»κτίσμα εἶναι καὶ ποίημα διὰ τοῦ υἱοῦ γεγονός, ἀναγκαίως θεωρήσαν-
»τες τὴν ἐκ τῆς τοιαύτης βλασφημίας βλάβην γιγνομένην κατὰ τῶν
»λαῶν, ἐπιδοῦναι τῇ σῇ εὐσεβείᾳ τὴν ἐν Νικαίᾳ ὁμολογηθεῖσαν πίστιν
»ἐσπουδάσαμεν, ἵνα γνῷ σου ἡ θεοσέβεια μεθ' ὅσης ἀκριβείας γέγρα-
»πται καὶ ὅσον πλανῶνται οἱ παρ' αὐτὴν διδάσκοντες.

»Γίγνωσκε, θεοφιλέστατε Αὔγουστε, ὅτι αὕτη μέν ἐστιν ἡ ἐξ 8
»αἰῶνος κηρυττομένη, ταύτην δὲ ὡμολόγησαν οἱ ἐν Νικαίᾳ συνελθόν-
»τες πατέρες καὶ ταύτῃ σύμψηφοι τυγχάνουσι πᾶσαι αἱ κατὰ τόπον
»ἐκκλησίαι, αἵ τε κατὰ τὴν Σπανίαν καὶ Βρεττανίαν καὶ Γαλλίας,
»καὶ τῆς Ἰταλίας πάσης καὶ Δαλματίας, Δακίας τε καὶ Μυσίας, Μακε-
»δονίας καὶ πάσης Ἑλλάδος, καὶ αἱ κατὰ τὴν Ἀφρικὴν πᾶσαι καὶ
»Σαρδανίαν καὶ Κύπρον καὶ Κρήτην, Παμφυλίαν τε καὶ Λυκίαν καὶ
»Ἰσαυρίαν, καὶ αἱ κατὰ πᾶσαν Αἴγυπτον καὶ Λιβύας καὶ Πόντον καὶ
»Καππαδοκίαν καὶ τὰ πλησίον μέρη, καὶ αἱ κατὰ τὴν Ἀνατολὴν
»ἐκκλησίαι, πάρεξ ὀλίγων τῶν τὰ Ἀρείου φρονούντων. πάντων γὰρ 9
»τῶν προειρημένων τῇ πείρᾳ ἐγνώκαμεν τὴν γνώμην καὶ γράμματα
ἔχομεν. καὶ οἴδαμεν, θεοφιλέστατε Αὔγουστε, ὅτι κἂν ὀλίγοι τινὲς

B V² HN (n) + GS (s) = r AL (y) F W

2 δὲ > V² | nach σχηματίζονται + μὲν Athan. Tim. | **5** ἀναγκαῖον s | **6** γιγνομένην = Cass. Athan.] γινωσκομένην V² > W Tim. | **7** εὐσεβείᾳ = Tim.] εὐλαβεία F Athan. | τὴν ἐν — **8** θεοσέβεια > s | **10** Γίγνωσκε — S. 215, 3 καὶ ὑπὲρ > W | αὕτη μέν ἐστιν ἡ Parm.] αὕτη μὲν ἡ V²rF αὕτη μὲν BTim. αὕτη ἐστὶν ἡ y *haec quidem praedicatur* Cass. ταῦτα μὲν (. . . κηρυττόμενα) Athan.; ἐστι steht nach **11** αἰῶνός bei Athan. Tim. | **11** δὲ = Athan. Tim. *et* Cass. > y | **12** ταύταις V² | **13** αἵ übergeschrieben V² | ἱσπανίαν y | **14** vor τῆς + αἱ übergeschrieben H | Δαλματίας Δακίας Athan. Tim. δαλματίασ καππαδοκίασ BV² καμπανίασ δαλματίασ δακίασ y καππανίασ καὶ δαλματίασ καππαδοκίασ F δαλματίασ καμπανίασ r *in Dalmatiis* Cass.; ob Δαλματίας, Παννονίας, Δακίας? vgl. S. 101, 6 | **15** αἱ = Tim. > B Athan., übergeschrieben V² | πᾶσαι Π Tim. πᾶσαν Athan. *in universa Africa* Cass. | **16/17** Ἰσαυρίαν καὶ Λυκίαν ∽ n | **17** nach Ἰσαυρίαν + καὶ Πισιδίαν Tim. | αἱ Hs Athan. Tim. > BV²NsyF | κατὰ > y | λιβύασ BsL λίβυασ A τὰς Λιβύας Athan. Tim. λιβύησ N λιβύην V²HF *Libya* Cass. | καὶ³ > B | **18** τὴν ἀνατολὴν B Athan. Codd. Par. Bas. ἀνατολὴν Tim. ἀνατολὰσ V²ryF | **20** πείρᾳ ἐγνώκαμεν] παραεγνώκαμεν B | γράμματα = Athan. Tim.] τὰ γράμματα B — **21** οἴδαμεν Π Cass. οἶδας Athan. Tim. | κἂν] καὶ L κὰν Ac

»ἀντιλέγωσι ταύτῃ τῇ πίστει, οὐ δύνανται πρόκριμα ποιεῖν πάσῃ τῇ »οἰκουμένῃ. πολλῷ γὰρ χρόνῳ βλαβέντες ἀπὸ τῆς Ἀρειανῆς αἱρέσεως, »φιλονεικότερον νῦν ἀνθίστανται τῇ εὐσεβείᾳ. καὶ ὑπὲρ τοῦ γιγνώσκειν »τὴν σὴν εὐσέβειαν, καίτοι γιγνώσκουσαν, ὅμως ἐσπουδάσαμεν τὴν ἐν »Νικαίᾳ πίστιν ὁμολογηθεῖσαν ὑπὸ τριακοσίων δέκα καὶ ὀκτὼ ἐπισκό- »πων ὑποτάξαι. ἔστι δὲ αὕτη ἡ ἐν Νικαίᾳ πίστις·

»Πιστεύομεν εἰς ἕνα θεόν, πατέρα παντοκράτορα, πάντων ὁρατῶν **10** »τε καὶ ἀοράτων ποιητήν· καὶ εἰς ἕνα κύριον Ἰησοῦν Χριστόν, τὸν »υἱὸν τοῦ θεοῦ, γεννηθέντα ἐκ τοῦ πατρὸς μονογενῆ, τουτέστιν ἐκ »τῆς οὐσίας τοῦ πατρός, θεὸν ἐκ θεοῦ, φῶς ἐκ φωτός, θεὸν ἀληθινὸν »ἐκ θεοῦ ἀληθινοῦ, γεννηθέντα, οὐ ποιηθέντα, ὁμοούσιον τῷ πατρί, »δι' οὗ τὰ πάντα ἐγένετο τά τε ἐν τῷ οὐρανῷ καὶ τὰ ἐπὶ τῆς γῆς, »τὸν δι' ἡμᾶς τοὺς ἀνθρώπους καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν »κατελθόντα, σαρκωθέντα, ἐνανθρωπήσαντα, παθόντα καὶ ἀναστάντα »τῇ τρίτῃ ἡμέρᾳ, ἀνελθόντα εἰς τοὺς οὐρανούς, ἐρχόμενον κρῖναι »ζῶντας καὶ νεκρούς· καὶ εἰς τὸ ἅγιον πνεῦμα. τοὺς δὲ λέγοντας **11** »ὅτι ἦν ποτε ὅτε οὐκ ἦν, καὶ πρὶν γεννηθῆναι οὐκ ἦν, καὶ ὅτι ἐξ »οὐκ ὄντων ἐγένετο, ἢ ἐξ ἑτέρας ὑποστάσεως ἢ οὐσίας φάσκοντας »εἶναι, ἢ κτιστὸν ἢ τρεπτὸν ἢ ἀλλοιωτὸν τὸν υἱὸν τοῦ θεοῦ, τούτους »ἀναθεματίζει ἡ ἁγία καθολικὴ καὶ ἀποστολικὴ ἐκκλησία.

»Ταύτῃ τῇ πίστει, θεοφιλέστατε Αὔγουστε, ἐπιμένειν ἀναγκαῖον **12** »ὡς θείᾳ καὶ ἀποστολικῇ, καὶ μηδένα μετακινεῖν αὐτὴν πιθανολογίαις »καὶ λογομαχίαις· ὅπερ ἐποίησαν ἐξ ἀρχῆς οἱ Ἀρειομανῖται, ἐξ οὐκ »ὄντων τὸν υἱὸν τοῦ θεοῦ λέγοντες, καὶ ὅτι ἦν ποτε ὅτε οὐκ ἦν, »καὶ κτιστὸς καὶ ποιητὸς καὶ τρεπτός ἐστι. διὰ τοῦτο γάρ, καθὰ »προείπαμεν, καὶ ἡ ἐν Νικαίᾳ σύνοδος ἀνεθεμάτισε τὴν τοιαύτην »αἵρεσιν, τὴν δὲ τῆς ἀληθείας πίστιν ὡμολόγησεν. οὐ γὰρ ἁπλῶς **13**

21—23 vgl. Kol. 1, 23. 2, 4. 1 Tim. 6, 4

B V² HN (n) + GS (s) = r AL (y) F W [bis **22** *ἀποστολικῇ*]

1 *ἀντιλέγωσι* V²nSF Athan. *ἀντιλέγουσι* BGy Tim. | **5** *ὑπὸ* = Tim.] *ὑπὸ τῶν* V²W und Athan., der aber *τριακοσίων δέκα καὶ ὀκτὼ* ausläßt wie Tim. *δέκα καὶ ὀκτὼ* | **5/6** *ἐπισκόπων* = Cass. Athan. Tim.] *πατέρων* s | **6** bei Timotheus steht das Symbol hinter *θεότητα* unten 216, 7 | **14** *κατελθόντα*] *κατελθόντα ἐκ τῶν οὐρανῶν* B *descendit de coelis* Cass. (aber *de coelis* > Cod. L) *κατελθόντα καὶ* Athan. Tim. | **15** *τοὺς* > HGLF, gestrichen in A | **17** *ὅτι*¹ BV²H Tim. > NsyFW Cass. Athan. | **20** *ἁγία* = Cass. > N Athan. Tim. | **21** *ἀναγκαῖον ἐπιμένειν* ∽ B, Cass. wie im Text | **22** *μετακινεῖν* = Athan. Tim.] *κινεῖν* n, *movere* Cass. | **25** *καὶ ποιητὸς* > F | **25/26** *καθὰ προείπαμεν* ryF Athan. Codd. Par. Bas. *καθὰ προείπομεν* Tim. und, *o* auf Rasur, V² *sicuti praediximus* Cass. *καθάπερ εἴπαμεν* B

»ὅμοιον εἰρήκασι τὸν υἱὸν τῷ πατρί, ἵνα μὴ ἁπλῶς ὅμοιος θεοῦ,
»ἀλλ' ἐκ θεοῦ θεὸς ἀληθινὸς πιστεύηται, ἀλλὰ καὶ ὁμοούσιον ἔγραψαν,
»ὅπερ ἴδιόν ἐστι γνησίου καὶ ἀληθινοῦ υἱοῦ, ἐξ ἀληθινοῦ καὶ φύσει
»πατρός. ἀλλ' οὐδὲ ἀπηλλοτρίωσαν τὸ πνεῦμα τὸ ἅγιον ἀπὸ τοῦ 14
»πατρὸς καὶ τοῦ υἱοῦ, ἀλλὰ μᾶλλον συνεδόξασαν αὐτὸ τῷ πατρὶ καὶ
»τῷ υἱῷ ἐν τῇ μιᾷ τῆς ἁγίας τριάδος πίστει, διὰ τὸ καὶ μίαν εἶναι
»τὴν ἐν τῇ ἁγίᾳ τριάδι θεότητα.«

Τούτοις ὁ βασιλεὺς τοῖς γράμμασιν ἐντυχὼν ἐβεβαίωσεν ἣν εἶχε 4
περὶ τῶν θείων γνῶσίν τε καὶ διάθεσιν. καὶ νόμον ἕτερον ἔγραψε
τοῦ σίτου τὴν σύνταξιν ἀποδοθῆναι ταῖς ἐκκλησίαις κελεύσας ἣν ὁ
μέγας Κωνσταντῖνος ἀπένειμεν. Ἰουλιανὸς γὰρ καὶ ταύτην ἐκεκωλύκει
τὴν χορηγίαν, ἅτε δὴ τὸν κατὰ τοῦ θεοῦ καὶ σωτῆρος ἡμῶν ἀναδεξά-
μενος πόλεμον. ἐπειδὴ δὲ ὁ ἐκ τῆς ἐκείνου δυσσεβείας ἐπισκήψας 2
λιμὸς ἐπεῖχεν εἰσπράττειν τὰς εἰσφοράς, τῆς Κωνσταντίνου συντάξεως
τὸ τριτημόριον Ἰοβιανὸς τὸ τηνικαῦτα παρασχεθῆναι προσέταξεν, ὑπο-
σχόμενος τοῦ λιμοῦ παυσαμένου τέλειον παρέξειν τὸ σιτηρέσιον.

Τοιούτοις νόμοις τὰ τῆς βασιλείας κατακοσμήσας προοίμια, ἀπὸ 5
τῆς Ἀντιοχέων ἐπὶ τὸν Βόσπορον ὥρμησεν. ἐν Δαδαστάνῃ δὲ (κώμη
δὲ αὕτη Βιθυνῶν καὶ Γαλατῶν ἐν μεθορίῳ κειμένη) τοῦδε τοῦ βίου
τὸ τέλος ἐδέξατο, αὐτὸς μὲν μετὰ μεγίστων καὶ καλλίστων ἐφοδίων
ἀπάρας, τοὺς δὲ τῆς βασιλικῆς ἐκείνης ἡμερότητος γεγευμένους ἐν
ὀδύνῃ καταλιπών. οἶμαι δὲ τῶν ὅλων τὸν πρύτανιν, τὴν ἡμετέραν 2
διελέγχοντα πονηρίαν, καὶ δεικνύναι ἡμῖν τὰ ἀγαθὰ καὶ τούτων
ἡμᾶς πάλιν γυμνοῦν, καὶ δι' ἐκείνου μὲν διδάσκειν ὡς μάλα εὐπετῶς

9—13 vgl. Sozomen. VI 3, 4. Philostorg. VIII 5. Theophan. 53, 33. ob. S. 47, 1 f. 182, 8 — **17—22** vgl. Sozomen. VI 6, 1. Socrat. III 26, 1—5. Philostorg. VIII 8. Rufin. H. E. XI 1. Theophan. 54, 19. Zonar. XIV 10 S. 71, 8

B V² HN (n) + GS (s) = r AL (y) F

1 *τὸν υἱὸν τῷ πατρί* = Cass. Athan. Tim.] *τῶ πατρὶ τὸν υἱόν* B | nach *ἁπλῶς* + *ἤ* r | *θεοῦ Π θεῷ* Athan. Tim. | **3** *ἴδιόν* = Cass. Athan. > A Tim. *καὶ*² = Athan. Tim. > B | **5** *αὐτῶ* A | **8** *δ̄* am Rand HSS | **10** *σύναξιν* n **15** *Ἰοβιανὸς* BV²L *ὁ Ἰοβιανὸς* F *Ἰωβιανὸς* A *Ἰονβιανὸς* r | *τὸ*² nur in B **16** *παρέξειν* B *παρασχεῖν* V²ryF | **17** *ε̄* am Rand BryF | **18** *τὸν*] *τοῦ* B | *ἐν δαδαστάνῃ δὲ* y *ἐν δασδασθένῃ δὲ* V² *ἐν δὲ δασθάνῃ* sF *ἐν δὲ θασθάνῃ* n *ἐν θαδασθανῃ* B; vielleicht im Urtext *ἐν δαδασθάνῃ δὲ*, vgl. Theophan. *ἐν Δαδασθάνοις*; *Δαδάστανα* Socrat. Sozom. Philostorg. Malal. Chron. Pasch. Zonar. | **19/20** *τοῦδε τοῦ βίου τὸ τέλος*] *τὸ τοῦ βίου τέλος* y | **20** *μὲν* > B | **21** *γεγευμένους*] *γεγυμνωμένους* V² | **22** *καταλελοίπει* V² | *οἶμαι*: *ε̄* am Rand V² | **24** *ἡμᾶς γυμνοῦν πάλιν* ∾ B *πάλιν ἡμᾶς γυμνοῦν* ∾ V² | *διδάσκων* yF | *εὐπετῶς*] *εὐπρέπως* V²

παρέχειν ἃ βούλεται δύναται, διὰ δὲ τούτου καὶ διελέγχειν ὡς οὐκ ἀξίους τῶν ἀγαθῶν καὶ ἐπὶ τὸν ἀμείνω βίον προτρέπειν.

Τότε μέντοι τὴν ἀθρόαν τελευτὴν τοῦ βασιλέως οἱ στρατιῶται **6** μεμαθηκότες ἐθρήνησαν μὲν ὡς πατέρα τὸν ἀπελθόντα. Βαλεντινιανὸν δὲ ἐκεῖνον, τὸν τῇ χειρὶ τὸν νεωκόρον πατάξαντα καὶ εἰς τὸ προύριον ἐκπεμφθέντα, βασιλέα προὐβάλοντο, οὐκ ἀνδρείᾳ μόνον ἀλλὰ καὶ φρονήσει καὶ σωφροσύνῃ καὶ δικαιοσύνῃ καὶ μεγέθει σώματος διαπρέποντα. οὕτω δὲ ἦν βασιλικός τε καὶ μεγαλόφρων ὡς τῆς **2** στρατιᾶς πειραθείσης κοινωνὸν αὐτῷ προβαλέσθαι τῆς βασιλείας, ἐκεῖνο φάναι τὸ παρὰ πάντων ᾀδόμενον· »ὑμέτερον ἦν, ὦ στρατιῶται, βασιλέως οὐκ ὄντος, ἐμοὶ δοῦναι τῆς βασιλείας τὰς ἡνίας· ἐπειδὴ δὲ ταύτην ἐδεξάμην ἐγώ, ἐμὸν λοιπὸν καὶ οὐχ ὑμέτερον τὸ περὶ τῶν κοινῶν διασκοπεῖσθαι πραγμάτων«. τούσδε τοὺς λόγους καὶ θαυμά- **3** σαντες καὶ στέρξαντες οἱ στρατιῶται εἵποντο τοῖς ἐκείνου νεύμασιν ἰθυνόμενοι. ὁ δὲ τὸν ἀδελφὸν ἐκ Πανονίας μεταπεμψάμενος, ὡς οὐκ ὤφελε, κοινωνὸν ποιεῖται τῆς βασιλείας, οὐδέπω τὴν τῶν δογμάτων διαφθορὰν εἰσδεξάμενον· καὶ τῆς Ἀσίας αὐτῷ παραδοὺς τὰ σκῆπτρα καὶ μέντοι καὶ τῆς Αἰγύπτου, ἑαυτῷ τὴν Εὐρώπην ἀπένειμε. καὶ τὴν Ἑσπέραν καταλαβὼν πᾶσαν αὐτὴν ἐξεπαίδευσεν εὐνομίαν, **4** ἀπὸ τῶν τῆς εὐσεβείας κηρυγμάτων ἀρξάμενος.

Αὐξεντίου γάρ, ὃς τὴν Ἀρείου μὲν εἰσεδέξατο λώβην, Μεδιολάνου **5** [ζ'] δὲ τὴν ἐκκλησίαν πεπιστευμένος ἐν πλείσταις ἀπεκηρύχθη συνόδοις, τὸν βίον ὑπεξελθόντος, μεταπεμψάμενος τοὺς ἐπισκόπους ὁ βασιλεὺς

5/6 ob. S. 194, 20 f — **6—8** vgl. Synops. 58, 8. Zonar. XIII 15, 5 S. 73, 12. Leo Grammat. 96, 5. Cedren. I 541, 3. Socrat. IV 1, 3 — **8—13. 16. 18/19** vgl. Philostorg. VIII 8. Sozomen. VI 6, 8—9. Synops. 58, 16. Zonar. ebd. 7 S. 73. 16. Cedren. I 541, 11. Leo Grammat. 96, 19. Amm. Marcell. 26, 2

* **6—20** Cass. VII 7 — **15**—S. 219, 19 Symeon. Vita Ambrosii 1 f PG 116, 861 B — **21**—S. 220, 4 Cass. VII 8

B V² HN (n) + GS (s) = r AL (y) F

1 *δύναται* > ryF | **3** ξ am Rand HSS | *τελευτὴν* übergeschrieben Ac **5** *τὸν νεωκόρον τῇ χειρὶ* ∾ s | **6** *προὐβάλλοντο* V²NF | **7** *καὶ δικαιοσύνῃ* > F | **8** *βασιλικῶς* B, *ὁσ* auf Rasur V² | **9** *σϛατιᾶς* A | *παραθείσης* L **10** *ἐκεῖνο*] *ἐκεῖνον* B, *ille responderit* Cass. | **12** *ταύτην*] *ταύτας* B | *καὶ* — *et* Cass. > y | **13** *τούσδε*] *τούτους δὲ* V² | **15** *πανονίας* ryFSymeon *παιωνίας* B *παιονίας* V² *poenia* Cass. Cod. L | **16** *ὤφελε* Hy *ὠφε''λε* V² *ὤφειλεν* BsF *ὄφελον* N *quod non debuit* Cass. | **17** *ἐκδεξάμενον* yF | **20** *ἀρξάμενος κηρυγμάτων* ∾ B, Symeon wie im Text | **21** ξ am Rand HSS | *μὲν* — s | *εἰσεδέξατο* BV²Symeon *διεδέξατο* ryF

τοιοῖσδε πρὸς αὐτοὺς ἐχρήσατο λόγοις· »ἴστε σαφῶς, ἅτε δὴ τοῖς 6
θείοις λογίοις ἐντεθραμμένοι, ὁποῖον εἶναι προσήκει τὸν ἀρχιερωσύνης
ἠξιωμένον, καὶ ὡς οὐ χρὴ λόγῳ μόνον ἀλλὰ καὶ βίῳ τοὺς ἀρχομένους
ῥυθμίζειν καὶ πάσης ἀρετῆς ἑαυτὸν ἀρχέτυπον προτιθέναι καὶ μάρ-
τυρα ἔχειν τῆς διδασκαλίας τὴν πολιτείαν. τοιοῦτον δὴ οὖν καὶ νῦν 7
τοῖς ἀρχιερατικοῖς ἐγκαθιδρύσατε θώκοις, ὅπως καὶ ἡμεῖς οἱ τὴν
βασιλείαν ἰθύνοντες εἰλικρινῶς αὐτῷ τὰς ἡμετέρας ὑποκλίνωμεν
κεφαλὰς καὶ τοὺς παρ' ἐκείνου γιγνομένους ἐλέγχους (ἀνθρώπους
γὰρ ὄντας καὶ προσπταίειν ἀνάγκη) ὡς ἰατρικὴν ἀσπαζώμεθα θερα-
πείαν«.

Ταῦτα τοῦ βασιλέως εἰρηκότος, αὐτὸν ἡ σύνοδος ἠξίου ψηφίσασθαι 7
σοφόν τε ὄντα καὶ εὐσεβείᾳ κοσμούμενον. ὁ δὲ ἔφη· »μεῖζον ἢ καθ'
ἡμᾶς τὸ ἐγχείρημα· ὑμεῖς γὰρ τῆς θείας ἠξιωμένοι χάριτος καὶ τὴν
αἵγλην ἐκείνην εἰσδεδεγμένοι ἄμεινον ψηφιεῖσθε«. οὗτοι μὲν οὖν
ἐξελθόντες καθ' ἑαυτοὺς ἐβουλεύοντο· οἱ δὲ τὴν πόλιν ἐκείνην
οἰκοῦντες ἐστασίαζον, οἱ μὲν τοῦτον, οἱ δὲ ἐκεῖνον προβληθῆναι
φιλονεικοῦντες. οἱ μὲν γὰρ τῆς Αὐξεντίου νόσου μετειληχότες τοὺς 2
ὁμόφρονας ἐψηφίζοντο, οἱ δὲ τῆς ὑγιαινούσης μοίρας ὁμογνώμονα
πάλιν ἐζήτουν ἔχειν ἡγούμενον. ταύτην Ἀμβρόσιος, ὁ τοῦ ἔθνους
τὴν πολιτικὴν ἡγεμονίαν πεπιστευμένος, τὴν στάσιν μαθὼν καὶ δείσας
μή τι νεώτερον γένηται, τὴν ἐκκλησίαν σὺν τάχει κατέλαβεν. οἱ δὲ 3
τῆς διαμάχης ἐκείνης πανσάμενοι κοινὴν ἀφῆκαν φωνήν, Ἀμβρόσιον

1 **f** vgl. Ambros. Epist. 21, 2 u. 5. PL 16. Sozomen. VI 7, 2 — **15**—S. 219, 1 vgl. Paulini Vita Ambrosii 6 PL 14, 31 A [griechisch Papadopoulos-Kerameus Ἀναλεκτὰ Ἱεροσολ. σταχυολογίας I S. 33] — **15**–S. 219, 6 vgl. Socrat. IV 30 — **15**—S. 219, 12 vgl. Sozomen. VI 24, 2—4. — **15**—S. 219, 15 vgl. Rufin. H. E. XI 11 [Georg. Mon. 558, 10]

* **19**—S. 220, 2 Exc. Tripart. [Polydeukes 410, 17. Theophan. 60, 23. Exc. Bar. f. 220v]

V² HN (n) + GS (s) = r AL (y) F

2 *λογίοις* V²S *λογείοις*, nach *ἐντεθραμμένοι* ∽, B *eloquiis* Cass. *λόγοις* nGyF Symeon | **3** *μόνον* BV²y Symeon Cass. *μόνω* rF | **4** *ἀρχέτυπον ἑαυτὸν* ∽ B, Symeon Cass. wie im Text | **4/5** *μάρτυρας* A | **6** *ἐνιδρύσατε θρόνοις* B *ἐγκαθιδρύσατε θρόνοις* Symeon | **7** *ὑποκλίνωμεν* ByF Symeon *ὑποκλίνοιμεν* V²r | **8** *γιγνομένους* V²ryF Symeon *γενομένους* B | **9** *προσπταίειν* V²ryF Symeon *πταίειν* B | *ἀσπαζώμεθα* V² *ἀσπαζόμεθα* Bs *ἀσπαζοίμεθα* ny *ἀσπασώμεθα* F Symeon | **14** *εἰσδεδεγμένοι* V²ryF Symeon *εἰσδεξάμενοι* B | *ψηφιεῖσθε* nSLF Symeon Cass. *ψηφιεῖσθαι* BV²GA | **15** *ἐβουλεύοντο* V²ry Symeon Cass. *ἐβουλεύσαντο* BF | **17** *μετειληχότες* V²ryF Symeon *μετειληφότες* B | **21** *σὺν*] *ἐν* F | **22** *διαμάχης* BV²syF *μάχης* n Symeon, *seditione* Cass.

σφίσιν ἐξαιτοῦντες προβληθῆναι ποιμένα. ἔτι δὲ οὗτος ἀμύητος ἦν. ταῦτα μαθὼν ὁ βασιλεὺς προσέταξε παραυτίκα καὶ μυηθῆναι καὶ χειροτονηθῆναι τὸν ἀξιέπαινον ἄνδρα· ἤδει γὰρ αὐτοῦ πάσης μὲν στάθμης εὐθυτέραν οὖσαν τὴν γνώμην, παντὸς δὲ κανόνος ἀκριβεστέρας τὰς ψήφους. ὑπέλαβε δὲ καὶ θείαν εἶναι τὴν ψῆφον, ἐκ 4
τῆς τῶν τἀναντία φρονούντων τεκμαιρόμενος συμφωνίας. ἐπειδὴ δὲ καὶ τῆς θείας τοῦ παναγίου βαπτίσματος ἀπήλαυσε δωρεᾶς καὶ τὴν ἀρχιερατικὴν ἐδέξατο χάριν, τοῦτον ὁ πάντα ἄριστος βασιλεὺς προσενηνοχέναι λέγεται τῷ σωτῆρι καὶ δεσπότῃ τὸν ὕμνον (καὶ γὰρ τοῖς γεγενημένοις παρῆν)· »χάρις σοι, δέσποτα παντοκράτορ καὶ 5
σῶτερ ἡμέτερε, ὅτι τῷδε τῷ ἀνδρὶ ἐγὼ μὲν ἐνεχείρισα σώματα, σὺ δὲ ψυχάς, καὶ τὰς ἐμὰς ψήφους δικαίας ἀπέφηνας«. ἐπειδὴ δὲ ὀλίγων διελθουσῶν ἡμερῶν ὁ θεῖος Ἀμβρόσιος σὺν παρρησίᾳ πλείστῃ τῷ βασιλεῖ διαλεγόμενος ἐπεμέμψατό τισιν ὡς οὐκ εὖ παρὰ τῶν ἀρχόντων γεγενημένοις· »ταύτην σου«, ἔφη ὁ βασιλεύς, »καὶ πάλαι ἤδειν τὴν παρρησίαν καὶ σαφῶς ἐπιστάμενος οὐ μόνον οὐκ ἀντεῖπον, ἀλλὰ καὶ σύμψηφος τῆς χειροτονίας γεγένημαι. ἰάτρευε οὖν, ὡς ὁ θεῖος ὑπαγορεύει νόμος, τὰ τῶν ἡμετέρων ψυχῶν πλημμελήματα«. ταῦτα 6
μὲν οὖν ἐν Μεδιολάνῳ καὶ εἶπε καὶ δέδρακε.

Μαθὼν δέ τινας ἐν τῇ Ἀσίᾳ καὶ ἐν τῇ Φρυγίᾳ περὶ τῶν θείων ἀμφισβητοῦντας δογμάτων, ἐν μὲν τῷ Ἰλλυρικῷ σύνοδον γενέσθαι προσέταξε, τὰ δὲ παρ' ἐκείνων καὶ ψηφισθέντα καὶ κυρωθέντα τοῖς ἀμφισβητοῦσιν ἐξέπεμψεν. ἐψηφίσαντο δὲ οἱ συνελθόντες τὴν ἐν Νικαίᾳ ἐκτεθεῖσαν πίστιν κρατεῖν. ἐπέστειλε δὲ καὶ αὐτός, κοινωνὸν 7

1 f vgl. Ambros. Epist. 21, 7 PL 16

* **2—19** Vaticanus syriac. 145 fol. 69v (= Σ) — **10—19** Niceph. H. E. XI 32

B V² HN (n) + GSP [P von **18** *μετέρων ψυχῶν* an] (s) = r AL (y) F

1 *σφίσιν*] *φησι* V² > B Cass., vgl. *ποιμένα ἑαυτῶν* Symeon | **2** *προσέταξε* V²ryF Symeon *ἐκέλευσεν* B | **3** *ἀξιέπαινον* Lm | *μὲν* vor *γὰρ* ∾ B | **4** *οὖσαν* = Symeon] *εἶναι* B | **5** *ὑπέλαβε* = Symeon] *ὑπελάμβανε* s | **6** *τῶν* > V²Ns Symeon | **7** *ἀπέλαυσε* F, *έ* auf Rasur V² | **8** *χάριν* V²ryF Symeon *gratiam* Cass. *χειροτονίαν* BΣ | *πανάριστος* F | **9** *γὰρ* = Symeon Cass.] *γὰρ δὴ* V² | **10** *παντοκράτορ* nSy Nic. Exc. Bar. und, *o* aus *ω* corr., V²F *παντοκράτωρ* BG Symeon Polyd. Theophan. Codd. bdy | **11** *σῶτερ* nF Nic. Symeon Polyd. Theophan. Exc. Bar. und, *ε* auf Rasur, V² *σώτηρ* Bsy | **12** *δὲ*² > V² | **14** *ἐπεμέμψατό* V²ny Nic. *ἐμέμψατό* BsF Symeon *quereretur* Cass., s. S. 178, 13; 195, 22 | **17** *ὁ* > L | **18** *διαγορεύει* F | *τὰ* nach *ψυχῶν* ∾ V² | **20** *ἐν τῇ*² > B, vgl. *in Asia et Phrygia* Cass. *ἐν Ἀσίᾳ καὶ Φρυγίᾳ* Polyd. Theophan. | **22** *καὶ*¹ > B Cass. **24** *ἐκτεθεῖσαν* = Cass. > A

τῶν γραμμάτων τὸν ἀδελφὸν ποιησάμενος, ἐμμένειν τοῖς δεδογμένοις παρεγγυῶν. ἀναγνώσομαι δὲ καὶ τὸν νόμον, σαφῶς αὐτοῦ κηρύττοντα τὴν εὐσέβειαν, ὡσαύτως δὲ καὶ τὴν τηνικαῦτα τοῦ Βάλεντος περὶ τὰ θεῖα δόγματα ὑγείαν δηλοῦντα.

»*Αὐτοκράτορες Μέγιστοι Ἀεισέβαστοι Νικηταὶ Αὔγουστοι Οὐαλεν-* 8
»*τινιανὸς καὶ Οὐάλης καὶ Γρατιανὸς ἐπισκόποις διοικήσεως Ἀσιανῆς,*
»*Φρυγίας, Καροφρυγίας, Πακατιανῆς, ἐν κυρίῳ χαίρειν.*

»*Συνόδου τηλικαύτης συγκροτηθείσης ἐν τῷ Ἰλλυρικῷ καὶ ζητή-*
»*σεως πολλῆς γενομένης περὶ τοῦ σωτηρίου λόγου, ἀπέδειξαν οἱ*
»*τρισμακαριώτατοι ἐπίσκοποι τὴν τριάδα ὁμοούσιον πατρὸς καὶ υἱοῦ*
»*καὶ ἁγίου πνεύματος· ἦν, οὐδ' ὅλως ἐκκλίνοντες λειτουργίας τὰς*
»*κατὰ τὸ δίκαιον ἐπιβαλλούσας αὐτοῖς, θρησκεύουσι τὴν θρησκείαν*
»*τοῦ μεγάλου βασιλέως. κηρύττειν δὲ ταύτην προσέταξε τὸ* 2
»*ἡμέτερον κράτος, οὕτως μέντοι ἵνα μὴ λέγωσί τινες ὅτι ἀνήκαμεν*
»*θρησκείᾳ βασιλέως τοῦ διέποντος τὴν γῆν ταύτην, μὴ ἀνεχόμενοι*
»*τοῦ ἐντειλαμένου ἡμῖν τὰ περὶ τῆς σωτηρίας. ὡς γάρ φησι τὸ*

13 Matth. 5, 35

* **5**—S. 224, 10 Cass. VII 9 — **5**—S. 228, 1 Niceph. H. E. XI 30

B V² HN (n) + GSP (s) = r AL (y) F W [von **5** an]

2 *αὐτοῦ σαφῶς* ∾ F | **3** *τὴν*² Ls > A | **3/4** *περὶ τὰ θεῖα δόγματα* > mit Rasur von 3 Buchstaben V² | *περὶ τὰ θεῖα* — **4** *δηλοῦντα*] *οἰκείαν δηλοῦντα προαίρεσιν* B, *sinceritatem sine dubitatione demonstrat* Cass. | **4** *ὑγίειαν* V²F **5**—S. 223, 3 u. unten S. 224, 11—227, 23: für diese beiden ursprünglich schlecht übersetzten Briefe können wir nur die griechische Überlieferung unverändert wiedergeben. Die Emendation müßte die Wiederherstellung des lateinischen Urtextes anstreben | **5** *η̄* am Rand HSS | **5/6** *βαλεντινιανὸσ καὶ βάλησ* y | **6** *καὶ Οὐάλης* > W | **7** *Καροφρυγίας* = Cass. > B | *Καροφρυγίας, Πακατιανῆς*] »malim hoc loco scribere *Καρίας, Φρυγίας Πακατιανῆς*« Val., s. unten 224, 12 f **10/11** *προσ καὶ ῡν̄ καὶ ἁγίου πν̄σ* Br Cass. *πρ̄ι καὶ υἱῶ καὶ ἁγίω πν̄ι* V²FW *πρ̄α καὶ* (*καὶ* > L) *ῡν̄ καὶ ἅγιον πν̄α* y; s. unten 225, 1 | **11** *ἐκκλίναντεσ* V² | *τὰς* > V² | **12** *τὸ* > PyFW | *ἐπιβαλλούσασ* rF *ἐπιβαλούσασ* yW *ἐπιπεριβαλλούσασ* B (wohl Contamination von zwei Übersetzungsversuchen, s. S. 226, 4) *ἐπεὶ περιβαλλούσασ* V², vgl. Cass.: *quam nequaquam declinantes iuxta ministeria* (*misteria* Cod. L) *religionis magni regis exercent* | **14** *ἀνήκαμεν* BV²r *sequimur* Cass. *ἀνῆκε* yFW | **15** *μὴ ἀνεχόμενοι*] *μίαν ἐχόμενοι* B | **16** vor *ἐντειλαμένου* + *μὴ* P

»εὐαγγέλιον τοῦ Χριστοῦ ἡμῶν, ὅπερ ἐπίκρισιν ταύτην ἔχει· »ἀπόδοτε
»τὰ τοῦ Καίσαρος τῷ Καίσαρι καὶ τὰ τοῦ θεοῦ τῷ θεῷ«.
»τί λέγετε ὑμεῖς, οἱ ἐπίσκοποι καὶ προεστῶτες τοῦ σωτηρίου 3
»λόγου; εἰ οὕτως ἔχει τὰ τῆς ἀποδείξεως ὑμῶν, οὕτω μέντοι
»ἀγαπῶντες ἀλλήλους παύσασθε ἀποχρᾶσθαι ἀξιώματι βασιλέως
»καὶ μὴ διώκετε τοὺς ἀκριβῶς τῷ θεῷ λειτουργοῦντας, ὧν ταῖς
»εὐχαῖς καὶ πόλεμοι καταπαύονται ἐπὶ τῆς γῆς καὶ ἀγγέλων ἀπο-
»στατῶν ἐπιβάσεις ἀποστρέφονται. καὶ πάντας δαίμονας φθορι- 4
»μαίους διὰ δεήσεως ἐπιστομίζουσιν, καὶ τὰ δημόσια κατὰ τοὺς
»νόμους εἰσκομίζειν ἴσασιν, καὶ οὐκ ἀντιλέγουσι τῇ τοῦ κρατοῦντος
»ἐξουσίᾳ, ἀλλ' εἰλικρινῶς καὶ τὴν τοῦ ἄνω θεοῦ βασιλέως ἐντο-
»λὴν φυλάττουσι καὶ τοῖς ἡμετέροις νόμοις ὑποτάσσονται. ὑμεῖς
»δὲ ἀπειθεῖς ἐδείχθητε εἶναι. ἡμεῖς μὲν ἐχρησάμεθα τῷ Ἄλφα ἕως
»τοῦ Ω· ὑμεῖς δὲ ἑαυτοῖς ἀπεδώκατε. ἡμεῖς μέντοι καθαροὺς ἑαυτοὺς 5
»ἀφ' ὑμῶν εἶναι θέλοντες, ὡς καὶ Πιλᾶτος ἐπὶ τῆς ἐξετάσεως
»τοῦ ἐν ἡμῖν πολιτευομένου Χριστοῦ, μὴ θέλοντος αὐτὸν ἀνελεῖν,

1 f Matth. 22, 21 — **5** Röm. 13, 8. I Thess. 4, 9 (Joh. 13, 34. 15, 12 u. 17) — **7—9** vgl. Ephes. 6, 11—18. Tit. 1, 11? — **10—12** vgl. Röm. 13, 1 f. Tit. 3, 1 u. 3. 1, 16. Ephes. 2, 2 — **13/14** vgl. Apok. 1, 8. 21, 6. 22, 13. Matth. 22, 21 — **15**—S. 222, 4 Matth. 27, 11—25

B V² HN (n) + GSP (s) = r AL (y) F W

1 χῡ BV² Cass. θῡ ryFW | ἀπόδοτε B Matth. *reddite* Cass. ἀποδίδοσθαι V²ryFW | **2** τὰ τοῦ καίσαροσ καίσαρι LW τὰ /|'' καίσαροσ καίσαρι A | **4** ἡμῶν B | **5** ἀποχρῆσθαι W | **7** τῆς > B | **8** ἀποστρέφονται aus ἐπιστρέφονται corr. V² | **9** διὰ δεήσεως ἐπιστομίζουσιν B *precum assiduitate confundunt* Cass. ἀποστρέφειν (ἀποστρέφειν > mit leerem Raum H) διὰ δεήσεως σπουδάζοντεσ V²ryFW | τοὺσ BV² > ryFW | **11** ἀλλ' > n. *sed* Cass. | τοῦ ἄνω θῡ *βασιλέωσ* sF ἄνω θῡ *βασιλέωσ* BV² τοῦ ἄνωθεν *βασιλέωσ* W und, *βασιλέωσ* nach ἐντολὴν ∽, n τοῦ μεγάλου *βασιλέωσ καὶ* θῡ y, vgl. *et superna dei mandata* Cass. Cod. L; ἄνωθεν in nW wohl Verbesserung nach S. 222, 10 | **12** ὑποτασσόμενοι V² | **13** ἐχρησάμεθα] = »commercium habere« (sc. cum deo) mit Hinweis auf Joh. 4, 9 Val.; vielmehr mit Jülicher zu vergleichen I Makk. 13, 46 wo χρήσῃ = lat. »reddas«, und Luk. 11, 5 wo χρῆσον = lat. »commoda«: ob ἐχρήσαμεν (= *commodavimus*)? Für den Sinn ziemlich richtig Cass: *et nos quidem subicimur ei qui primus est et novissimus* | τῷ] τὸ BGF | Ἄλφα] ᾱ V²F | **13/14** ἕωσ τοῦ Π, wohl verkehrt für καὶ τῷ, vgl. *et* Cass. und Apok. | **14** ἑαυτοῖσ BW (nach Matth. 22, 21 zu erklären) ἑαυτοὺσ V²rF αὐτοὺσ y; vgl. Cass.: *vos autem robismet adrogatis* ἑαυτοὺς > V² | **15** πιλᾶτοσ ryFW πιλάτου BV² | **16** θέλοντος] θέλοντεσ V² θέλων Christoph.

»καὶ ὑπὲρ τοῦ παθεῖν τὸν παρακληθέντα ἐπιστραφεὶς ἐπὶ τὰ τῆς »Ἀνατολῆς μέρη καὶ αἰτήσας ὕδωρ ἐπὶ χειρῶν, ἐνίψατο αὐτοῦ τὰς »χεῖρας λέγων· »ἀθῷός εἰμι ἀπὸ τοῦ αἵματος τοῦ δικαίου »τούτου«, οὕτως καὶ τὸ ἡμέτερον κράτος διὰ παντὸς ἐνετείλατο »μὴ διώκειν μήτε ἐπικλύζειν μήτε ζηλοῦν τοὺς ἐργαζομένους τὸ »χωρίον τοῦ Χριστοῦ, μήτε τοὺς διοικητὰς ἀπελαύνειν τοῦ μεγά»λου βασιλέως, ἵνα μὴ σήμερον μὲν ἐπὶ τοῦ ἡμετέρου κράτους »αὔξειν δόξητε, καὶ μεταξὺ τοῦ παρακεκλημένου παθεῖν τὰ τῆς δια»θήκης αὐτοῦ, ὡς ἐπὶ Ζαχαρίου τοῦ αἵματος. ἀλλ᾽ οἱ μετ᾽ αὐτοῦ 6
»μεταξὺ τῆς ἀφίξεως ὑπὸ τοῦ ἄνωθεν βασιλέως ἡμῶν Ἰησοῦ Χριστοῦ »ἐρράγησαν, παραδοθέντες εἰς κρίσιν θανάτου, μετὰ τοῦ συνδραμόντος »αὐτοῖς φθοριμαίου δαίμονος. τοῦτο προσετάξαμεν ἐπὶ Ἀμιγητίου

6/7 Matth. 5, 35 — **9** Matth. 23, 35. Luk. 11, 51 — **9—12** vgl. II Thess. 2, 8. Luk. 9, 42?

B V² HN (n) + GSP (s) = r AL (y) F W

1 *καὶ ὑπὲρ τοῦ παθεῖν τὸν παρακληθέντα* BV² *καὶ ὑπὲρ τοῦ παθεῖν αὐτὸν παρακληθέντα* ryFW, nicht übersetzt von Cass.; *καὶ ὑπὲρ τοῦ παθεῖν αὐτὸν παρακληθείς* Christ. oder *παρακληθέντος* Lowth und so verstehen die Übersetzer: »et rogaretur (sc. Pilatus) ut eum (sc. Christum) supplicio afficeret«. Aber der Accusativ Aorist. *παρακληθέντα* läßt auch für den lat. Text vermuten: »sicut et Pilatus . . . cum nollet eum necare, et ut pateretur is (vgl. Matth. 27, 25; auch Anspielung auf Valens?) qui hortatus erat (falsch hier und 222, 8 als Passivum übersetzt; s. unten 225, 15; 226, 8. 9; 227, 2 andere Mißverständnisse von Participien) conversus ad orientis partes« | **4** *διὰ παντὸς κράτος* ∾ BV², Cass. wie im Text | *ἐνετείλατο διὰ παντὸς* ∾ L | **7** *μὴ* > yF, übergeschrieben Ac | *μὲν* > PL | **8** *μεταξὺ τοῦ παρακεκλημένου*] »postea una cum sceleris exhortatore« verstehen Christ., Sirmond, Val. als ob es lautete *μεταξὺ ⟨μετὰ⟩*, denn *μεταξὺ* (= »postea«, dem *σήμερον* entgegengesetzt) ist m. W. im Sinne von *μετὰ* (= »una cum«) nicht belegt | *παθεῖν Π*, vgl. Cass.: *et postea testamentum domini subdere passioni*; die Conjectur von Valois *πατεῖν* empfiehlt Noesselt mit Hinweis auf Hebr. 10, 29; unnötig, vgl. Matth. 23, 35 u. 27, 25 (s. Z. 1): »et postea eius qui hortatus est pati quae sunt testamenti ipsius« | **9** *ὡς ἐπὶ* — **12** *δαίμονος*] der Sinn dieser Stelle ist mir dunkel geblieben; ob in *δαίμονος* (wie in *παρακεκλημένου*) Anspielung auf Valens? | **10** *ὑπὸ*] ob *ὕπο*, oder *ὑπὸ τῆς ἀφίξεως* ∾ = sub adventum? | **11** *ἐρράγησαν*] lat. *destructi sunt*? = *κατηργήθησαν*, oder das Futurum? vgl. II Thess. 2, 8 | *συνδραμοῦντος* B | **12** *τοῦτο* /// A *τούτου* LF | *προσέταξεν* F | *ἀμιγητίου* V²yF *ἀμηγιτίου* B *ἀμεγητίου* W *ἀμειγετίου* G *ἀμεγετίου* nS *ανεγετίου* (sic) P *Megetio* Cass.

»καὶ Κικερωνίου καὶ Δαμάσου καὶ Λάμπωνος καὶ Βρεντησίου, ἀκρο- 7
»ατῶν γενομένων. ἅπερ καὶ αὐτὰ τὰ πραχθέντα ἀπεστάλκαμεν πρὸς
»ὑμᾶς, ἵνα γνῶναι ἔχητε τὰ πραχθέντα ἐν τῇ ἐναρέτῳ συνόδῳ.«

Τούτοις συνέζευξε τοῖς γράμμασι καὶ τῆς συνόδου τὰ δόγματα
ἐν κεφαλαίῳ ταῦτα δηλώσας·

»Ὁμολογοῦμεν ἀκολούθως τῇ μεγάλῃ καὶ ὀρθοδόξῳ συνόδῳ ὁμο- 8
»ούσιον εἶναι τῷ πατρὶ τὸν υἱόν· καὶ οὐχ οὕτω νοοῦμεν τὸ ὁμοούσιον
»ὡς καὶ πάλαι τινὲς ἐξηγήσαντο μὴ ἀληθινῶς ὑπογράψαντες, καὶ νῦν
»ἕτεροι πατέρας ἐκείνους καλοῦντες, τὴν δύναμιν τῆς λέξεως ἀθετή-
»σαντες καὶ ἑπόμενοι τοῖς γράψασι τὸ ὅμοιον δηλοῦσθαι διὰ τοῦ
»ὁμοουσίου, καθ' ὃ οὐδενὶ τῶν λοιπῶν κτισμάτων τῶν δι' αὐτοῦ
»γενομένων ἐμφερὴς ὁ υἱός, ἀλλ' ἢ μόνῳ τῷ πατρὶ ἀφωμοίωται.
»οἱ γὰρ ταῦτα ἐξηγούμενοι κτίσμα ἐξαίρετον ἀσεβῶς τὸν υἱὸν τοῦ 9
»θεοῦ δογματίζουσιν. ἡμεῖς δὲ φρονοῦμεν, ὡς καὶ αἱ σύνοδοι νῦν
»αἵ τε κατὰ Ῥώμην καὶ ἡ κατὰ Γαλλίαν, μίαν εἶναι καὶ τὴν αὐτὴν
»οὐσίαν τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος, ἐν τρισὶ
»προσώποις, ὅ ἐστιν ἐν τρισὶ τελείαις ὑποστάσεσιν. ὁμολογοῦμεν δὲ 10
»κατὰ τὴν ἔκθεσιν τὴν ἐν Νικαίᾳ, καὶ σεσαρκῶσθαι τὸν υἱὸν τοῦ θεοῦ
»τὸν ὁμοούσιον ἐκ τῆς ἁγίας παρθένου Μαρίας, καὶ ἐν ἀνθρώποις ἐσκη-
»νωκέναι, καὶ πεπληρωκέναι πᾶσαν τὴν ὑπὲρ ἡμῶν οἰκονομίαν, ἐν
»γενέσει καὶ πάθει καὶ ἀναστάσει καὶ τῇ εἰς οὐρανοὺς ἀναβάσει· καὶ

7/8 ob. S. 51, 8 f — **11/12** ob. S. 52, 14—16 — **14/15** vgl. ob. S. 148, 7 f. 147, 8

B V² HN (n) + GSP (s) = r AL (y) F W

1 *κικερωνίου* V²yFW *κικερονίου* B *κηρωνίου* nGP *κτηρωνίου* S *Ciceronis* Cass. *διαμάσου* F *λαμάσου* V², *Damaso* Cass. Cod. L | *Λάμπωνος* = *Lampone* Cass.] *δαϊλάμπωνος* FW *δαϊ* übergeschrieben Ac | **2** *γεναμένων* B | *αὐτὰ* BV²rW Cass. *ταῦτα* yF | *ἀπεστάλκαμεν* — **3** *πραχθέντα* > V² | *ἀπεσάλκαμεν* B *direximus* Cass. *ἐξαπεστάλκαμεν* ryF, vgl. 225, 4 und oben 141, 18 | **3** *ἔχετε* B | **4** *Τούτοις* — **5** *δηλώσας*] *ἃ δὴ καὶ παρέζευξε τοῖσ γράμμασιν ἐν κεφαλαίω ταῦτα δὴ δογματίζοντα* W *συνέζευξε* BV²yF, *his ergo litteris subdidit* Cass., *συνεζεύξαμεν* r | *δόγματα*] *γράμματα* P | **5** *δηλώσασ* BV² *δηλοῦντα* ryF *habentia* Cass., vgl. S. 224, 9 | **9** *ἐκείνους* = *illos* Cass.] *αὐτοὺσ* B | **10** *ἑπόμενοι*] *ἐπόνυμοι* P | **11** *καθ' ὃ οὐδενὶ*] *κατουδενὶ* V² | *τῶν*² V²r > yFW und, am Ende der Zeile, B | **15** *ταῦτα* ryF *haec* Cass. *τοιαῦτα* BV²W | *ἀσεβῶς* > GS, nach *θεοῦ* ~ V²Cass. | **13/14** *τοῦ θεοῦ* > F | **14** *νῦν* > y übergeschrieben Ac | **15** *αἵ τε* BV²W *ἥ τε* ryF, kaum zu entscheiden, da Cass. versagt: im Lateinischen fehlt der Artikel | *καὶ ἡ*] *ἡ* B *καὶ αἱ* W | *καὶ τὴν αὐτὴν* ryFW *eamdemque* Cass. *τὴν αὐτὴν* BV² | **17** *ὅ ἐστιν* BV² *quod est* Cass. *τουτέστιν* ryFW | **21** nach *οὐρανοὺς* + *πάλιν* GS

»πάλιν ἧξειν ἀποδιδόντα τὴν ὁμοίωσιν ἡμῖν τὴν θείαν παρ' ἑαυτοῦ, »θεὸν ὄντα σαρκοφόρον καὶ ἄνθρωπον θεοφόρον· καὶ τοὺς τοῖς 11
»προειρημένοις ἐναντία φρονοῦντας ἀναθεματίζομεν, καὶ τοὺς μὴ »γνησίως ἀναθεματίζοντας τὸν εἰπόντα ὅτι πρὶν γεννηθῆναι οὐκ ἦν »ὁ υἱός, ἀλλὰ γράψαντας ὅτι καὶ πρὶν ἐνεργείᾳ γεννηθῆναι δυνάμει »ἦν ἐν τῷ πατρί. τοῦτο γὰρ καὶ ἐπὶ πάντων τῶν κτισμάτων ἐστὶ »τῶν μὴ ἀεὶ ὄντων μετὰ τοῦ θεοῦ, καθ' ὃ ὁ υἱὸς ἀεὶ μετὰ τοῦ πατρός »ἐστιν, ἀϊδίῳ γεννήσει γεγεννημένος.«

Ταῦτα μὲν οὖν ὁ βασιλεὺς ἐν κεφαλαίῳ δεδήλωκεν. ἐγὼ δὲ καὶ αὐτὰ τῆς συνόδου τὰ γράμματα ἐνθήσω τῇ συγγραφῇ.

»Οἱ ἐπίσκοποι τοῦ Ἰλλυρικοῦ ταῖς ἐκκλησίαις τοῦ θεοῦ καὶ 9
»ἐπισκόποις διοικήσεως Ἀσιανῆς, Φρυγίας, Καροφρυγίας, Πακα»τιανῆς, ἐν κυρίῳ χαίρειν.

»Συνελθόντων ἡμῶν ἐπὶ τὸ αὐτὸ καὶ ζητήσεως πολλῆς γενομένης »περὶ τοῦ σωτηρίου λόγου, ἀπεδείξαμεν ὁμοούσιον εἶναι τὴν τριάδα.

5/6 oben S. 53, 15 f

* **11**—S. 227, 23 Cass. VII 10

B V² HN (n) + GSP (s) = r AL (y) F W

1 *τὴν ὁμοίωσιν ἡμῖν* (*ἡμῖν τὴν ὁμοίωσιν* ∾ W) *τὴν θείαν παρ' ἑαυτοῦ* BV²W Cass. (s. verwandte Formeln Hahn, Bibliothek der Symbole S. 304, 9—11; 280, 6) *ἡμῖν* (*ἡμῖν* > GSW) *κατὰ τὴν ἑκάστου βιοτὴν ἐν τῇ ἡμέρα τῆς κρίσεως* (*φύσεως* statt *κρίσεως* sy) *σαρκὶ* (*σαρκὶ* > S) *ὁρώμενον καὶ τὴν ἑαυτοῦ θείαν δύναμιν ἐπιδεικνύντα* ryF u. (nach *παρ' ἑαυτοῦ* hinzugefügt) W; alte Interpolation wohl antinestorianischer Tendenz (vgl. Anathematismen des Cyrillus IX u. XI, und Gegen-Anathem. des Nestorius, Hahn Bibliothek S. 315, 318): vgl. die folgende Anmerkung und unten V 11, 8 | **2** *ἄνθρωπον* BV²sF Cass. *οὐκ ἄνθρωπον* nyW; *οὐκ* ist auch alte antinestorianische Interpolation, s. Anathem. V des Kyrillus (Hahn S. 313) **2/3** *τοῖς προειρημένοις* BV²Cass. > ryFW | **3** *ἐναντία* B *ὑπεναντία* V² *τἀναντία* ryFW | *ἀναθεματίζομεν* BV²rFW Cass. *ἀναθεματίζομεν* + *ὁμοίως ἀναθεματίζομεν* y | **5** *ἀλλὰ* = *sed* Cass.] *ἀλλὰ καὶ* V² | *γράψαντας*] *γράψαντα* V² *scripsit* Cass. | *καὶ* > n, *et* Cass. | *ἐνεργείᾳ* Fm | **6** *ἦν* = Cass.] *οὐκ ἦν* V² | *τῶν* > V² | **7** *τοῦ*¹ > n | *ὁ υἱὸς ἀεὶ* ryF *υἱὸς ἀεὶ* V² *filius enim semper* Cass. *ἀεὶ ὁ υἱὸς* B *καὶ ὁ υἱὸς ἀεὶ* W | *μετὰ* > GP | **8** *γενέσει* B, *nativitate* Cass. | **10** *αὐτὰ* = *ipsas* Cass.] *ταῦτα* B | **11** 9 am Rand HSS | *ταῖς* — **12** *ἐπισκόποις*] *episcopis ecclesiarum dei* Cass. = *τῶν ἐκκλησιῶν τοῦ θεοῦ ἐπισκόποις*? | *καὶ* > BV² | **12** *καροφρυγίας* BV²HW Cass. > NsyF, s. zu 220, 7 | **14** *γεναμένης* B, *α* in *ο* corr. V² | **15** *τοῦ* > y

»πατρὸς καὶ υἱοῦ καὶ ἁγίου πνεύματος. καὶ ἦν δίκαιον γράμματα
»ἀποχαράξαι πρὸς ὑμᾶς, οὐ σοφίσμασι τὰ τῆς θρησκείας τῆς τριάδος
»γράφοντας, ἀλλ᾽ ἐν ταπεινοφροσύνῃ καταξιωθέντας. τουτὶ ἡμῶν 2
»τὸ γράμμα ἀπεστάλκαμεν διὰ τοῦ ἀγαπητοῦ ἀδελφοῦ ἡμῶν καὶ
»συλλειτουργοῦ Ἐλπιδίου τοῦ πρεσβυτέρου. † οὐ ταῖς γὰρ τῶν ἡμε-
»τέρων ἐν χερσὶν γραμμάτων, ἀλλ᾽ ἐν ταῖς τοῦ σωτῆρος ἡμῶν Ἰησοῦ
»Χριστοῦ βίβλοις· »ἐγὼ μέν εἰμι Παύλου, ἐγὼ δὲ Ἀπολλώ,
»ἐγὼ δὲ Κηφᾶ. μὴ Παῦλος ἐσταυρώθη ὑπὲρ ὑμῶν, ἢ εἰς τὸ 3
»ὄνομα Παύλου ἐβαπτίσθητε;« καὶ ταῦτα μὲν ἤρκει τῇ ἡμετέρᾳ
»ταπεινώσει, μήτε τὸ καθόλου γράμματα ἀποχαράξαι πρὸς ὑμᾶς, διὰ
»τὸν τηλικοῦτον φόβον ὃν αὐτόθι κηρύσσετε πάσῃ τῇ ὑφ᾽ ὑμᾶς
»ἐπαρχίᾳ, ἀποχωρίζοντες τὸ ἅγιον πνεῦμα ἀπὸ τοῦ πατρὸς καὶ τοῦ
»υἱοῦ. ἀνάγκην οὖν ἔσχομεν πέμψαι πρὸς ὑμᾶς τὸν κύριον ἡμῶν
»καὶ συλλειτουργὸν Ἐλπίδιον ἀπὸ τῆς βασιλευούσης Ῥωμαίων ἀρχῆς
»τοῦτο τὸ γράμμα ἔχοντα, καταμαθόντα εἴ γε ἄρα οὕτως ἔχει τὸ
»κήρυγμα ὑμῶν. οἱ γὰρ μὴ ὁμοούσιον τὴν τριάδα κηρύττοντες ἀνά- 4

2/3 vgl. Kol. 2, 18. u. 23 — **7—9** I Kor. 1, 12 u. 13

B V² HN (n) + GSP (s) = r AL (y) F W

1 *γράμμα* V² | **3** *γράφοντα* V², *scribentes* Cass. | *τουτὶ* ryFW (= S. 226, 7) *τοῦτο* BV², s. auch Z. 15 | **4** *ἡμῶν ἀδελφοῦ* ∼ L | **5** *οὐ ταῖς* (*τῆς* statt *οὐ ταῖς* V²) *γὰρ* (*γὰρ* > B) *τῶν ἡμετέρων ἐν χερσὶν γραμμάτων* BV² *οὐ γὰρ* (+ *ἐν* W übergeschrieben Ac) *ταῖς* (*ταῖς γὰρ* ∼ F) *τῶν ἡμετέρων χερσὶ γραμμάτων* yFW *οὐ τοῖς τῶν ἡμετέρων ἐν χερσὶν γραμμάτων θαρροῦντες* NGS *οὐ τοῖς τῶν ἡμετέρων ἐν* ////////// *θαρροῦντες* P *οὐ τοῖς* leerer Raum einer halben Zeile *θαρροῦντες* H; vgl. Cass.: *in praesentibus itaque nostris litteris quasi illud refertur quod in salvatoris nostri J. C. libris ascriptum est*; *οὐ γὰρ ἐν τοῖς τῶν ἡμετέρων χειρῶν γράμμασιν* corr. Basler Ausgabe, aber die Übersetzung war wohl hier von Anfang an fehlerhaft und auch lückenhaft | **6** *ἀλλ᾽ ἐν ταῖς*] *ἀλλὰ ταῖς* r **7** *βίβλοις* BV²r + *γέγραπται* AFW + *ἐγγέγραπται* L *ascriptum est* Cass., alter Verbesserungsversuch (wie Z. 6 *θαρροῦντες*) | *ἀπολλῶ* die meisten HSS | **8** nach *Κηφᾶ* + *ἐγὼ δὲ χῦ* n (aus I Kor. 1, 12), Cass. wie im Text | *ὑπὲρ ὑμῶν ἐσταυρώθη* ∼ BV², Cass. I Kor. 1, 13 wie im Text; *ὑμῶν* V²SA *ἡμῶν* BnGPLFW | **10** *διὰ Π* Cass.; ob *ὑμᾶς. διὰ δὲ* u. dann 13 *υἱοῦ, ἀνάγκην ἔσχομεν*? | **11** *φόβον* = *timorem* Cass.] *ὄγκον* V², alte Variante des Übersetzers, der zwischen *timorem* und *tumorem* im Urtext schwankte? vgl. S. 220, 12; 226, 4 | *πάσῃ* = Cass. > B **12** *ἀποχωρίζοντας* GS | **13** *οὖν* = Cass.] *μὲν* N > BV² | *πρὸς ὑμᾶς πέμψαι* ∼ FW Cass. | **14** *ἀπὸ* — S. 227, 2 *Ἐλπίδιον* > W (von junger Hand am Rand hinzugefügt) | **15** *τουτὶ* V² | *καταμαθόντα Π ut . . . cognoscat* Cass., im lat. Text wohl »cogniturum«; vgl. S. 226, 8/9; 227, 2 | **16** *κηρύττοντες* = Cass.] *δοξάζοντες* n

»θεμα ἔστωσαν, καὶ εἴ τις τούτοις φωραθείη κοινωνῶν, ἀνάθεμα »ἔστω· τοῖς δὲ κηρύττουσιν ὁμοούσιον τὴν τριάδα ἡ βασιλεία τῶν »οὐρανῶν ἡτοίμασται. παρακαλοῦμεν οὖν ὑμᾶς, ἀδελφοί, μὴ ἑτεροδι»δασκαλεῖν, μὴ ἑτεροκαινοδοξεῖν, ἀλλ' ὁμοούσιον ἀεὶ καὶ διὰ παντὸς »κηρύττοντες τὴν τριάδα δυνηθῆτε κληρονομῆσαι τὴν τοῦ θεοῦ »βασιλείαν.

»Περὶ τούτου γράφοντες καὶ ὑπόμνησιν ἔχοντες ἐχαράξαμεν τοῦτὶ »ἡμῶν τὸ γράμμα, καὶ περὶ τῶν καθισταμένων ἐπισκόπων ἢ κατα»σταθέντων συλλειτουργῶν, ἐὰν μὲν εἶεν, ἐκ τῶν τέλει χρησαμένων »ἐπισκόπων ὑγιεῖς, εἰ δὲ μή, ἐξ αὐτοῦ τοῦ πρεσβυτερίου· ὁμοίως τε »καὶ πρεσβυτέρους καὶ διακόνους, ἐξ αὐτοῦ τοῦ ἱερατικοῦ τάγματος, »ἵνα ὦσιν ἀνεπίληπτοι πανταχόθεν, καὶ ἀπὸ τοῦ βουλευτηρίου καὶ »στρατιωτικῆς ἀρχῆς. εἰς τοῦτο οὖν αὐτὸ οὐκ ἠβουλήθημεν διὰ

2/3 vgl. Matth. 20, 23. 25, 34 — **3/4** vgl. I Tim. 1, 3 — **5/6** vgl. I Kor. 6, 9 — **12** I Tim. 3, 2

B V² HN (n) + GSP (s) = r AL (y F

1 *κοινωνον* Λ, *ω* über *ον* geschrieben Ac | **4** *μὴ* V²sy *non* Cass. *μηδὲ* Bn *μήτε* F | *ἑτεροκαινοδοξεῖν* B *ἑτεροκαινοδοξεῖν* F *ἑτεροκενοδοξεῖν* V²nGS *aliud innoretis* Cass. *ἑτεροδοξεῖν* Py, vgl. oben zu S. 220, 12 | **5** *τοῦ θεοῦ* = Cass.] *τῶν οὐρανῶν* n | **7** *τουτὶ*] *τοῦτο* B | **8/9** *καταστα θέντων*] = *creandis* Sirmond, vgl. S. 225, 15 | **9** *μὲν εἶεν*] *μείναιεν* V², vgl. *si permanserint* Cass. | *τέλει*] *ἐν τέλει* A | **10** *ἐπισκόπων ὑγιεῖς*] *ὑγιεῖσ* N *ὑγιεῖ* H, vgl. Cass.: *de episcopis autem constituendis vel comministris iam constitutis, si permanserint usque ad finem sani, bene; alioquin ex ipso presbyterio repellantur*, gewiß verkehrt. Cotelier Ecclesiae graecae monumenta I 719: »videtur Graecus interpres . . . in locum nominis *fide* substituisse vocem *finc*, et in locum participii *visi* participium *usi*. Scriptum erat latine: *et de constitutis episcopis, vel constituendis comministris, siquidem fuerint ex episcopis qui in fide visi sunt sani*; auch nicht richtig. Nicht besser scheint die zweite Correctur Coteliers: *ἐκ τῶν τέλει χρησαμένων* (expuncto *ἐπισκόπων* wie in n) *ὑγιῶς*; so würde *ἐκ τῶν τέλει — ἀπὸ τοῦ βουλευτηρίου* chiastisch entsprechen; aber s. unten zu Z. 12. Ich würde vermuten: »*si quidem sint, ex iis qui vice* (oder *officio* = *τέλει*) *functi* (oder *usi*) *sunt episcoporum sanorum* (auch *sani* oder *sane* möglich) *eligantur*, *sin minus, ex* usw. So z. B. Flavianus und Diodorus unten IV 25, Eulogius IV 18; vgl. die von Meletius und Eusebius ordinierten Bischöfe V 4, 2 f | *τε*] *δὲ* r | **12** *καὶ ἀπὸ* BV²F Cass. *καὶ μὴ ἀπὸ* ry, die Correctur *μὴ* zwar unentbehrlich, wenn *καὶ μὴ ἀπὸ* mit *ἐξ αὐτοῦ τ. ἱερ. τάγματος* coordiniert ist: aber *καὶ ἀπὸ* (nicht *καὶ ἐκ*!) war wohl im Urtext in Beziehung mit *ἀνεπίληπτοι πανταχόθεν*: »*irreprehensibiles undique, etiam a* (fern von?) *curia*« usw. | **13** *αὐτὸ* > n | *ἐβουλήθημεν* V²

»πολλῶν ἀποχαράξαι, διὰ τὸ ἀποσταλῆναι ἕνα ἐκ πάντων τὸν κύριον »ἡμῶν καὶ συλλειτουργὸν Ἐλπίδιον, ἐπισπούδως καταμαθόντα τὸ »κήρυγμα ὑμῶν. εἴ γε οὕτως ἔχει ὥσπερ ἀκηκόαμεν παρὰ τοῦ κυρίου »ἡμῶν καὶ συλλειτουργοῦ Εὐσταθίου.

»Λοιπὸν εἰ καί ποτε ἐν πλάνοις γεγεννημένοι ἦτε, ἀποθέμενοι 6
»τὸν παλαιὸν ἄνθρωπον ἐνδύσασθε τὸν καινόν. καὶ γὰρ καὶ ὁ αὐτὸς »ἀδελφὸς καὶ συλλειτουργὸς Ἐλπίδιος διδάξει ὑμᾶς κηρῦξαι τὴν »ἀληθῆ πίστιν· ὅτι ἡ ἁγία τριάς, ἡ ὁμοούσιος τῷ θεῷ καὶ πατρί, »σὺν υἱῷ καὶ ἁγίῳ πνεύματι ἡγίασται, δεδόξασται, πεφανέρωται, »πατὴρ ἐν υἱῷ, υἱὸς ἐν πατρί, σὺν ἁγίῳ πνεύματι εἰς τοὺς αἰῶνας. »φανερωθέντος γὰρ τούτου, φανερῶς δυνησόμεθα τὴν ἁγίαν τριάδα 7
»ὁμολογεῖν ὁμοούσιον, κατὰ τὴν πάλαι ἐκτεθεῖσαν πίστιν τὴν ἐν »Νικαίᾳ, ἣν καὶ οἱ πατέρες ἐβεβαίωσαν. κηρυττομένης οὖν τῆς 8
»πίστεως ταύτης, δυνησόμεθα τοῦ ἀλιτηρίου δαίμονος ἐκφυγεῖν τὰς »μεθοδίας· σβεσθέντος γὰρ τούτου, δυνησόμεθα εἰρηνικοῖς γράμμασιν »ἑαυτοὺς προσκυνεῖν ἐν εἰρήνῃ διάγοντες. ἐγράψαμεν οὖν ὑμῖν, ἵνα »εἰδέναι ἔχητε τοὺς καθαιρεθέντας Ἀρειομανίτας, τοὺς μὴ ὁμολογοῦν- »τας ἐκ τῆς οὐσίας τοῦ πατρὸς τὸν υἱὸν μήτε τὸ ἅγιον πνεῦμα, ὧν »τὰ ὀνόματα ὑπετάξαμεν· Πολυχρόνιος, Τηλέμαχος, Φαῦστος, Ἀσκλη- 9
»πιάδης, Ἀμάντιος, Κλεόπατρος. καὶ ταῦτα μὲν οὕτως εἰς δόξαν »πατρὸς καὶ υἱοῦ καὶ ἁγίου πνεύματος, εἰς τοὺς αἰῶνας τῶν αἰώνων, »ἀμήν. ἐρρῶσθαι ὑμᾶς εὐχόμεθα τῷ πατρὶ καὶ τῷ υἱῷ σωτῆρι »Χριστῷ, σὺν ἁγίῳ πνεύματι, πολλαῖς ἐτῶν περιόδοις.«

Ὁ μὲν δὴ πανεύφημος βασιλεὺς τοσαύτην τῶν ἀποστολικῶν 10

5/6 vgl. Kol. 3, 9—10 — **14/15** vgl. Eph. 6, 11

* **24**—S. 231, 20 Cass. VII 11

B V^2 HN(n) + GSP(s) = r AL(y) F W [bis **23**]

2 *καὶ συλλειτουργὸν* = Cass.] *συλλειτουργὸν* Py > V^2 | *ἐπισπουδαίως* V^2 | *καταμαθόντα* s. oben S. 225, 15 | **4** *καὶ* H *et* Cass. *τοῦ* B > V^2NsyFW **5** *πλάνοις* BV^2nPFW *πλάνῃ* GSy *errore* Cass. | **6** *καὶ*^{2} nur in B = *et* Cass. **9** *υἱῷ καὶ* BH > V^2NsyFW, *deo patri et filio cum sancto spiritu* Cass. Cod. L **11** *δυνησώμεθα* BP | **12** *τὴν*^{2} > V^2 | **13** *πατέρες* = Cass.] *πρεσβύτεροι* V^2 | **13/14** *ταύτης τῆς πίστεως* ~ L | **14** *τοῦ* — **15** *δυνησόμεθα* > GS | *ἀλιτηρίου*] *ἀλλοτρίου* L | **14/15** *τὰς μεθοδίας* B am Rand Wr *τὰ θήρατρα* n > V^2syFW Cass. | **16** *προσκυνεῖν*] wohl mechanische Übersetzung von lat. *salutare* (= *ἀσπάσασθαι*); vgl. *salutabimus* Cass. | *διάγοντες* = Cass.] *διαπαντός* B | **17** *ἔχοτε* V^2 *ἔχηται* B | **20** nach *μὲν* + *οὖν* F | **21** *καὶ*^{1} > B | **22** *σωτῆρι* BV^2 Cass. *τῷ σωτῆρι ἡμῶν* ryFW | **23** *Χριστῷ* > n | **24** *τ̄* am Rand HSs

δογμάτων ἐποιεῖτο φροντίδα. Αὐδαῖος δέ τις, Σύρος καὶ τὸ γένος καὶ τὴν φωνήν, καινῶν εὑρετὴς δογμάτων κατ' ἐκεῖνον ἐγένετο τὸν καιρόν, πάλαι μὲν τῶν πονηρῶν ὠδίνων ἀρξάμενος, τότε δὲ δῆλος γενόμενος. πρῶτον μὲν γὰρ ἀνοήτως νενοηκὼς τὸ »ποιήσωμεν 2
ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν καὶ καθ' ὁμοίωσιν«, ἀνθρωπείαν ἔχειν μορφὴν τὸ θεῖον ὑπέλαβε, καὶ τὰ τοῦ σώματος περικεῖσθαι ἐτόπασε μόρια, τῆς θείας γραφῆς οὐ κατιδὼν τὴν διάνοιαν. πολλάκις γὰρ ταῖς θείαις ἐνεργείαις τὰ τῶν ἀνθρωπίνων μορίων 3
ὀνόματα περιτίθησιν, ἐπειδὴ ῥᾷον οἱ τῶν λεπτοτέρων ἐπαΐειν οὐ δυνάμενοι διὰ τούτων τοῦ θεοῦ τὴν προμήθειαν μανθάνουσι. προστέθεικε δὲ τῇδε τῇ δυσσεβείᾳ καὶ ἕτερα παραπλήσια. ἐκ γὰρ τῆς τοῦ Μάνεντος πλάνης ἐρανισάμενος, οὔτε τοῦ πυρὸς οὔτε τοῦ σκότους ἔφη εἶναι δημιουργὸν τὸν τῶν ὅλων θεόν. ἀλλὰ ταῦτα μὲν 4
καὶ ὅσα τοιαῦτα κατακρύπτουσιν οἱ τῆς ἐκείνου συμμορίας. φάσκουσι δὲ τῶν ἐκκλησιαστικῶν ἀπεσχοινίσθαι συλλόγων, ἐπειδὴ τινὲς μὲν τὸν ἐπάρατον εἰσπράττουσι τόκον, τινὲς δὲ γυναιξὶν οὐ νόμῳ γάμου συνοικοῦντες παρανόμως βιοῦσιν, οἱ δὲ τούτων ἀπηλλαγμένοι τούτοις ἀδεῶς κοινωνοῦσι. διὰ ταῦτά φασιν ἐκεῖνοι καθ' ἑαυτοὺς βιοτεύειν, τὴν τῶν δογμάτων ἀποκρύπτοντες βλασφημίαν. ἔστι μέν- 20
τοι καὶ ἡ σκῆψις ἀλαζονείας μεστὴ καὶ τῆς Φαρισαϊκῆς διδασκαλίας ἀπόγονος. καὶ γὰρ ἐκεῖνοι κατηγόρουν τοῦ τῶν ψυχῶν καὶ σωμάτων 5
ἰατροῦ, τοῖς ἱεροῖς λέγοντες ἀποστόλοις· »ἵνα τί μετὰ τῶν τελωνῶν καὶ ἁμαρτωλῶν ἐσθίει ὁ διδάσκαλος ὑμῶν;« καὶ διὰ τοῦ προφήτου δὲ περὶ τῶν τοιούτων φησὶν ὁ θεός· »οἱ λέγοντες

1—17 vgl. Theodoret. Haeret. Fabul. IV 10 PG 83, 428 — **4 5** Gen. 1, 26 — **22 23** Matth. 9, 11 — **24 f** Jes. 65, 5. Joh. 20, 17

* **1—14** Polydeukes 412, 14

B V² HN (n) + GSP (s) = r AL (y) F

1 *ἀνδαῖος* ry (*ἀυδαῖς* P) Haeret. Fabul. Polyd. *ἄνδεος* V²F *αυδιος* B | **2** *καινῶν* = Cass.] *κενῶν* NP *κοινῶν* B *καινῶν, αι* auf Rasur V² | **4** *γὰρ* > P **7** *καθιδὼν* B | **8** *πολλάκις* = Cass.] *πολλὰ* B | **10** *τὴν τοῦ θεοῦ* ∽ r | *μανθάνουσι* = *agnoscunt* Cass.] *λαμβάνουσιν* B | **11** *τῇδε* r *huic* Cass. > BV²yF | **12** *μάνητος* V²F *Manetis* Cass. | *ἐρανησάμενος* B | **14** *κατακρύπτουσιν* = Haeret. Fab.] *κρύπτουσιν* B *celant* Cass. | **15** nach *δὲ* + *οἱ* V² | *ἐπειδὴ*] *ἐπειδὴ δὲ* n | **17/18** *οἱ δὲ τοίτων ἀπηλλαγμένοι τούτοις ἀδεῶς κοινωνοῦσι* ryF *τοῖς δὲ τούτων ἀπηλλαγμένοις ἀδεῶς κοινωνοῦσι* V² > B Cass., fehlt auch in Haeret. Fabul. | **22** *μετὰ τῶν* B Matth. *μετὰ* V²ryF | **24** *περὶ τῶν* (*τῶν* > B) *τοιούτων φησὶν ὁ θεός* BV²Cass. *φησιν ὁ θεὸς περὶ τῶν τοιούτων* ryF | *οἱ λέγοντες* Lᵐ

καθαρός εἰμι, μή μου ἅπτου· οὗτος καπνὸς τοῦ θυμοῦ μου«. ἀλλὰ τὴν τούτων διελέγχειν ἄνοιαν οὐ τοῦ παρόντος καιροῦ· οὗ δὴ ἕνεκα ἐπὶ τὰ λοιπὰ βαδιοῦμαι τῆς διηγήσεως.

Κατὰ τοῦτον τὸν χρόνον καὶ ἡ τῶν Μεσσαλιανῶν ἐβλάστησεν **11** αἵρεσις· Εὐχίτας δὲ τούτους προσαγορεύουσιν οἱ εἰς τὴν Ἑλλάδα φωνὴν τοὔνομα μεταβάλλοντες. ἔχουσι δὲ καὶ ἑτέραν προσηγορίαν ἐκ τοῦ πράγματος γενομένην· Ἐνθουσιασταὶ γὰρ καλοῦνται, δαίμονός τινος ἐνέργειαν εἰσδεχόμενοι καὶ πνεύματος ἁγίου παρουσίαν ταύτην ὑπολαμβάνοντες. οἱ δὲ τελείαν τὴν νόσον εἰσδεδεγμένοι ἀποστρέφονται μὲν τὴν τῶν χειρῶν ἐργασίαν ὡς πονηρίαν, ὕπνῳ δὲ σφᾶς αὐτοὺς ἐκδιδόντες τὰς τῶν ὀνείρων φαντασίας προφητείας ἀποκαλοῦσι. ταύτης ἐγένοντο τῆς αἱρέσεως ἀρχηγοὶ Λαδώης τε καὶ **2** Σάβας καὶ Ἀδέλφιος καὶ Ἑρμᾶς καὶ Συμεώνης καὶ ἄλλοι πρὸς τούτοις. οἳ τῆς μὲν ἐκκλησιαστικῆς οὐκ ἀπέστησαν κοινωνίας, οὐδὲν οὔτε ὀνινάναι οὔτε λωβᾶσθαι φάσκοντες τὴν θείαν τροφήν. περὶ ἧς ὁ δεσπότης ἔφη Χριστός· »ὁ τρώγων μου τὴν σάρκα καὶ πίνων μου τὸ αἷμα ζήσεται εἰς τὸν αἰῶνα«. κρύπτειν δὲ τὴν νόσον πειρώμενοι, καὶ μετὰ ἐλέγχους ἀναιδῶς ἐξαρνοῦνται, καὶ

4—S. 231, 20 vgl. Theodoret. Haeret. Fabul. IV 11 PG 83, 429 [aus Ἐπιστολαὶ des Letoïus und Ὑπομνήματα des Amphilochius]. Photius Cod. 52. Timoth. De recept. haeretic. PG 86¹, 48 f. Presb. Georgios in Byz. Zeitschr. IX 20 f. Nicetas Thesaur. IV 36 — **16, 17** Joh. 6, 54—58

* **4**—**6** Theophan. 63, 14 — **4**—S. 231, 20 Joh. Damasc. De haeres. lib. PG 94, 736 A. Vaticanus syriac. 145 fol. 77r (= Σ) — **12**—S. 230, 10 Theophan. 63, 17

B V² HN (n) + GSP (s) = r AL (y) F

1 *μή μου ἅπτου καθαρός εἰμι* ∽ L | *οὗτος*] *οὗτοι*, *ι* auf Rasur Ac | *μου*² ≻ V² am Ende der Zeile | **2** *ἄνοιαν* ryF *stultitiam* Cass. *ἄγνοιαν* B *διάνοιαν* V², vgl. oben 228, 4 | **3** *ἕνεκα* yF | **4** *ια* am Rand HSS | *μεσαλιανῶν* BSP *μεσσαληνῶν* n | **5** *εὐχήτας* GA | **6** *μεταβάλλοντες* BV²n Damasc. *μεταβαλόντες* syF | **7** *γενομένην* = Σ] *γινομένην* B | **8** *ἐνεργείας* A, den Singular bezeug. Cass. Σ | **10** *πονηρίαν* BV²GyF *πονηρὰν* nSP Damasc. *malitiam* Cass. | **11** *φαντασίας* = Damasc. Cass. Σ] *φαντασίας ὡσ* B | **12** *ἀρχηγοὶ τῆς αἱρέσεως* ∽ n, *haereseos principes* Cass. | *δαδώης* BNsF Theophan. Photius *δαδώης* Hy Damasc., *o* auf Rasur V² *Dadosius* Cass. *Δαώδης* Haeret. Fab. | **13/14** *τούτοις*] *τούτους* A | **14** *ἐκκλησιαστικῆς μὲν* ∽ B | **15** *ὀνινάναι* B *ὀνεῖναι* V²F *ὀνίναι* L *ὀνῆναι* A *ὀνίνασθαι* nS *ὀνήνασθαι* Damasc. *ὠνήσασθαι* G *ὀνίσασθαι* P **15** *τροφήν* - Damasc. Cass. Σ] *γραφήν* B | **18** *ἐλέγχου* V²

ἀποκηρύττουσι τοὺς ταῦτα φρονοῦντας ἅπερ ἐν ταῖς ψυχαῖς περιφέρουσι.

Λητῴϊος μὲν οὖν ὁ τὴν Μελιτηνῶν ἐκκλησίαν ἰθύνας, ἀνὴρ 3
ζήλῳ θείῳ κοσμούμενος, πολλὰ τῆς νόσου ταύτης σπάσαντα θεασάμενος μοναστήρια. μᾶλλον δὲ σπήλαια ληστρικά, ἐνέπρησε ταῦτα καὶ τοὺς λύκους ἐκ τῆς ποίμνης ἐξήλασεν. ὡσαύτως δὲ καὶ Ἀμφιλόχιος 4
ὁ πανεύφημος, τὴν Λυκαόνων μητρόπολιν νέμειν πεπιστευμένος καὶ ἅπαν ἰθύνων τὸ ἔθνος, ἐπισκήψασαν αὐτόσε τὴν λύμην ταύτην μαθών, ἐξανέστησε πάλιν καὶ τὰ ὑπ' αὐτοῦ νεμόμενα τῆς λώβης ἐκείνης ἠλευθέρωσε ποίμνια. Φλαβιανὸς δὲ ὁ πολυθρύλητος τῆς 5
Ἀντιοχέων ἀρχιερεύς, ἐν Ἐδέσσῃ τούτους διάγειν μαθὼν τὸν οἰκεῖον τοῖς πελάζουσιν ἐγχριπτομένους ἰόν, συμμορίαν μοναχῶν ἀποστείλας ἤγαγέ τε εἰς τὴν Ἀντιόχειαν καὶ τὴν νόσον ἐξαρνουμένους τόνδε τὸν τρόπον διήλεγξε. τοὺς μὲν γὰρ κατηγόρους ἔφη συκοφαντεῖν 6
καὶ τοὺς μάρτυρας ψεύδεσθαι· τὸν δὲ Ἀδέλφιον, ἅγαν ὄντα πρεσβύτην, ἠπίως τε καλέσας καὶ πλησίον καθεσθῆναι κελεύσας· »ἡμεῖς«, ἔφη, »ὦ πρεσβύτα, τὸν πλείω βεβιωκότες βίον, ἀκριβέστερον καὶ τὴν ἀνθρωπείαν ἐμάθομεν φύσιν καὶ τὰ τῶν ἀντιπάλων δαιμόνων ἔγνωμεν μηχανήματα, πείρᾳ δὲ καὶ τὴν τῆς χάριτος ἐδιδάχθημεν χορηγίαν· οὗτοι δὲ νέοι ὄντες καὶ τούτων οὐδὲν ἀκριβῶς ἐπιστάμενοι, πνευματικωτέρων ἐπακοῦσαι λόγων οὐ φέρουσι. τοιγάρτοι εἰπέ μοι, ὅπως φατὲ καὶ τὸ πνεῦμα τὸ ἐναντίον ὑποχωρεῖν καὶ τοῦ παναγίου πνεύματος τὴν χάριν ἐπιφοιτᾶν«. τούτοις ὁ πρεσβύτης 7

5 vgl. Matth. 21, 13 mit Parall. (Jer. 7, 11) — **6. 10** vgl. Act. 20, 29

* **10**—S. 231, 20 Georg. Mon. 537, 15

B V² HN (n) + GSP (s) = r AL (y) F

1 ἅπερ = Damasc. Σ] ἅπερ ἐκεῖνοι B *quae ipsi* Cass. | **3** λητῴϊος BGPm Theophan. λητόϊος V²nSPF Haeret. Fabul. λιτόϊος y Damasc., ι auf Rasur V² *Litōïus* Tim. Photius *Litoïus* Cass. | μελιτηνῶν V²HS μελιτι///νῶν, ι aus η corr., B μελετηνῶν F μελιτινῶν die übr. HSS | **4** κοσμούμενος — Damasc. Cass.] κινούμενος L | **6** ἐκ > B | δὲ Fs | **6/7** ὁ πανεύφημος ἀμφιλόχιος y | **10** ποίμνια vor 9 τῆς λώβης ∾ L | **10/11** τῆς Ἀντιοχέων ἀρχιερεύς = Damasc. Cass. Σ' ὅτε τῆσ ἀντιοχέων ἀρχιερεὺσ ἐγεγόνει y | **11** αἰδέσσῃ B ἐδέσῃ SP | διάγειν > V² | **12** ἐγχριπτομένους ryF ἐγχριπτομένοις B ἐγχριμπτομένους V² | nach ἰὸν + ἰδὼν P | **13** τε > BF Damasc. | τὴν¹ > BA Damasc. | **14** u. **17** ἔφησε n | **15** nach μάρτυρας + ἔφη V², Damasc. Cass. wie im Text | **16** τε > yF | καὶ πλησίον — κελεύσας = Damasc. Cass. Σ > yF | **18/19** ἐγνώκαμεν P | **21** πνευματικωτέρως y, σ in ν corr. Ac | **22** vor ὅπως + καὶ SP

ἐκεῖνος τοῖς λόγοις καταθελχθεὶς ἐξήμεσεν ἅπαντα τὸν κεκρυμμένον ἰόν, καὶ ἔφη μηδεμίαν μὲν ἐκ τοῦ θείου βαπτίσματος ὠφέλειαν τοῖς ἀξιουμένοις ἐγγίνεσθαι, μόνην δὲ τὴν σπουδαίαν εὐχὴν τὸν δαίμονα τὸν ἔνοικον ἐξελαύνειν. ἔλκειν γὰρ ἕκαστον τῶν τικτομένων ἔλεγεν ἐκ τοῦ προπάτορος, ὥσπερ τὴν φύσιν, οὕτω δὴ καὶ τὴν τῶν δαιμόνων δουλείαν· τούτων δὲ ὑπὸ τῆς σπουδαίας ἐλαυνομένων εὐχῆς, ἐπιφοιτᾶν λοιπὸν τὸ πανάγιον πνεῦμα, αἰσθητῶς καὶ ὁρατῶς τὴν οἰκείαν παρουσίαν σημαῖνον, καὶ τό τε σῶμα τῆς τῶν παθῶν κινήσεως ἐλευθεροῦν καὶ τὴν ψυχὴν τῆς ἐπὶ τὰ χείρω ῥοπῆς παντελῶς ἀπαλλάττειν, ὡς μηκέτι δεῖσθαι λοιπὸν μήτε νηστείας πιεζούσης τὸ σῶμα μήτε διδασκαλίας χαλινούσης καὶ βαίνειν εὔτακτα παιδευούσης. οὐ μόνον δὲ ὁ τούτου τετυχηκὼς τῶν τοῦ σώματος ἀπαλλάττεται σκιρτημάτων, ἀλλὰ καὶ σαφῶς τὰ μέλλοντα προορᾷ καὶ τὴν τριάδα τὴν θείαν τοῖς ὀφθαλμοῖς θεωρεῖ. οὕτως ὁ θεῖος Φλαβιανὸς τὴν 8
δυσῳδῆ διορύξας πηγὴν καὶ γυμνῶσαι παρασκευάσας τὰ θανατικὰ νάματα, πρὸς τὸν δύστηνον ἔφη πρεσβύτην· »πεπαλαιωμένε ἡμερῶν κακῶν, ἐλέγξαι σε τὸ σὸν στόμα καὶ οὐκ ἐγώ· τὰ δὲ χείλη σου καταμαρτυρήσαι σου«. δήλης δὲ ταύτης τῆς νόσου γεγενημένης, τῆς μὲν Συρίας ἐξηλάθησαν, εἰς δὲ τὴν Παμφυλίαν ἐχώρησαν καὶ ταύτην τῆς λώβης ἐνέπλησαν.

Ἐγὼ δὲ τῆς ἱστορίας τὰ λοιπὰ διηγήσομαι καὶ τῆς καταιγίδος, 12
ἣ τὰς πολλὰς κατὰ τῶν ἐκκλησιῶν τροκυμίας ἐκίνησε, τὴν ἀρχὴν

16/17 Susanna 52 — **17/18** Hiob 15, 6

B V² HN (n) + GSP (s) = r AL (y) F

1 *κεκρυμμένον* — Damasc. Georg.] *ἐικεκρυμμένον* B, *quod celabat* Cass. **2** *ὠφέλειαν* Bry Damasc. Georg. *τὴν ὠφέλειαν* V²F | **3** *ἐγγίνεσθαι* BV²S Damasc. Georg. *γίνεσθαι* nGPyF, *accedere* Cass. | *μόνον* V | **5** *οὕτω δὴ* - Damasc. Georg. Cass. Σ > y | **6** *δὲ* > P | **7** *ἐπιφοιτᾶν* B Damasc. *advenire* Cass. *ἐπιφοιτᾶ* V²ryF Georg. | *ἅγιον* B = Cass. | **8** *καὶ* BV² Damasc. Georg. > ryF **10** *ἀπαλλάττειν* B = Cass. *ἀπαλλάττον* (ο corr. V², -ων P) V²ryF Damasc. | **11** *εὐτάκτως* V² | **14** *τοῖς* > B | **15** *παρασκεάσας* B | **15/16** *τὰ θανατικὰ νάματα* B *τὰ νάματα* V²rF *τὰ δυσσεβῆ νάματα* y *τὰ νοήματα* Damasc., *et eius poculo cunctis examinanda producens* Cass. | **17** *ἐλέγξαι σε* nGLF *ἔλεγξαι σε* B *ἔλεγξαί σε* SP *ἐλέγξει σε* V² *ἐνέλεγξαί σε* A *ἤλεγξέ σε* Damasc. Georg. *increparit te* Cass. | **18** *καταμαρτυρήσαι σου* V²nGP *καταμαρτυρῆσαί σου* y *καταμαρτυρήσαισάν σου* BSF *κατεμαρτύρησάν σου* Damasc. *καταμαρτυροῦσί σου* Georg. *testantur adversum te* Cass.; vielleicht hat Theod. 17/18 (wie Georg. Cass.) nicht wörtlich citiert (s. Z. 17 *οὐ* statt *μὴ* LXX) u. haben die Abschreiber nach ihren Bibeln corrigiert? | *δὲ ταύτης τῆς* r *δὲ* [illegible] *τῆς* V² *δὴ τὰ τῆς* B *δὲ τῆς* F *δῆτα τῆς* y; *cumque hic languor* Cass. *τῆς . . . νόσου ταύτης* Georg. | **21** *ιβ* am Rand BV²r

ἐπιδείξω. ὁ γὰρ Βάλης τὴν βασιλείαν παραλαβὼν τοῖς ἀποστολικοῖς τὰ πρῶτα δόγμασιν ἐκοσμεῖτο. τῶν δὲ Γότθων τὸν Ἴστρον διαβάντων καὶ τὴν Θράκην λῃζομένων, στρατιάν τε συναθροῖσαι καὶ στρατεῦσαι κατ᾽ αὐτῶν ἐβουλεύσατο. ἔδοξε δὲ αὐτῷ μὴ γυμνὸν τῆς 2
θείας παρατάξασθαι χάριτος, ἀλλὰ τῇ τοῦ παναγίου βαπτίσματος πανοπλίᾳ φραξάμενον. καὶ τοῦτο μὲν εὖ γε ἔδοξε καὶ μάλα σοφῶς· τὸ δὲ μετὰ τοῦτο πολλὴν τῆς ψυχῆς μαλακίαν καὶ τῆς ἀληθείας προδοσίαν δηλοῖ. τὸ γὰρ ὅμοιον πέπονθεν ὁ ταλαίπωρος πάθος 3
Ἀδὰμ τῷ προπάτορι. τοῖς γὰρ τῆς ὁμόζυγος λόγοις καὶ οὗτος καταθελχθεὶς ἐξηνδραποδίσθη, καὶ γέγονεν οὐ δορυάλωτος, ἀλλ᾽ ἀπατηλῶν καὶ γυναικείων ῥημάτων ὑπήκοος. τῆς γάρ τοι Ἀρεια- 4
νικῆς ἐξαπάτης ἐκείνη πρότερον θήραμα γενομένη συνεθήρευσε καὶ τοῦτον, καὶ σὺν αὐτῇ πεσεῖν εἰς τὸ τῆς βλασφημίας ἀνέπεισε βάραθρον. ἡγεῖτο δὲ ξεναγῶν καὶ μυσταγωγῶν ὁ Εὐδόξιος· αὐτὸς γὰρ
ἔτι τῆς ἐκκλησίας Κωνσταντινουπόλεως κατεῖχε τοὺς οἴακας, οὐκ ἰθύνων ἀλλὰ βαπτίζων τὸ σκάφος. τότε δὴ οὖν παρ᾽ αὐτὸν τῆς 13
μυήσεως τὸν καιρὸν ὅρκοις δεσμεῖ τὸν τρισάθλιον, ὥστε καὶ τῇ τοῦ δόγματος δυσσεβείᾳ προσμεῖναι, καὶ τοὺς τἀναντία φρονοῦντας πάντοθεν ἐξελάσαι.

9/10 vgl. Synops. 60, 8. Zonar. XIII 16, 1 S. 76, 1 — **14** vgl. Sozomen. VI 6, 10. Socrat. IV 1, 6

* **1**—S. 233, 3 Cass. VII 13 — **8—19** Cod. syriac. Br. Mus. Add. 17,147 F 143r (= Σ) — **9—19** Theophan. 57, 3. Polydeukes 390, 6. Exc. Bar. F. 221r

B V² HN (n) + GSP (s) = r AL (y) F

1 *ὁ γὰρ*: *ιβ* am Rand yF | *οὐάλησ* s | **2/3** *διαβάντων τὸν Ἴστρον* ∼ n | **3** *τε* > GyF | *συναθροῖσαι καὶ*] *συναθρόισασ* y | **4** *κατ᾽ αὐτῶν στρατεῦσαι* ∼ B | *δὲ* BV²s *οὖν* nyF | *αὐτῷ*] *αὐτὸν* L *αὐτῶν* B | **5** *χάριτος παρατάξασθαι* ∼ BP | **6** *σοφῶσ* HSF, *o* auf Rasur, V² *sapienter* Cass. *σαφῶσ* BNGPy | **8** *ὅμοιον*] *ὁμοιούσιον* P | **9** *ὁμόζυγοσ* B *ὁμοζύγου* V²ryF, vgl. S. 75, 16 u. 19; 189, 19 | **10** *δοριάλωτοσ* BV² | nach *δορυάλωτος* + *μόνον* n, Cass. Σ wie im Text | *ἀλλ᾽*] *ἀλλὰ καὶ* n | **11** *καὶ* > V²r | *ῥηματίων* F | *ὑπήκοσ* V² *τοι*] *τῆσ* F > y | **12** *γενομένη* (*o* auf Rasur Ac) A *γεναμένη* B | **12/13** *καὶ τοῦτον συνεθήρευσεν* ∼ L | **13** *καὶ* > F | *ἀνέπεῖσε* A | **14** *ξεναγωγῶν* s | *ὁ* > B | **15** *ἐκκλησίασ* BCass. Σ > V²ryF | **16** *ἰθύνων* B *ἰ//θύνων* V² *εὐθύνων* ryF | *βαπτίζων*] *ποντίζων* B, vgl. Theodoret. de Provid. Orat. VI PG 83, 648 C | *οὖν* = *ergo* Cass. Σ > yF | **18** *προσμεῖναι*] *παραμεῖναι* yF | *φρονοῦντασ* ryF *sapientes* Cass. *πρεσβεύοντασ* B *ἀντιπρεσβεύοντασ* V², vgl. z. B. unten S. 247, 3 | **18/19** *πάντοθεν* = Cass. Σ] *πάντασ* L

Οὕτω τὴν ἀποστολικὴν ἐκεῖνος διδασκαλίαν καταλιπών, τῆς [ιγ΄]
ἐναντίας μερίδος ἐγένετο· καὶ βραχέος διεληλυθότος χρόνου τὰ λει-
πόμενα τῶν ὁμωμοσμένων ἐπλήρωσεν. ἐξήλασε μὲν γὰρ ἐκ τῆς **2**
Ἀντιόχου τὸν μέγαν Μελέτιον, ἐκ δὲ Σαμοσάτων τὸν θεῖον Εὐσέ-
βιον, Λαοδίκειαν δὲ Πελαγίου τοῦ θαυμασίου ποιμένος ἐστέρησεν· ὃς
ἐδέξατο μὲν νέος ὢν τὸν τοῦ γάμου ζυγόν, ἐν αὐτῇ δὲ τῇ παστάδι,
τῇ πρώτῃ τῶν γάμων ἡμέρᾳ, τὴν ἁγνείαν ἔπεισε τῆς κοινωνίας
προτιμῆσαι τὴν νύμφην καὶ φιλοστοργίαν ἀδελφικὴν ἀντὶ γαμικῆς
συναφείας ἔχειν αὐτὴν ἐξεπαίδευσεν. οὕτω μὲν δὴ τὴν σωφροσύνην **3**
κατώρθωσεν. εἶχε δὲ καὶ τὰς ταύτης ἀδελφὰς ἀρετὰς ἐν ἑαυτῷ σὺν
αὐτῇ χορευούσας· οὗ δὴ ἕνεκα ψήφῳ κοινῇ τὴν προεδρίαν ἐδέξατο.
ἀλλ' ὅμως οὐδὲ αἱ τῆς πολιτείας ἀκτῖνες κατῄδεσαν τὸν τῆς ἀλη-
θείας πολέμιον· ἀλλὰ τοῦτον μὲν εἰς τὴν Ἀραβίαν ἐξέπεμψεν, εἰς δὲ
τὴν Ἀρμενίαν τὸν θεῖον Μελέτιον, εἰς δέ γε τὴν Θρᾴκην Εὐσέβιον
τὸν τοῖς ἀποστολικοῖς ἱδρῶσι περιρρεόμενον.

Οὗτος γὰρ πολλὰς τῶν ἐκκλησιῶν ἐρήμους εἶναι ποιμένων **4** [ιδ΄]
μαθών, στρατιωτικὸν ἀμπεχόμενος σχῆμα καὶ τιάρᾳ καλύπτων τὴν
κεφαλήν, καὶ τὴν Συρίαν περιῄει καὶ τὴν Φοινίκην καὶ τὴν Παλαι-
στίνην, πρεσβυτέρους χειροτονῶν καὶ διακόνους καὶ τὰ ἄλλα τάγματα
τῆς ἐκκλησίας ἀναπληρῶν· εἰ δέ ποτε καὶ ἐπισκόπων ὁμογνωμόνων
ἐπέτυχε, καὶ προέδρους ταῖς δεομέναις ἐκκλησίαις προὐβάλλετο.

Ὁπόσην δὲ ἀνδρείαν τε καὶ σοφίαν ἐπεδείξατο βασιλικὸν δεξά- **14**
μενος νόμον ὃς ἐκέλευεν αὐτὸν τὴν Θρᾴκην καταλαβεῖν, ἀναγκαῖον

* **3**—S. 237, 17 Niceph. H. E. XI 21 — **4**—**9** Cass. VII 14 — **14**—S. 237, 17 Cass. VII 16 — **16**—**21** Cod. syriac. Br. Mus. Add. 12,155 F 111r. Polydeukes 402, 23 — **23**—S. 236, 13 Polydeukes 402. 18. 404, 2. Theophan. 59. 13. Exc. Bar. 220r. Michael Syr. VIII 7 S. 295

B V² HN(n) + GSP(s) — r AL(y) F

1 *Οὕτω*: *ιγ* am Rand HSS | **2** *βραχέως* P | **3** *ὡμοσμένων* BNF *ὁμοσμέ-νων* GA | *μὲν* > B | **4** *θεῖον* = Nic.] *μέγαν* B, *sanctum* Cass. | **5** *λαοδι-κείας* V² | **6** *μὲν* > P | **10** *τὰς* übergeschrieben Ac | *ἐν* > B | *ἑαυτῷ*] *ἑαυτῇ* GS | **11** *εἵνεκα* V²syF | **12** *αἱ* > B, nach *πολιτείας* übergeschrieben V² **13** *ἀλλὰ*: *ιδ* am Rand B | *εἰς*² — **14** *Μελέτιον* > P | **14** *γε* > BP **15** *τὸν τοῖς* B *τοῖς* V² *τὸν* ryF | *περιρεόμενον* BV²GS *περιραιόμενον* P **16** *Οὗτος*: *ιδ* am Rand yF | *πολλοὺς* B | **18** *καὶ*¹ > n Cass. Polyd. | *περιείη* BP | **20** vor *ἐπισκόπων* + *τῶν* V² | *ὁμογνώμων* B | **20 21** *ἐπέτυχεν ὁμογνωμόνων* ∾ L | **21** *προβάλλετο* B | **22** *τε* nur in B | *καὶ σοφίαν* Cass. > yF | **23** *ἐκέλευεν* B *praecipiebat* Cass. *ἐκέλευσεν* V²ryF

οἶμαι τοὺς ἀγνοοῦντας μαθεῖν. ἀφίκετο μὲν γὰρ ὁ τοῦτον κομίζων τὸν νόμον περὶ δείλην ὀψίαν· ὁ δέ οἱ σιγῆσαί τε παρηγγύησε καὶ κρύψαι τῆς ἀφίξεως τὴν αἰτίαν. »εἰ γὰρ μάθοι«, ἔφη, »τὸ πλῆθος ζήλῳ θείῳ συντεθραμμένον, σὲ μὲν κατακοντιοῦσιν, ἐγὼ δὲ τὰς ὑπὲρ τῆς σῆς τελευτῆς εἰσπραχθήσομαι δίκας«. ταῦτα εἰπὼν καὶ τὴν ἑσπερινὴν λειτουργίαν συνήθως ἐπιτελέσας, περὶ αὐτὰς τοῦ ὕπνου τὰς εἰσβολάς, ἐνὶ θαρρήσας τῶν οἰκετῶν, μόνος ἐξελήλυθεν ὁ πρεσβύτης βαδίζων· εἵπετο δὲ ὁ θεράπων, προσκεφάλαιον μόνον καὶ βιβλίον κομίζων. καταλαβὼν δὲ τοῦ ποταμοῦ τὴν ὄχθην (παρ' αὐτοὺς γὰρ τοῦ ἄστεως τοὺς περιβόλους ὁ Εὐφράτης ἔχει τὸν πόρον), ἐπέβη τε πορθμείου καὶ τοῖς ἑρέταις ἐλαύνειν ἐπὶ τὸ Ζεῦγμα προσέταξεν. ἡμέρας δὲ γενομένης, ὁ μὲν τὸ Ζεῦγμα κατέλαβεν, τὰ δὲ Σαμόσατα ὀδυρμῶν ἦν καὶ θρήνων μεστά. τοῦ γὰρ οἰκέτου ἐκείνου τοῖς γνωρίμοις τὰ προστεταγμένα μηνύσαντος, καὶ τίνας μὲν αὐτῷ συνεκδημῆσαι προσήκει, ποίας δὲ βίβλους κομίσαι, ὠλοφύροντο μὲν ἅπαντες τοῦ ποιμένος τὴν στέρησιν, πλήρης δὲ ὁ τοῦ ποταμοῦ πόρος τῶν πλεόντων ἐγένετο. ἐπειδὴ δὲ ἀφίκοντο καὶ τὸν ποθούμενον εἶδον ποιμένα, ὀδυρόμενοι μὲν καὶ στένοντες καὶ πηγὰς δακρύων προχέοντες πείθειν ἐπειρῶντο μένειν, καὶ μὴ προέσθαι τοῖς λύκοις τὰ πρόβατα. ἐπειδὴ δὲ οὐκ ἔπεισαν (ἤκουσαν δὲ αὐτοῦ τὸν ἀποστολικὸν ἀναγινώσκοντος νόμον ὃς διαγορεύει σαφῶς ἀρχαῖς καὶ ἐξουσίαις ὑποτάσσεσθαι) οἱ μὲν αὐτῷ χρυσίον προσήνεγκαν, οἱ δὲ ἀργύριον, ἄλλοι δὲ ἐσθῆτα, ἕτεροι δὲ οἰκέτας, ὡς εἰς ξένην καὶ ἑκὰς κειμένην ἀπαίροντι γῆν. ὁ δὲ σμικρά τινα παρὰ τῶν γνωριμωτέρων λαβὼν καὶ διδασκαλίαις

2 vgl. Basil. Epist. 243, 2 PG 32, 905 A — **21** Tit. 3, 1

B V² HN (n) + GSP (s) = r AL (y) F

2 οἱ V² αὐτῷ rLF αὐτῷ καὶ A > B | παρεγγύησεν B παρ̣ηγγύησε V² **4** κατακοντιοῦσιν BV² καταποντιοῦσιν ryF, *interimet* Cass. »de peur que le peuple . . . ne le lapidât« Michael | **9** παρ' αὐτῷ — **10** τῷ περιβόλῳ yF, *juxta ipsos muros* Cass. | ἄστεως BP, *o* auf Rasur V²F ἄστεος nG Sy | **10** πορθμείον H πορθμίον BV² πορθμίῳ s πορθμείῳ NyF | **11** προσέταξεν] παρηγγύησε y | ἡμέρας — **12** κατέλαβεν BV² Cass. > ryF | **12** γενομένης B | **15** ὠλοφύροντο B *ingemiscebant* Cass. ὠλοφύραντο, aber *α* scheint aus *o* corr., V² | **17** ποιμένα εἶδον ∾ B | **18** μὲν > B | **19** πρόβατα Br Nic. *ores* Cass. θρέμματα V² Bm yF | **20** δὲ²] γὰρ B | ἀναγιγνώσκοντα B | **22** ἤνεγκαν B, *obtulerunt* Cass. ἄργυρον n | ἄλλοι δὲ BV² οἱ δὲ ryF | αἰσθῆτα B | **23** ὡς εἰς ξένην > yF, am Rand A^{c} | καὶ] τὴν L | ἑκὰς κειμένην yF κεκακισμένην B πόρρω κειμένην r ἀπωκισμένην V², *tanquam ad peregrinam et extraneam properanti terram* Cass.

ἅπαντας καὶ προσευχαῖς καθοπλίσας καὶ τῶν ἀποστολικῶν ὑπερμαχεῖν δογμάτων παρεγγυήσας, ἐπὶ τὸν Ἴστρον ἀπῆρεν. οἱ δὲ τὸ σφέτερον ἄστυ καταλαβόντες καὶ ἀλλήλους παραθήξαντες, προσέμενον τῶν λύκων τὰς προσβολάς.

Διηγήσομαι δὲ καὶ τῆς τούτων πίστεως τὸ θερμόν τε καὶ 15
ἀκραιφνές, ἀδικεῖν νομίζων εἰ μὴ διὰ τῆς συγγραφῆς ἀείμνηστος γένοιτο. ἐπειδὴ γὰρ οἱ τῆς Ἀρείου συμμορίας, τοῦ πάντα ἀρίστου ποιμένος τὴν ποίμνην γυμνώσαντες, ἕτερον ἀντ᾽ ἐκείνου προὐβάλοντο πρόεδρον, οὐδεὶς τῶν τὴν πόλιν ἐκείνην οἰκούντων, οὐ πενίᾳ συζῶν, οὐ πλούτῳ κομῶν, οὐκ οἰκέτης, οὐ χειροτέχνης, οὐ γηπόνος, οὐ φυτοκόμος, οὐκ ἀνήρ, οὐ γυνή, οὐ νέος, οὐ πρεσβύτης, εἰς ἐκκλησιαστικὸν συνήθως ἀφίκετο σύλλογον· μόνος δὲ διῆγεν ἐκεῖνος, οὐδενὸς αὐτὸν οὔτε ὁρῶντος οὔτε λόγου μεταδιδόντος, καίτοι φασὶν αὐτὸν ἐπιεικείᾳ συνεζηκέναι πολλῇ. ἐρῶ δὲ καὶ τούτου τεκμήριον.

Ἐπειδὴ γὰρ λούσασθαι βουληθέντος οἱ οἰκέται τοῦ βαλανείου τὰς 2
θύρας ἔκλεισαν τοὺς εἰσελθεῖν βουλομένους κωλύοντες, πλῆθος πρὸ τῶν θυρῶν θεασάμενος ἀναπετάσαι ταύτας ἐκέλευσε. καὶ ἀδεῶς τοῦ λουτροῦ τοὺς πάντας κοινωνῆσαι προσέταξε. ταὐτὸ δὲ τοῦτο καὶ ἔνδον ἐν τοῖς θόλοις πεποίηκε. λουομένῳ γὰρ αὐτῷ παρεστηκότας ἰδών, συμμετασχεῖν τῶν θερμῶν ὑδάτων ἐκέλευσεν· οἱ δὲ σιγῶντες εἱστήκεισαν. ὁ δὲ τιμὴν τὴν στάσιν ὑπολαβών, θᾶττον ἀναβὰς ἐξελήλυθεν. οἱ δὲ τοῦ τῆς αἱρέσεως ἄγους καὶ τὸ ὕδωρ μετεσχηκέναι 3
νομίσαντες, ἐκεῖνο μὲν τοῖς ὑπονόμοις παρέπεμψαν, ἕτερον δὲ αὐτοῖς κερασθῆναι προσέταξαν. τοῦτο μαθὼν ἐκεῖνος ᾤχετο τὴν πόλιν καταλιπών, πόλιν οἰκεῖν ἀπεχθανομένην καὶ κοινὴν δυσμένειαν ἔχουσαν ἀβέλτερον εἶναι νομίσας καὶ λίαν ἀνόητον.

B V² HN (n) + GSP (s) = r AL (y) F

1 πάντασ B | **3** καὶ > n | **5** ιε̅ am Rand BV²s | **7** ἐπειδὴ: ιε̅ am Rand ny | **8** προυβάλλοντο yF | **10** κομῶν] κωμῶν BG, ο auf Rasur V² λάμπων n | **12** ἀφίκοντο V² | **13** ὁρῶντεσ B | λόγων n | μεταδιδόντος λόγου ∾ V² | **14** τούτου] τοῦτο τὸ V², *cuius rei hoc probatur indicium* Cass. | **17** τοῦ] οἱ (τοῦ) V² | **18** τοὺσ πάντασ B *omnes* Cass. > V²ryF, τῷ βουλομένῳ Nic. | κοινωνῆσαι BV² κοινωνεῖν ryF Nic. | ταὐτὸ δὲ τοῦτο = *hoc idem* Cass.] τοῦτο δὲ B τὸ ἴσον δὲ Nic. | **19** ἐποίησεν B | λουομένου γὰρ αὐτοῦ V², *lavanti sibi* Cass. **20** ἐκέλευσεν] προσέταξεν V² | **21** εἱστήκεισαν] ἑστήκεσαν B in εἱστήκεσαν corr. V², s. S. 239, 23 | τὴν στάσιν τιμὴν ∾ L | ἀναβὰσ V²nSF *ascendens* Cass. ἀναστὰσ BGPy, vgl. Polyd. u. Exc. Bar. ἡνίκα . . . ἀνῆλθεν | **22** μετεσχηκέναι] μετεσχηματηκέναι B | **23** τοῖς ὑπονόμοις μὲν ∾ B | **24** προσέταξ||| V² | **25** καὶ κοινὴν > yF, κοινὴν übergeschrieben Ac

Τοῦ δὲ Εὐνομίου τὰ Σαμόσατα καταλιπόντος (οὕτω γὰρ ὠνο- 4
μάζετο), Λούκιον αὐτοῖς ἀντ' ἐκείνου προὐβάλοντο, προφανῆ λύκον
καὶ τῶν προβάτων ἐπίβουλον. ἀλλὰ καὶ ποιμένος ἔρημα ὄντα τὰ
πρόβατα τὰ ποιμένων εἰργάζετο· διετέλεσαν γὰρ τὴν ἀποστολικὴν
διδασκαλίαν φυλάττοντες ἄσυλον. ὅπως δὲ καὶ τοῦτον ἅπαντες 5
ἐμυσάττοντο, ἕτερον διδάξει διήγημα.

Μειράκια γὰρ δὴ κατὰ τὴν ἀγορὰν σφαῖραν ἀλλήλοις ἀντέπεμπον,
τερπόμενα τῇ παιδιᾷ. τούτου δὲ παριόντος, συνέβη τὴν σφαῖραν 6
ἐκπεσοῦσαν διὰ τῶν τοῦ ὄνου διαβῆναι ποδῶν. οἱ δὲ ἀνωλόλυξαν,
μύσους ἀναπλησθῆναι τὴν σφαῖραν ὑπειληφότες· ὁ δὲ συνεὶς ἐκέλευσεν
ἑνὶ τῶν ἑπομένων προσμεῖναι καὶ γνῶναι τὸ δρώμενον. οἱ δὲ παῖδες 7
πῦρ ἀνάψαντες καὶ τὴν σφαῖραν διὰ τῆς φλογὸς ἀκοντίσαντες, οὕτω
καθαίρειν ὑπέλαβον. καὶ οἶδα μὲν ὡς μειρακιῶδες τοῦτο καὶ τῆς
παλαιᾶς λείψανον συνηθείας· ἱκανὸν δὲ ὅμως τεκμηριῶσαι τὸ μῖσος
ὁπόσον εἶχεν ἡ πόλις ἐκείνη περὶ τὴν Ἀρείου συμμορίαν.

Ὁ μέντοι Λούκιος οὐκ ἐζήλωσε τὴν Εὐνομίου πραότητα, ἀλλὰ 8
πολλοὺς μὲν καὶ ἄλλους τῶν ἱερωμένων ἐξοστρακίσαι τοὺς ἄρχοντας
ἔπεισε, τοὺς δέ γε διαφερόντως τῶν θείων ὑπερμαχοῦντας δογμάτων
εἰς αὐτὰ ἐξέπεμψε τῆς Ῥωμαίων ἡγεμονίας τὰ τέρματα· Εὐόλκιον
μὲν διακονίας ἠξιωμένον, εἰς Ὄασιν εἰς τὸ ἔρημον πολυθρύλητον.
Ἀντίοχον δέ, καὶ τῇ Εὐσεβίου τοῦ μεγάλου συγγενείᾳ κοσμούμενον
(ἀδελφιδοῦς γὰρ αὐτοῦ ἐτύγχανεν ὤν), καὶ πολλοῖς οἰκείοις κατορθώ-

B V² HN (n) + GSP (s) = r AL (y) F

2 προυβάλλοντο yF, *constituerunt* Cass. | **3** καὶ τῶν — ἀλλὰ > GS ἀλλὰ = *sed* Cass.] ἀλλ' ὅμως y | **4** nach ποι[μένων] bis S. 238, 4 ἀνάπλεως Blatt 14 zur Hälfte verloren in P | εἰργάζετο V²SF ἠργάζετο BG εἰργάζοντο ny | **7. 8. 10. 12** σφαῖραν] σφέραν BG, αῖ auf Rasur zweiter Hand V² | ἀντέπεμπον = Nic.] ἀντιπέμποντες V², *porrigentes, lusu delectabantur* Cass. | **8** τῇ παιδιᾷ] τὰ παιδία V² | **9** διαβῆναι ποδῶν] ποδῶν διαβῆναι V² ποδῶν διελθεῖν Nic. ποδῶν ἐκκυλισθῆναι y, *per asini eius transiret pedes* Cass. | οἱ δὲ — **11** δρώμενον = Cass. > r (P fehlt) | **10** ἀναπλησθῆναι μύσους ~ y, *pollutione completam* Cass. | ὑπειληφότες] ὑπολαβόντες B εἰληφότες Bm | **11** ἑνὶ ryF Nic. τινι V² *alicui* Cass. > B | παῖδες = Nic. > B, *pueri* Cass. | **12** τῆς φλογὸς] τοῦ πυρὸς y, *flammam* Cass. | **14** ἱκανῶσ B | μῖσος = *odium* Cass.] μύσος B. ι aus υ corr. V² | **15** πόσον V² | **16** nach μέντοι + οὖν expung. V² **17** καὶ ἄλλους] καὶ ἄλλων B > Cass. | **18** δογμάτων ὑπερμαχοῦντας ~ V² **20** ὄασιν] θάσιν B | εἰς²] ἧς V², *in* Cass. | πολυθρύλητον BV² πολύδριον rF πολίχνιον y, nicht übersetzt von Cass. | **21** τῇ — συγγενείᾳ V²S τῇ — συγγενείασ (sic) B τῆσ — συγγενείασ nGyF | **22** ἀδελφιδῆσ V² | γὰρ] δὲ GS, *enim* Cass.

μασι λαμπρυνόμενον, καὶ μὲν δὴ καὶ ἱερωσύνης ἠξιωμένον. εἴς τινα τῆς Ἀρμενίας ἐσχατιάν. ὅπως δὲ οὗτος τῶν θείων ὑπερήθλει δογ- 9
μάτων, τὰ μετὰ ταῦτα δηλώσει.

Ἐπειδὴ γὰρ ὁ θεῖος Εὐσέβιος μετὰ τοὺς πολλοὺς ἀγῶνας καὶ τὰς ἰσαρίθμους νίκας καὶ τὸ τῶν μαρτύρων ἐδέξατο τέλος, συνῆλθε μὲν συνήθως τοῦ ἔθνους ἡ σύνοδος, ἀφίκετο δὲ καὶ Ἰοβῖνος, τῆς Πέρρης τηνικαῦτα ἐπίσκοπος ὤν. ὀλίγον δέ τινα χρόνον οὗτος τῆς 10
τῶν Ἀρειανιζόντων ἠνέσχετο κοινωνίας. πάντων δὴ οὖν τὸν Ἀντίοχον ψηφισαμένων τοῦ θείου διάδοχον, καὶ παρὰ τὴν ἱερὰν τράπεζαν ἀγαγόντων τε καὶ κλῖναι βιασαμένων τὰ γόνατα, ἐπειδὴ στραφεὶς εἶδε τὸν Ἰοβῖνον τὴν δεξιὰν ἐπιτιθέντα τῇ κεφαλῇ, ἀπεσείσατό τε τὴν χεῖρα καὶ τῶν χειροτονούντων ἀποκριθῆναι προσέταξε, λέγων μὴ ἀνέξεσθαι δεξιᾶς δεξαμένης διὰ βλασφημίας τελεσθέντα μυστήρια. ἀλλὰ ταῦτα μὲν μετ' οὐ πολὺν χρόνον ἐγένετο· τότε δὲ εἰς τὴν 11
Ἀρμενίαν τὴν ἐνδοτέραν ἀπῆχθη. ὁ δὲ θεῖος Εὐσέβιος παρὰ τὸν Ἴστρον διῆγε, τῶν Γότθων τὴν Θρᾴκην ληϊζομένων καὶ τὰς πόλεις πολιορκούντων, ὡς τὰ παρ' ἐκείνου γραφέντα δηλοῖ.

Βάρσην δέ, οὗ καὶ νῦν πολὺ τὸ κλέος οὐκ ἐν Ἐδέσσῃ μόνον ἦν 16
ἴθυνε καὶ ταῖς ταύτης πλησιοχώροις πόλεσιν, ἀλλὰ καὶ ἐν Φοινίκῃ καὶ ἐν Αἰγύπτῳ καὶ Θηβαΐδι (ταῦτα γὰρ πάντα διελήλυθε τὰ ἔθνη

5 unt. V 4, 8

* **4**—S. 238, 11 Michael Syr. VII 7, 296 — **18**—S. 238, 11 Cass. VII 17 — **18**—S. 238, 20 Niceph. H. E. XI 22

B V² HN (n) + GSP (s) = r AL (y) F

2 *ὑπερήθλει τῶν θείων* ∼ V² | **6** *μὲν*] *μὲν οὖν* V² | *Ἰοβῖνος* Br *Ἰοβῖνος ὁ* V² *Iovinus* Cass. Cod. L *Ἰοβιανός* LF Nic. *Ἰωβιανός* A, vgl. *Iobinus Perrhensis* Mansi III 569 B | **7** *πέρρης* V² *Perenae civitatis* Cass. Cod. L *Pera* Michael *πέλλης* F *πέργης* die übr. HSS (P fehlt) Nic. | **9** *ψηφισαμένων* nach *διάδοχον* ∼ B, Cass. wie im Text | *τοῦ θείου* — **10** *βιασαμένων* > s (P fehlt) | **10** *ἀναγαγόντων* B *perduxissent* Cass. | *τε* > B | *τὰ γόνατα βιασαμένων* ∼ V² **11** *Ἰοβιανὸν* BLF Nic. *Ἰωβιανὸν* A *Ἰουβῖνον* S | *ἐπιτιθέντα* B *imponentem* Cass. *ἐπιθέντα* V²ryF *ἐπιθέμενον* Nic., vgl. unten IV 23, 2 | *τε* > s (P fehlt) **13** *ἀνέξεσθαι* BV² Nic. *ἀνέχεσθαι* die übr. HSS | vor *δεξιᾶς* + *διὰ* B | **14** *μετ' οὐ πολὺν χρόνον* V² *μεθοὐπολὺ χρόνον* B *οὐ μετ' οὐ πολὺν χρόνον* nL *οὖν μετ' οὐ πολὺν χρόνον* F *οὐ μετὰ πολὺν χρόνον* GSA *non post multum temporis* Cass. *ἐγένοντο* L | **14/15** *εἰς τὴν ἐνδοτέραν Ἀρμενίαν* ∼ B | **16** *Γότθων*] *κελτῶν* B *Celtis* Cass. | **17** *τὰ*] *τὰς* B | **18** ις am Rand HSS | *βαρσῆν* V² *βαρσην* B *βάρσου* y | *αἰδέσσῃ* B *ἐδέσῃ* V²rF | **19** *ταύτης*] *ταύταις* V²F *ταύτῃ* B **20** *ἐν* > B | nach *καὶ*? + *ἐν* P | *ἅπαντα* V²

διὰ τῆν τῆς ἀρετῆς περιφερόμενος λαμπηδόνα). πρῶτον μὲν αὐτὸν ὁ Βάλης Ἄραδον οἰκεῖν τὴν νῆσον προσέταξεν· ἐπειδὴ δὲ ἔγνω μυρία πάντοθεν πρὸς αὐτὸν συρρέοντα πλήθη (ἀποστολικῆς γὰρ χάριτος ἀνάπλεως ὢν λόγῳ τὰς νόσους ἐξήλαυνεν), εἰς Ὀξύρυγχον αὐτὸν τὴν Αἰγυπτίαν ἐξέπεμψε πόλιν. ὡς δὲ κἀκεῖ τὸ τούτου κλέος συνήγειρεν ἅπαντας, εἰς φρούριον ἔσχατον τοῖς ἐκεῖ γειτονεῦον βαρβάροις (Φηνὼ δὲ τούτῳ ὄνομα) ὁ τῶν οὐρανῶν ἄξιος ἀπήχθη πρεσβύτης. ἐν δὲ τῇ Ἀράδῳ φασὶ τὴν ἐκείνου μέχρι καὶ τήμερον μεμενηκέναι κλίνην, πλείστης ἀξιουμένην τιμῆς. πολλοὶ γὰρ τῶν ἀρρωστούντων ἐπ' ἐκείνης κατακλινόμενοι τὴν ὑγείαν διὰ τῆς πίστεως δρέπονται. 2 3

Πάλιν τοίνυν ὁ Βάλης. τὴν ποίμνην τοῦ ποιμένος γυμνώσας, λύκον ἀντὶ ποιμένος ἐπέστησεν. ἐπειδὴ δὲ ἅπαντες τὴν πόλιν καταλιπόντες πρὸ τοῦ ἄστεως συνηθροίζοντο, ἀφίκετο μὲν αὐτὸς εἰς τὴν Ἔδεσσαν, τῷ δὲ ὑπάρχῳ προσέταξε (Μόδεστος δὲ τηνικαῦτα ἦν) τούς τε ὑπ' αὐτὸν στρατιώτας ἀθροῖσαι οἳ τὰς εἰσφορὰς εἰσπράττειν εἰώθασι, καὶ τῆς ὁπλιτικῆς δυνάμεως τοὺς παρόντας παραλαβεῖν καὶ τὸ συναθροιζόμενον σκεδάσαι πλῆθος, καὶ ῥάβδοις παίοντας καὶ ῥοπάλοις καὶ τοῖς ἄλλοις πολεμικοῖς ὀργάνοις εἰ δεήσοι χρωμένους. ὑπὸ τὴν ἕω τοίνυν ὁ ὕπαρχος τὸ κελευόμενον ἔδρα. διιὼν δὲ τὴν ἀγορὰν εἶδε γύναιον βρέφος φέρον ἐν ταῖς χερσὶ καὶ μάλα γε ἐπειγό- 17 2

13—S. 239, 16 vgl. Rufin. XI 5. Socrat. IV 18. Sozomen. VI 18, 2—7. Chronic. Edessenum anno 684 in Corpus Script. Christ. Or. cur. Chabot. Scriptores Syri. Versio. Series III t. IV S. 5

B V² HN (n) + GSP [P bis **4** *ἀνάπλεως*] (s) = r AL (y) F

1 *διὰ τὴν τῆσ ἀρετῆσ περιφερόμενοσ* V²yF *ἡ διὰ τὴν τῆσ ἀρετῆσ περιφερομένην* B *τὴν τῆσ ἀρετῆσ περιφερόμενοσ* r, *quas gentes cum maximo virtutis suae splendore transierat* Cass. | *μὲν*] *μὲν οὖν* V² | *αὐτὸν* > y | **2** *ὁ* > GS | *οὐάλησ* Bs, zweiter Hand V² | *οἰκεῖν τὴν νῆσον*] *νῆσον οἰκεῖν* V² | *ἐπειδὴ*] *ἐπεὶ* B | *μυρίασ* B | **3** *πάντοθεν* > BCass. | *συρέοντα* B | *συρρέοντα πρὸς αὐτὸν* ∾ L | *ἀποστολικῆς γὰρ*] *καὶ γὰρ ἀποστολικῆσ* y | **4** *ἀνάπλεωσ* BGS | *ἀπήλαυνεν* n | *αὐτὸν* > s | nach *αὐτὸν* + *κατὰ* y + *καὶ* F, Cass. wie im Text | **6** *γειτονεῦον* = *vicinum* Cass.] *γειτονεύουσι* yF | *βαρβάροις γειτονεῦον* ∾ V², Cass. wie im Text | **7** *φηνὼ* BV²r *Pheno* Cass. *φιλὼ* yF Nic. *Phalò* Michael | **9** *κλείνη* B | *ἀξιουμένην* V² *ἀξιωμένη* B *ἠξιωμένην* ryF Nic. | **9/10** *ἀρρώστων* V², *infirmantium* Cass. | **10** *ὑγίειαν* V²F | **12** *ιζ* am Rand HSS | *οὐάλησ* Bs | **13** *ἀντὶ*] *ἀντὶ τοῦ* V²F | **14** *ἄστεωσ* B, *ω* in *o* corr. V²F *ἄστεοσ* ry | **15** *αἴδεσσαν* B *ἔδεσαν* V²s | **16** *εἰσπράττειν* BV² *πράττειν* ryF | **19** *δεήσει* Bs | *χρώμενοσ* B | **21** *ταῖν χερσῖν* rF

μενον· καὶ γὰρ καὶ τὴν τῶν ἡγουμένων διέκοψε τάξιν, πάντων ἐκεί-
νων καταφρονήσασα. ψυχὴ γὰρ ὑπὸ θείου ζήλου πυρπολουμένη 3
οὐδὲν ἀνθρώπινον εἰσδέχεται δέος, ἀλλὰ τὰ τοιαῦτα δείματα γέλωτα
νομίζει καὶ παιδιάν. τότε δὴ ταύτην ὁ ὕπαρχος θεασάμενος καὶ
συνεὶς τὸ γιγνόμενον, ἤγαγέ τε καὶ ἤρετο ὅποι βαδίζοι. ἡ δέ· »μεμά-
θηκα«, ἔφη, »τὰς κατὰ τῶν θείων θεραπόντων τυρευθείσας ἐπιβου-
λὰς καὶ θέλω τοὺς ὁμοπίστους καταλαβεῖν, ὀριγνωμένη ἵνα σὺν ἐκεί-
νοις δέξωμαι τὰς ὑφ' ὑμῶν ἐπιφερομένας σφαγάς«. »τὸ δὲ βρέφος«. 4
ἔφη ὁ ὕπαρχος, »τί δή ποτε φέρεις;« ἡ δὲ ἔφη· »ἵνα καὶ τοῦτό μοι
τῆς ἀξιεράστου τελευτῆς κοινωνήσῃ«. ταῦτα ὁ ὕπαρχος παρὰ τῆς
ἀνθρώπου μαθὼν καὶ διὰ ταύτης τὴν ἁπάντων ἐγνωκὼς προθυμίαν,
ἀπήγγειλέ τε τῷ βασιλεῖ καὶ τὸν ἐσόμενον μάτην ἐδήλωσε φόνον·
»δύσκλειαν γάρ«, ἔφη, »μόνον ἐκ τοῦ δρωμένου δρεψόμεθα, ἐκείνων
δὲ τὴν προθυμίαν οὐ σβέσομεν«.

Ἀλλὰ ταῦτα εἰπὼν τὸ μὲν πλῆθος πεῖραν λαβεῖν τῶν προσδοκη- 5
θέντων οὐκ εἴασε λυπηρῶν· τοὺς δὲ τούτων ἡγουμένους, πρεσβυτέ-
ρους φημὶ καὶ διακόνους, ἀγαγεῖν τε προσετάχθη καὶ δυοῖν θάτερον,
ἢ πεῖσαι κοινωνῆσαι τῷ λύκῳ, ἢ τοῦ ἄστεως ἐξελάσαι καὶ εἴς τινας
ἐσχατιὰς παραπέμψαι. ἐπειδὴ δὲ συνήθροισεν ἅπαντας, ἠπίοις χρώ- 6
μενος λόγοις πείθειν ἐπειρᾶτο ταῖς βασιλέως νομοθεσίαις ἀκολουθεῖν·
παραπληξίας γὰρ ἔλεγεν εἶναι μεστὸν τῷ βασιλεῖ τηλικούτων καὶ
τοσούτων ἡγουμένῳ εὐαριθμήτους ἀντιτείνειν ἀνθρώπους. ἐπειδὴ 18
δὲ σιγῶντες εἱστήκεισαν ἅπαντες, πρὸς τὸν τούτων ἡγούμενον (Εὐ-
λόγιος δὲ ἦν, ἀνὴρ ἀξιέπαινος,) εἶπεν ὁ ὕπαρχος· »τί δή ποτε οὐκ
ἀποκρίνῃ πρὸς τὰ παρ' ἡμῶν εἰρημένα;« ὁ δέ· »οὐκ ᾠήθην«, ἔφη,

* **10**—S. 242, 22 Niceph. H. E. XI 22—23 — **15**—S. 241, 10 Cass. VII 33

B V² HN (n) + GS (s) = r AL (y) F

1 *καὶ*² Ls > BnG | **2** *θείου* > B | *ζήλου θείου* ∾ V² | **3** *ἀνθρώ-
πειον* syF | *δείματα*] *δόγματα* B | **4** *παιδιάν* V² *παιδειάν* B *παίγνια* yF
παίγνιον r | **5** *ὅποι* BV² *ποῖ* ryF | **6** *τυδευθείσασ* B | **7** *ὀριγνωμένη* schreibe
ich] *ὀρειγνομένη* B *ὀρεγομένη* V² *ἱμειρομένη* ryF, vgl. unten V 24, 8 und 39, 11 u.
z. B. Haeret. fabul. IV 3 PG 83, 417 C, Gr. aff. cur. S. 29, 1 u. 91, 12 Raeder |
8 *δέξομαι* BS | *ὑφ'* > V² | **9** *μοι*] *μὲν* B | **11** nach *τὴν* + *τῶν* B
12 *τε* > BnL | **13** *δύσκλειαν*] *δυσκολίαν* B | **15** *λαβεῖν* nach 16 *λυπηρῶν* ∾
nGyF | **18** *ἄστεως* B *ω* in *o* corr. V² *ἄστεοσ* ryF | **18/19** *τινας ἐσχατιὰς*
= Nic.] *τινα ἐσχατιὰν* B, *in quibusdam extremis partibus* Cass. | **20** *ταῖς βασιλέως
νομοθεσίαις*] *τῶν βασιλέων λογοθεσίοισ* B, *leges ... imperatoris* Cass. | **22** *ἡγου-
μένων* V²A | bei *ἐπειδὴ* kein neues Capitel in den HSS | **23** *ἱστήκεισαν* B
τοῦτον A

»χρῆναι μηδὲν ἐρωτηθεὶς ἀποκρίνεσθαι«. »καὶ μήν«, ὁ ὕπαρχος ἔφη, 2
»πολλοὺς διεξελήλυθα λόγους παραινῶν ὑμῖν τὰ συνοίσοντα«. ὁ δὲ
Εὐλόγιος πρὸς ἅπαντας ἔφη ἐκεῖνα εἰρῆσθαι. καὶ ἄτοπον ὑπειληφέναι
τοὺς ἄλλους παρωσάμενον ἀποκρίνασθαι. »εἰ δὲ ἐμὲ μόνον ἔροιο.
τὴν γνώμην δηλώσω τὴν ἐμαυτοῦ«. »Τοιγάρτοι«, ἔφη ὁ ὕπαρχος,
»κοινώνησον τῷ βασιλεῖ«. ὁ δὲ εἰρωνικῶς τε καὶ μάλα χαριέντως· 3
»προσφέρει γάρ«, ἔφη, »καὶ μετὰ τῆς βασιλείας καὶ τῆς ἱερωσύνης
μετέλαχεν;« ὁ δὲ ὕπαρχος τῆς εἰρωνείας αἰσθόμενος ἐχαλέπηνε, καὶ
λοιδορίαις κατὰ τοῦ πρεσβύτου χρησάμενος καὶ ταῦτα προστέθεικεν·
»οὐ τοῦτο εἶπον, ἐμβρόντητε, ἀλλ᾽ οἷς κοινωνεῖ ὁ βασιλεύς. κοινωνῆ-
σαι ὑμῖν παρήνεσα«. ἐπειδὴ δὲ εἶπεν ὁ πρεσβύτης καὶ ποιμένα ἔχειν 4
καὶ τοῖς ἐκείνου νεύμασιν ἕπεσθαι, ὀγδοήκοντα κατὰ ταὐτὸν συλλα-
βὼν εἰς τὴν Θράκην ἐξέπεμψεν. ἀπαγόμενοι δὲ θεραπείας ἀπήλαυον
ὅτι μάλιστα πλείστης· καὶ πόλεις γὰρ ὑπήντων καὶ κῶμαι, γεραίρου-
σαι τοὺς νικηφόρους ἀγωνιστάς. ἀλλ᾽ ὁ φθόνος τοὺς ἀντιπάλους
ὁπλίσας φάναι τῷ βασιλεῖ παρεσκεύασεν. ὡς τιμὴν παμπόλλην τοῖς
ἀνδράσιν ἐκείνοις ἡ νομισθεῖσα προὐξένησεν ἀτιμία. ταῦτα μαθὼν 5
ὁ Βάλης ἀνὰ δύο διαιρεθῆναι προσέταξε, καὶ τοὺς μὲν εἰς τὴν
Θράκην, τοὺς δὲ εἰς τὰς τῆς Ἀραβίας ἐσχατιάς, ἄλλους δὲ εἰς τὰς
τῆς Θηβαΐδος διασπαρῆναι πολίχνας. φασὶ δὲ καὶ οὕς ἡ φύσις συνέ- 6

* **12**—S. 242, 14 Michael Syr. VII 7 S. 297

B V² HN (n) + GS (s) = r AL (y) F

1 *ἀποκρίνεσθαι* B Nic. *ἀποκρίνασθαι* V²ryF | **2** *συνοίσαντα* B | **3** *ἔφη πρὸ ἅπαντας* ∼ n | *ὑπειληφέναι*] *ὑπείληφα εἶναι* B *ὑπειληφέναι, é* corr., V² | **4** *παρωσάμενος* AF *παρωσαμένους* L | *ἀποκρίνεσθαι* B | *ἐμὲ* > LF | **5** *τὴν ἐμαυτοῦ* BV²sF vor *γνώμην* (*τὴν* >) ∼ n *τὴν ἐμήν* y | *ὁ ὕπαρχος ἔφη* ∼ B **6** *εἰρωνικῶς*] *εἰρηνικῶς* A *pacifice* Cass. | *τε* > ryF | **6/7** *χαριέντως προσφέρει· Μὴ γάρ, ἔφη* in allen Ausgaben: falsch: meine Interpunction ist die der HSS und *μὴ* fehlt in allen HSS und Nic.; Cass. hat die Stelle nicht verstanden: *et mihi regni quoque sacerdotiique consortium est*; s. Revue de l'Instruction publique en Belgique 1909, 221 f | **9** *πρεσβύτου* BV²H Nic. *senem* Cass. *πρεσβυτέρου* NsyF, s. Z. 11 | *προστέθηκεν* BF | **10** *ἐμβρόντητε εἶπον* ∼ V² Nic., Cass. wie im Text | *ἐμβρόντητοι* B, *fulminande* Cass. | *ὁ* BV² > ryF | **10/11** *κοινωνῆσαι* = Cass.] *τούτων κοινωνῆσαι* n | **11** *ὑμῖν*] *ὑμᾶς* V² | *καὶ* > n | **12** *καταὐτὸν* BA *κατ᾽ αὐτὸ* F | **13** nach *θεραπείας* + *απείασ* expung. V² | *ἀπήλαυον* = *fruebantur* Cass.] *ἀπέλαυον*, ε auf Rasur, V² *ἀπήλαυσαν* B | **14** *ὅτι μάλιστα* > s | *ὑπήντων* V²A | **18** *οὐάλης* Bs, zweiter Hand V² | nach *προσέταξεν* + *ἅπαντας* B, fehlt bei Cass. Michael | **20** *διασπαρῆναι*] *παρῆναι* B, *dispersit* Cass.

ζευξε διαζεῦξαι τοὺς ὡμοτάτους, καὶ ἀδελφοὺς ὄντας ἀπ᾽ ἀλλήλων χωρίσαι. Εὐλόγιον δὲ τὸν τῶν ἄλλων ἡγούμενον καὶ Πρωτογένην τὸν μετ᾽ ἐκεῖνον εἰς Ἀντινὼ τὴν Θηβαίων ἐξέπεμψεν.

Ἐγὼ δὲ οὐδὲ τὴν τούτων ἀρετὴν παραδώσω τῇ λήθῃ. ἐπειδὴ 7 [ιη′]
γὰρ ὁμογνώμονα τὸν τῆς πόλεως εὑρόντες ἐπίσκοπον τῶν ἐκκλησιαστικῶν ἐκοινώνουν συλλόγων, μάλα δὲ ὀλίγους εἶδον συναθροιζομένους, καὶ πυθόμενοι ἔγνωσαν Ἕλληνας εἶναι τοὺς τὴν πόλιν οἰκοῦντας, ἤλγησαν μὲν ὡς εἰκὸς καὶ τὴν ἀπιστίαν ἐθρήνησαν· οὐ μὴν ἀποχρῆναι ἐνόμισαν τὸ θρηνεῖν, ἀλλ᾽ εἰς δύναμιν τῆς τούτων ἰατρείας ἐπεμελήθησαν. ὁ μὲν γὰρ θεῖος Εὐλόγιος, ἐν οἰκίσκῳ καθειργμένος, 8 πανημέριον καὶ παννύχιον τὸν τῶν ὅλων ἠντιβόλει θεόν. Πρωτογένης δὲ ὁ ἀξιάγαστος, τὰ Εὐνομίου γράμματα πεπαιδευμένος καὶ γράφειν εἰς τάχος ἠσκημένος, τόπον εὑρὼν ἐπιτήδειον καὶ τοῦτον διδασκαλεῖον καὶ παιδαγωγεῖον ἀποφήνας, μειρακίων κατέστη διδάσκαλος, καὶ κατὰ ταὐτὸν γράφειν τε εἰς τάχος ἐδίδασκε καὶ τὰ θεῖα ἐξεπαίδευε λόγια. Ἰαυϊτικάς τε γὰρ αὐτοῖς ὑπηγόρευε μελῳδίας καὶ 9 τῆς ἀποστολικῆς διδασκαλίας ἐκμανθάνειν τὰ πρόσφορα παρεσκεύαζεν. ἑνὸς δὲ τῶν μειρακίων νόσῳ περιπεσόντος, ἀφίκετό τε εἰς τὴν οἰκίαν καὶ τῆς δεξιᾶς τοῦ νοσοῦντος ἁψάμενος προσευχῇ τὴν νόσον ἐξήλασε. τοῦτο μεμαθηκότες οἱ τῶν ἄλλων παίδων πατέρες ἦγόν τε αὐτὸν εἰς τὰς οἰκίας καὶ τοῖς ἀρρωστοῦσιν ἐπικουρεῖν ἠντιβόλουν. ὁ δὲ οὐ πρότερον ἔφη τὸν θεὸν ἱκετεύσειν ἀπελάσαι τὴν νόσον, πρὶν 10 ἀξιωθῆναι τὸν ἄρρωστον τῆς τοῦ βαπτίσματος δωρεᾶς. οἱ δὲ προ-

* **10**—242, 21 Cass. VII 34

B V² HN (n) + GS (s) = r AL (y) F

2 πρωτογένη V² | **3** ἀντινῶ V²SA ἀντινων (sic) B -ὼν, ν expung., F *antino* Cass. Cod. L | ἐξέπεμψαν V², *transmisit* Cass. | **4** Ἐγὼ δὲ: ιη am Rand HSS οὐδὲ > L | **6/7** συναθροιζομένους B *concurrentes* Cass. ἀθροιζομένους die übr. HSS ἀθροιζομένων Nic. | **9** ἀποχρῆναι B ἀποχρην, ην auf Rasur corr. V² ἀπόχρην GyF ἀποχρῆν nS | **10** ἐπιμελήθησαν B | **12** nach ἀξιάγαστος + ἐκεῖνος V², fehlt bei Cass. | τὰ εὐνομίου V²yF *Eunomii* Cass. (s. Revue de Philologie 1909. S. 238 f) τὰ ἐκ νόμου Br: vgl. νομικός im Sinn von παιδοδιδάσκαλος Byz. Zeitschr. III 186 | **14** παιδαγωγεῖον = Nic.] παιδευτήριον y | **15** κατὰ — ἐδίδασκε καὶ τὰ = Cass. > A | κατ᾽ αὐτὸν BF τὰ κατ᾽ αὐτὸν S | **16** ἐξεπαίδευε BrF Nic. *erudiebat* Cass. ἐξεπαίδευσε V²y | αὐτοῖς > F | ὑπηγόρευσε yF, *dictabat* Cass. | **18** τε > Bs | **20** παίδων BV² παιδίων ryF *infantium* Cass. | τε > B | **22** ἱκετεύσειν ἀπελάσαι V² ἱκετεύειν ἀπελάσαι B ἱκετεῦσαι ἀπελάσαι F ἱκετεῦσαι ἵνα ἀπελάση nGl, ἱκετεῦσαι ἀπελάσῃ (αι Ac) A ἱκετεῦσαι S

θύμως ὑπήκουον (κατήπειγε γὰρ αὐτοὺς τῆς ὑγείας ὁ πόθος), καὶ κατὰ ταὐτὸν ψυχῆς τε καὶ σώματος τὴν ὑγείαν ἐδρέποντο. εἰ δέ **11** ποτέ τινα τῶν ἐρρωμένων ἔπεισε τῆς θείας μεταλαχεῖν χάριτος, ἀπῆγε τοῦτον πρὸς τὸν Εὐλόγιον, καὶ πατάσσων τὴν θύραν ἀνοῖξαι παρεκάλει καὶ τὴν δεσποτικὴν ἐπιθεῖναι τῷ θηρευθέντι σφραγίδα. ἐκείνου δὲ δυσχεραίνοντος ὡς διακοπτομένης τῆς προσευχῆς, οὗτος **12** ἔλεγεν ἀναγκαιοτέραν εἶναι τῶν πλανωμένων τὴν σωτηρίαν. ἐθαύμαζον δὲ ἅπαντες τὸν Πρωτογένην, θεώμενοι τοιαῦτα μὲν θαυματουργοῦντα, τοσούτοις δὲ τοῦ τῆς θεογνωσίας μεταδιδόντα φωτός, καὶ τῷ Εὐλογίῳ τῶν πρωτείων παραχωροῦντα καὶ τοὺς ἀγρευομένους ἐκείνῳ προσάγοντα. ἐτόπαζον δὴ οὖν εἰκότως πολλῷ πλείονα **13** εἶναι τὴν ἐκείνου καὶ ὑπερτέραν ἀρετήν. ἐπειδὴ δὲ τοῦ κλύδωνος παυσαμένου καὶ καθαρᾶς γενομένης γαλήνης ἐπανελθεῖν προσετάχθησαν, προὔπεμψαν αὐτοὺς ἅπαντες ὀλοφυρόμενοι καὶ δακρύοντες. οὐχ ἥκιστα δὲ ὁ τῆς ἐκκλησίας ἡγούμενος, τῆς ἐκείνων γεωργίας ἐστερημένος. ἐπειδὴ δὲ τὴν ἐνεγκοῦσαν κατέλαβον, ὁ μὲν θεῖος Εὐ- **14** λόγιος, Βάρσου τοῦ μεγάλου μεταστάντος εἰς τὸν ἄλυπον βίον, τῆς ὑπ' ἐκείνου κυβερνωμένης ἐκκλησίας ἐπιστεύθη τοὺς οἰακας· ὁ δὲ ἀξιάγαστος Πρωτογένης γεωργεῖν ἐτάχθη τὰς Κάρρας, πόλιν κεχερσωμένην καὶ ἀκανθῶν Ἑλληνικῶν πεπληρωμένην καὶ πολλῆς δεομένην φιλοπονίας. ταῦτα μὲν οὖν μετὰ τὴν τῶν ἐκκλησιῶν εἰρήνην ἐγένετο.

Ὁ δὲ Βάλης, πᾶσαν ὡς ἔπος εἰπεῖν ἐκκλησίαν τοῦ ποιμένος **19** γυμνώσας, εἰς τὴν Καισάρειαν ὥρμησεν ἧς οἰκήτορες Καππαδόκαι

16—18 vgl. Chronic. Edessenum anno 689 — **24 f** vgl. Sozomen. VI 16, 1

* **23**—S. 246, 10 Cass. VII 36

B V² HN (n) + GS (s) = r AL (y) F

1 *ὁ τῆς ὑγείας* ∾ n | *ὑγιείασ* und **2** *ὑγίειαν* V²yF | **2** *καταυτὸ* B **3** *μεταλαχεῖν, λαβεῖν* am Rand, F *μεταλαχεῖν* A | **4** *ἀπήγαγεν* B | nach *ἀνοῖξαι* + *οἱ* V², fehlt bei Nic. Cass. | **8** *δὲ* > B, *ivitur* Cass. | *πρωτογένη* V² *μὲν* > F | **9** *μεταδιδόντοσ* BV² | **10** *τῶν πρωτείων* = Nic.] *τὰ πρωτεῖα* B | **11** *προσάγοντα*] *προσφέροντα* B *offerret* Cass. | **12** vor *ἀρετήν* + *τὴν* V²F | **13** *γεναμένησ* B | **15** *τῆς*²—**16** *ἐστερημένος* > L | **16** *δὲ* > V² | **17** *βαρσοῦ*, den Accent corr. V² | **19** *προσετάχθη* A | *τὰς Κάρρας ἐτάχθη* ∾ V², Cass. wie im Text | **20/21** *δεομένησ* B | **21** *μὲν οὖν* > B | **22** *ἐγένοντο* yF | **23** *ιθ* am Rand HSS | *οὐάλησ* r, von zweiter Hand BV² | *τοῦ ποιμένος* = Cass.] *ὀρθοδόξου ποιμένοσ* B | **24** *γυμνώσας* = Cass.] *ἐστέρησε καὶ* n | *καππαδόκεσ* B

ἠγεῖτο δὲ ταύτης τηνικαῦτα Βασίλειος, ὁ τῆς οἰκουμένης φωστήρ. προὔπεμψε δὲ τὸν ὕπαρχον, ἐντειλάμενος ἢ πεῖσαι τὸν Βασίλειον τὴν πρὸς Εὐδόξιον ἀσπάσασθαι κοινωνίαν ἢ μὴ πειθόμενον ἐξελάσαι. τοῦ γὰρ ἀνδρὸς τὸ κλέος προπεπυσμένος πρώτῳ προσβαλεῖν οὐκ 2
ἠθέλησεν, ἵνα μὴ γενναίως τὴν προσβολὴν δεξάμενος καὶ ταύτην ἀποκρουσάμενος ἀνδρείας τοῖς ἄλλοις ἀρχέτυπος γένηται. ἀλλ᾽ ἀράχνης ἑστῷ τὸ μηχάνημα παραπλήσιον ὤφθη. ἤρκεσε γὰρ τοῖς ἄλλοις 3
ἀρχιερεῦσιν εἰς ὠφέλειαν τὰ παλαιὰ διηγήματα, καὶ οἷόν τινες πύργοι τὸν τῆς πίστεως περίβολον ἀκλινῆ διετήρησαν. ὁ μέντοι ὕπαρχος
εἰς τὴν Καισάρειαν ἀφικόμενος καὶ Βασίλειον τὸν μέγαν μεταπεμψάμενος, τιμῆς τε ἠξίωσε καὶ λόγοις πρὸς αὐτὸν ἠπίοις ἐχρήσατο, εἶξαί τε τῷ καιρῷ παραινῶν καὶ μὴ προέσθαι τοσαύτας ἐκκλησίας δι᾽ ὀλίγην δογμάτων ἀκρίβειαν· ὑπισχνεῖτο δὲ καὶ τὴν βασιλέως φιλίαν καὶ τὰς ἐκ ταύτης δι᾽ αὐτοῦ πολλοῖς ἐσομένας εὐεργεσίας. ὁ δὲ θεῖος ἐκεῖνος 4
ἀνὴρ μειρακίοις ἔφη τούτους ἁρμόττειν τοὺς λόγους. »ἐκεῖνοι γὰρ 5
καὶ οἱ ἐκείνοις προσόμοιοι περὶ τὰ τοιαῦτα κεχήνασιν· οἱ δὲ τοῖς θείοις λογίοις ἐντεθραμμένοι προέσθαι μὲν τῶν θείων δογμάτων οὐδεμίαν ἀνέχονται συλλαβήν, ὑπὲρ δὲ τούτων, εἰ δέοι, καὶ πάσας τοῦ θανάτου τὰς ἰδέας ἀσπάζονται. τὴν δὲ βασιλέως φιλίαν μέγα
μὲν ἡγοῦμαι μετ᾽ εὐσεβείας, δίχα δὲ ταύτης ὀλεθρίαν ἀποκαλῶ«. τοῦ 6
δὲ ὑπάρχου χαλεπήναντος καὶ ἀνόητον εἶναι φήσαντος, ὁ θεῖος ἔφη Βασίλειος· »ταύτην ἔχειν εἰς ἀεὶ τὴν ἄνοιαν εὔχομαι«. ἐπειδὴ δὲ ἐξελθεῖν προσετάχθη καὶ τὸ πρακτέον βουλεύσασθαι καὶ τῇ ὑστεραίᾳ δηλῶσαι τὴν γνώμην (συνῆπτο δὲ τοῖς λόγοις καὶ ἀπειλή), φάναι

9—19 vgl. Gregor. Nyss. Contra Eunomium I PG 45, 292 A ff — **19/20** vgl. Gregor. Nazianz. Orat. XLIII 48 — **23**—S. 244, 2 vgl. Sozomen. VI 16, 5. Rufin. H. E. XI 9 S. 1016, 10. Socrat. IV 26, 19

B V² HN (n) + GSP [P von **22** *ταύτην*] (s) = r AL (y) F

1 *ταύτης*] *αὐτῆσ* B | nach *Βασίλειος* + *ὁ μέγας* n, fehlt bei Cass. | **6** *ἀρχέτυπον* V²r | **7** *ἤρκεσαν* V² | *γὰρ*] *γὰρ καὶ* B, *enim caeteris* Cass. **9** *τὸν* > n | *τῆς* > F | **11** nach *λόγοις* + *τε* B | **12** *τε* > BG **13** *δογμάτῶν* A | **15** *τούτοις* F | *ἐκεῖνοι* BV² *ἐκεῖνοί τε* die übr. HSS **17** *λογίοις* B *eloquiis* Cass. *λόγοις* V²ryF | **18** *εἰ δέοι καὶ πάσας* BV² *si contingat etiam omnes* Cass. *καὶ πάσας εἰ δέοι* ryF | **19** *εἰδέας* NGy | **20** *δίχα*] *ἄνευ* yF | *ὀλεθρίαν ἀποκαλῶ*] *ὀθνίαν καλῶ* V², *perniciem . . . appello* Cass. | **21** *καὶ ἀνόητον εἶναι φήσαντος* > F | *ἀνόητον εἰναι* BV² *stultumque vocitaret* Cass. *ἀνοηταίνειν* ry | **22** *ἄνοιαν*] *ἀνομίαν* F | **24** *συνήπτετο* B

λέγεται ὁ πανεύφημος ἐκεῖνος ἀνήρ· »ἐγὼ μὲν ὁ αὐτός σοι καὶ αὔριον ἥξω· σὺ δὲ μὴ μεταβάλῃς τὴν γνώμην, ἀλλὰ χρῆσαι ταῖς ἀπειλαῖς«. μετὰ τούσδε τοὺς λόγους ὁ ὕπαρχος ὑπαντήσας τῷ βασιλεῖ ἀπήγγειλέ 7
τε τὰ εἰρημένα καὶ τὴν τοῦ ἀνδρὸς ἀνεδίδαξεν ἀρετήν, καὶ τὸ τῆς
ψυχῆς ἀνδρεῖον καὶ θαρραλέον ἐμήνυσε. καὶ τότε μὲν σιγήσας ὁ 8
βασιλεὺς εἰσελήλυθεν.

Ἐπειδὴ δὲ κατὰ τῆς οἰκίας εἶδεν θεηλάτους καταπεμφθείσας πληγὰς (ὅ τε γὰρ υἱὸς αὐτοῦ ἀρρωστήσας παρ᾽ αὐτὰς ἦν τοῦ θανάτου τὰς πύλας καὶ τὴν γαμετὴν διάφορα ἐπολιόρκει παθήματα) καὶ
τὴν αἰτίαν ἐπέγνω τῶν σκυθρωπῶν, τὸν θεῖον ἄνθρωπον, ὃν κολά- 9
σειν ἠπείλησεν, ἐλθεῖν εἰς τὴν οἰκίαν ἠντιβόλησεν. οἱ δὲ στρατηγοὶ τοῖς βασιλικοῖς διηκόνουν προστάγμασι. τότε ὁ μέγας Βασίλειος καταλαβὼν τὰ βασίλεια καὶ τὸν τοῦ βασιλέως υἱὸν παρ᾽ αὐτὴν ὄντα τὴν τελευτὴν θεασάμενος, πρὸς τὴν ζωὴν τοῦτον ἀναστρέψειν ὑπέ-
σχετο, εἰ τοῦ παναγίου διὰ τῶν εὐσεβούντων ἀξιωθείη βαπτίσματος·
καὶ ταῦτα εἰπὼν ἐξελήλυθεν. ὁ δὲ τῶν ὅρκων κατὰ τὸν ἀόητον 10
μεμνημένος Ἡρώδην τοῖς συμπαροῦσιν αὐτῷ ἐκ τῆς Ἀρείου συμμορίας βαπτίσαι τὸ παιδίον προσέταξε· τὸ δὲ παραυτίκα τοῦ βίου τὸ τέλος ἐδέξατο.
Μεταμεληθεὶς δὲ Βάλης καὶ τὴν ἐπιβλαβῆ τῶν ὅρκων ἀλήθειαν 11

3—5 vgl. Gregor. Nazianz. ebd. 51 — **8—13** vgl. Rufin. ebd. 1016, 13. Sozomen. VI 16, 2 u. 9. Socrat. IV 26, 21—22 — **10—19** vgl. S. Ephraem Encomium in magn. Basil. S. Ephr. opera ed. Romae 1743, t. II, p. 294 D. Gregor. Nazianz. ebd. 54 — **16/17** Matth. 14, 7—9. Mark. 6, 23—26

* **12**—S. 245, 5 Cod. syriac. Br. Mus. Add. 17, 147 F. 143r (= **Σ**)

B V² HN (n) GSP [bis **1** *ἀνήρ*] P² [von **1** *ἐγὼ* an] AL (y) F

1 *ὁ*² > B | **2** *μεταβάλλησ* V² | **3** *τοὐσ δὲ* Bn *τούτουσ δὲ* V²P²F *δὲ τούτουσ* y | *ἀπαντήσασ* V² | **4** *τε* > P² | *ἀνεδίδαξεν* B *ἐδίδαξεν* die übr. HSS, *nuntiavit* Cass. | **5** *καὶ*¹] *τε καὶ* P² | *θαρσαλέον* V² | **6** *εἰσῆλθεν* B **7** *κατὰ τῆς οἰκίας εἶδεν θεηλάτους*] *κατὰ τὴν οἰκίαν αὐτοῦ θεηλάτουσ εἶδε* y **8** *αὐτοῦ* B *eius* Cass. > V²nP²yF | **8/9** *τὰς πύλας τοῦ θανάτου* ∼ y, *mortis portas* Cass. | **9** nach *γαμετὴν* + *δὲ* n | *καὶ*² > y | **10** *τῶν σκυθρωπῶν ἐπέγνω* ∼ n | nach *θεῖον* + *τοίνυν* yF | **12** *τότε ὁ μέγασ* BV²nP²**Σ** *tunc itaque magnus* Cass. *τότε ὁ μὲν* yF | **14** *τοῦτον ἀναστρέψειν* V² *eum remeaturum esse* Cass. *ἀναστρέψειν τοῦτον* B *τοῦτον ὑποστρέψειν* n *τοῦτον* [. . .] *στρέψειν* P² *τοῦτον ἀναστρέψαι* yF | **15** *βαπτίσματος* vor *διὰ τῶν* ∼ yF | **17** *συμμορίας Ἀρείου* ∼ yF | **18** *τὸ δὲ* Bn *τότε* V² *ὁ δὲ* P²yF | **20** *βάλησ* P²yF *ὁ οὐάλησ* n *Valens* Cass. = **Σ** *ὁ βασιλεὺσ* BV²

λογισάμενος, εἴς τε τὸν θεῖον νεὼν εἰσελήλυθε καὶ τῆς τοῦ μεγάλου Βασιλείου διδασκαλίας ἀπήλαυσε καὶ τῷ θυσιαστηρίῳ τὰ εἰωθότα προσενήνοχε δῶρα. καὶ εἴσω δὲ αὐτῶν τῶν παραπετασμάτων ἔνθα καθῆστο γενέσθαι κελεύσας, πολλοὺς πρὸς αὐτὸν περὶ τῶν θείων δογμάτων ἐποιήσατο λόγους καὶ δὴ καὶ λέγοντος ἤκουσεν. παρῆν 12 δέ τις Δημοσθένης καλούμενος τῶν βασιλικῶν προμηθούμενος ὄψων, ὃς τῷ διδασκάλῳ τῆς οἰκουμένης ἐπιμεμψάμενος ἐβαρβάρισεν. ὁ δὲ θεῖος Βασίλειος μειδιάσας· »ἐθεασάμεθα«, ἔφη, »καὶ Δημοσθένην ἀγράμματον«. ἐπειδὴ δὲ ἐκεῖνος πλέον δυσχεράνας ἠπείλησε· »σόν ἐστιν«, ἔφη ὁ μέγας Βασίλειος, »τῆς τῶν ζωμῶν καρυκείας φροντίζειν· δογμάτων γὰρ θείων ἐπαΐειν οὐ δύνασαι, βεβυσμένας ἔχων τὰς ἀκοάς«. ταῦτα μὲν δὴ πρὸς τοῦτον ἔφη. ὁ δὲ βασιλεὺς οὕτως ἠγάσθη 13 τὸν ἄνδρα ὡς καὶ χωρία τὰ κάλλιστα ὧν εἶχεν αὐτόθι τοῖς ὑπ' αὐτοῦ φροντιζομένοις δωρήσασθαι πένησιν, οἳ τὸ σῶμα ἅπαν λελωβημένοι πλείονος ὅτι μάλιστα θεραπείας προσδέονται.

Τὴν μὲν οὖν πρώτην τοῦ Βάλεντος προσβολὴν οὕτω διέφυγεν 14 ὁ μέγας Βασίλειος. ἐπειδὴ δὲ πάλιν ἦκεν αὐτόσε, καὶ τῶν προτέρων ἐπιλελησμένος (ὑπὸ γὰρ τῶν ἐξαπατώντων ἐπολιορκεῖτο τὴν γνώμην) τῆς τῶν ἐναντίων αὐτὸν αὖθις γενέσθαι μερίδος παρήνεσεν, εἶτα μὴ πείσας τὸν περὶ τῆς ἐξορίας γραφῆναι νόμον ἐκέλευσε. τοῦτον δὲ 15

1—5 vgl. Sozomen. VI 16, 7. Gregor. Nazianz. ebd. 52, 53 — **6** vgl. Gregor. Nazianz. ebd. 47. Gregor. Nyss. Contra Eunomium I PG 45, 293 B — **20**—S. 246, 4 vgl. S. Ephraem ebd. 295 D. Gregor. Nazianz. ebd. 54

* **5—9** u. **12—15** Polydeukes 414, 20 u. 16. Theophan. 63, 24. Cramer II 97, 4. Exc. Bar. F 220v — **13**—S. 246, 5 Niceph. H. E. XI 18 — **17**—S. 246, 5 Cod. syriac. ebd. (= Σ) — **19**—S. 246, 4 Theophan. 64, 1. Polydeukes 416, 1. Exc. Bar. ebd.

B V² HN (n) + GSP [von **9** *δυσχεράνας* an] (s) = r P² [bis **9** *ἐκεῖνος*] AL (y) F

1 *τε*] *γε* A | **2** *ἀπέλαυσε*, *έ* auf Rasur V² *ἀπήλαυσε*, *η* von zweiter Hand F **3** *δῶρα προσενήνοχε* ~ V² | *αὐτῶν* BV² *αὐτὸν* nP²yF, *intra aulaea ubi ipse residebat* Cass. | nach *τῶν* + *θείων* n, fehlt bei Cass. Σ | **4** *κελεύσας γενέσθαι* ~ n, *venire praecipiens* Cass. | *γενέσθαι* > yF | *κελεύσας*] *καλέσασ* L | **4/5** *περὶ τῶν θείων δογμάτων* > F | **5** *καὶ*² . nyF | nach *λέγοντος* + *αὐτοῦ* V² | *ἤκουσεν* BV²P² *audivit* Cass. *ἤκουε* nyF | **9** *δὲ* > A *πλέον ἐκεῖνος* ~ nP²yF | nach *ἠπείλησε* + *ην εστιν* expungiert, u. dann **9/10** *σόν ἐστιν* > V² | **10** *ὁ μέγας Βασίλειος ἔφη* ~ V² | *ἔφη* > n | *καρυκίασ* B **11** *ἐπαΐειν*] *ἐπακοΐειν* B | **13** *τὰ* BV² Nic. > ryF Polyd. | **16** *οὐάλεντοσ* s, von zweiter Hand V² | **17** *αὐτόσε καὶ* V² = Σ *αὐτὸσ ἐκ* B *illic* Cass. *αὐτὸσ καὶ* ryF **19** *μερίδος*] *μοίρασ* r | *παρήνεσεν*] *προσέταξεν* n, *movebat* Cass.

τῇ χειρὶ πειραθεὶς βεβαιῶσαι οὐδεμίαν στοιχείου κεραίαν ἐξέτεινεν· ὁ γὰρ κάλαμος συνετρίβη. ἐπειδὴ δὲ καὶ ὁ δεύτερος καὶ ὁ τρίτος κάλαμος ταὐτὸ πάθος ὑπέμεινε καὶ βεβαιῶσαι τὸν δυσσεβῆ νόμον ἐκεῖνον ἐφιλονείκει, ἐσείσθη μὲν ἡ δεξιὰ καὶ τρόμον ἐδέξατο· δείματος δὲ πλήρης ἡ ψυχὴ γενομένη ἀμφοῖν τοῖν χεροῖν τὸν χάρτην διέρρηξε. καὶ πέπεικε τῶν ὅλων ὁ πρύτανις ὡς καὶ τοὺς ἄλλους αὐτὸς ἐνδέ- **16**
δωκεν ἐκεῖνα παθεῖν, καὶ τοῦτον τῶν ἐπιβουλῶν ἀπέφηνε κρείττονα· διὰ μὲν τῶν περὶ τοῦτον γεγενημένων τὴν δύναμιν τὴν οἰκείαν δεικνύς, διὰ δὲ τῆς ἑτέρας οἰκονομίας τῶν ἀρίστων ἀνδρῶν τὴν ἀνδρείαν κηρύττων. ἐνταῦθα μὲν οὖν ὁ Βάλης προσβαλὼν τῆς ἐλπίδος ἐψεύσθη.

Ἐν Ἀλεξανδρείᾳ δέ, Ἀθανασίου τοῦ νικηφόρου μετὰ τοὺς πολλοὺς **20**
ἀγῶνας καὶ τοὺς ἰσαρίθμους στεφάνους λύσιν τῶν πόνων εἰληφότος καὶ εἰς τὴν πόνων ἐλευθέραν βιοτὴν μεταστάντος, Πέτρος ἀνὴρ ἄριστος τὴν προεδρίαν ἐδέξατο, πρώτης μὲν τῆς μακαρίας ἐκείνης ψηφισαμένης αὐτὸν κεφαλῆς, πάντων δὲ συμψήφων γεγενημένων, καὶ τῶν ἱερωμένων καὶ τῶν ἐν τέλει καὶ ἀξιωτάτων. καὶ ὁ λαὸς δὲ **2**
ἅπας ταῖς εὐφημίαις ἐδήλου τὴν ἡδονήν· τῶν γὰρ Ἀθανασίου συμμετέσχεν ἱδρώτων καὶ ἐνδημοῦντί τε καὶ ἀποδημοῦντι συνῆν καὶ τοὺς παντοδαποὺς σὺν ἐκείνῳ κινδύνους ὑπέμεινεν. διά τοι τοῦτο καὶ τῶν ἀρχιερέων συνέδραμον οἱ πελάζοντες, καὶ τὰς ἀσκητικὰς καταλιπόντες παλαίστρας οἱ ἐν ἐκείναις διάγοντες τὸν Ἀθανασίου θρόνον κληρονομῆσαι τὸν Πέτρον ἠξίουν.

Ἐπειδὴ δὲ τοῖς ἀρχιερατικοῖς αὐτὸν ἐνίδρυσαν θώκοις, εὐθὺς ὁ **21**
τοῦ ἔθνους ἡγούμενος, τὸν Ἑλληνικὸν καὶ Ἰουδαϊκὸν ὅμιλον συναθροίσας, τοὺς τῆς ἐκκλησίας ἐκύκλωσε περιβόλους ἐξιέναι τῷ Πέτρῳ

12—20 vgl. Rufin. H. E. XI 3 [Georg. Mon. 552, 6]. Socrat. IV 20, 2 — **24**—S. 247, 9 vgl. Socrat. IV 21. Sozomen. VI 19, 2

* **12**—S. 247, 7 Cass. VII 37 — **12**—S. 247, 18 Niceph. H. E. XI 26

B V² HN (n) + GSP (s) = r AL (y) F

2 καὶ¹ > P | **4** ἐκεῖνον > PF | **5** ἡ ψυχὴ γενομένη] γενόμενος L | τοῖν B ταῖν V²ryF, vgl. S. 174, 9 | χειροῖν B χαιροῖν V² | **6/7** ἔδωκεν y **7** ἀποφῆναι B | **8** τῶν] τὸν B | τὴν οἰκείαν δύναμιν n | **10** οὐάλης s, von zweiter Hand BV² | **12** ϗ am Rand HSS | **14** πόνων] ἄπονον s (ἀπονων P) ἄπονον καὶ y | ἀποστάντος GS | **16** αὐτὸν ψηφισαμένης ∾ L | **17** καὶ τῶν ἱερωμένων = Cass. > B | καὶ³ > P | ἀξιωτάτων BV²F ἀξιωμάτων Nsy ἀξιώμασι HLᶜ Nic. | λεὼς V² | **18** ἐδήλουν n ἐδηλοῦν S | **19** τε > y **20** ὑπέμεινεν BV²P Cass. ὑπέμενε nGSyF | **24** Ἐπειδὴ: kein neues Capitel HSS | ἱερατικοῖς B | | **25** ἔθνους übergeschrieben Aᶜ | ὅμιλον] λαὸν P ὅμιλον Pm

παρεγγυῶν· καὶ γὰρ ἄκοντα ἐξελάσειν ἠπείλει. ἐποίει δὲ ταῦτα τῷ βασιλεῖ μὲν δῆθεν τὰ θυμήρη πραγματευόμενος καὶ τοὺς τἀναντία φρονοῦντας ἀναπιμπλὰς συμφορῶν, τῇ δέ γε ἀληθείᾳ τῆς δυσσεβοῦς ὀργῆς ἐμφορούμενος. τῆς γὰρ τῶν εἰδώλων θεραπείας ἐξήρτητο, 2
καὶ λαμπροτάτην ὑπελάμβανεν ἑορτὴν τῆς ἐκκλησίας τὴν ζάλην. Πέτρος μὲν οὖν ὁ θαυμάσιος, τὸν ἀδόκητον θεασάμενος πόλεμον, λαθὼν ἐξελήλυθε καὶ σκάφους ἐπιβὰς εἰς τὴν Ῥώμην ἀπῆρεν.

Ὀλίγων δὲ διελθουσῶν ἡμερῶν, Εὐζώϊος ἀπὸ Ἀντιοχείας Λούκιον ἄγων ἀφίκετο καὶ τὰς ἐκκλησίας ἐκείνῳ παρέδωκεν, οὗ τῆς 3
δυσσεβείας καὶ παρανομίας καὶ τὰ Σαμόσατα πεῖραν ἔλαβε. τὸ δὲ πλῆθος ταῖς Ἀθανασίου διδασκαλίαις ἐντεθραμμένον, εἶτα ἐναντίαν τροφὴν θεασάμενον, τῶν ἐκκλησιαστικῶν ἀπέστη συλλόγων. ὁ δὲ 4
Λούκιος, δορυφόροις κεχρημένος τοῖς τῶν εἰδώλων θεραπευταῖς τοὺς μὲν ἠκίζετο, τοὺς δὲ καθεῖργε, τοὺς δὲ δραπετεύειν ἠνάγκαζεν. ἄλλων δέ, βαρβάρων δίκην, ἐπόρθει τὰς οἰκίας. ἀλλὰ ταῦτα ἄμεινον ὁ ἀξιάγαστος Πέτρος ἐν ἐπιστολῇ διηγήσατο· ἐγὼ δὲ μίαν ἀνοσιουργίαν τοῦ Λουκίου διηγησάμενος ἐκείνην ἐνθήσω τῇ συγγραφῇ τὴν ἐπιστολήν.

Ἄνδρες ἐν Αἰγύπτῳ τὴν τῶν ἀγγέλων πολιτείαν ζηλώσαντες 5 [κα']
τοὺς μὲν πολιτικοὺς θορύβους ἀπέδρασαν, τὴν ἐν ἐρήμῳ δὲ προείλαντο βιοτὴν καὶ τὴν ψαμμώδη καὶ ἄκαρπον καρποφόρον ἀπέφηναν, καρπὸν τῷ θεῷ ἥδιστόν τε καὶ κάλλιστον φέροντες ἣν ἐνομοθέτησεν ἀρετήν. ταύτης πολλοὶ μὲν ἦρξαν καὶ ἄλλοι τῆς πολιτείας, παιδο- 6
τρίβης δὲ ἄριστος τῶν ἀσκητικῶν ἐγένετο συνταγμάτων Ἀντώνιος ἐκεῖνος ὁ πολυύμνητος, ἀρετῆς παλαίστραν τοῖς ἀσκηταῖς ἀποφήνας τὴν ἔρημον. τοὺς ἐκείνου οὖν θιασώτας (αὐτὸς γὰρ μετὰ τῶν με- 7

10 ob. S. 236, 16 f — **19—26** vgl. Rufin. H. E. XI 4 [Georg. Mon. 552, 24]

* **8—26** Cass. VII 38 — **26**—S. 249, 12 Cass. VII 39

B V² HN (n) + GSP (s) = r AL (y) F

1 ἄκοντας B, *nolentem* Cass. | ἐποίησε V², *faciebat* Cass. | **2** μὲν > F | δῆθεν > L | **3** ἀναπιμπλᾶν B | **4** ἐξήρητο P | **5** ἑορτὴν ὑπελάμβανεν ~ L | τὴν τῆς ἐκκλησίας ζάλην ~ ryF | **8** Ὀλίγων: κᾱ am Rand ry | ἡμερῶν διελθουσῶν ~ s | **12** vor τῶν + καὶ GS, fehlt bei Cass. | **14** ἠκίζετο BV² ἤκιζε ryF | **17/18** τὴν ἐπιστολὴν τῇ συγγραφῇ ~ B | **19** Ἄνδρες: κᾱ am Rand BV² κβ̄ F | **20** δὲ vor ἐν ~ B | **20/21** προείλοντο HSL, ο auf Rasur V² | **21** nach τὴν + μὲν B | **22** καρπὸν > L | ἐνομοθέτησεν HSS ἐνομοθέτησαν Ausgaben, unrichtig | **23** ἀρετή ||| V² | **26** οὖν > BnGSF, nach τοὺς übergeschrieben V²

γίστων τε καὶ καλλίστων φορτίων εἰς τοὺς ἀπηνέμους λιμένας καθ-
ώρμιστο) ὁ δύστηνος ἐξήλασεν καὶ τρισάθλιος. τοὺς δὲ τῶν θείων
ἐκείνων ἡγουμένους χορῶν, Μακάριόν τε τὸν ἀοίδιμον καὶ τὸν ἐκεί-
νου γε ὁμώνυμον καὶ Ἰσίδωρον καὶ τοὺς ἄλλους ἐκ τῶν σπηλαίων
ἐξαγαγών, εἴς τινα νῆσον ἐξέπεμψεν ὑπὸ δυσσεβῶν οἰκουμένην ἀν-
θρώπων καὶ μηδένα πώποτε δεξαμένην εὐσεβείας διδάσκαλον. τοῦ 8
δὲ πορθμείου τῇ γῇ τῆς νήσου πελάσαντος, ὁ δαίμων ὁ παρ᾽ ἐκείνοις
τιμώμενος τὸ ἱδρυμένον καταλιπὼν εἴδωλον, ὅπερ εἶχε παλαιὸν οἰκη-
τήριον, τὴν τοῦ ἱερέως ἐξέμηνε θυγατέρα καὶ βακχευομένην πρὸς τὴν
ἀκτὴν ἐξήγαγεν, ᾗ τὸ πορθμεῖον οἱ ἐρέται προσώρμισαν· ὀργάνῳ δὲ
τῇ γλώττῃ χρησάμενος τῆς κόρης, ἐβόα δι᾽ αὐτῆς ἅπερ ἐν Φιλίπποις
ἡ τὸ πνεῦμα τοῦ Πύθωνος ἔχουσα. ἦκουον δὲ ἅπαντες, καὶ ἄνδρες 9
καὶ γυναῖκες, ἐκείνου τοῦ δαίμονος λέγοντος· »ὦ τῆς ὑμετέρας δυνα-
στείας, ᾗ θεράποντες τοῦ Χριστοῦ, πανταχόθεν παρ᾽ ὑμῶν ἐληλά-
μεθα ἀπὸ πόλεων καὶ κωμῶν, ἀπὸ ὀρέων καὶ βουνῶν, ἀπὸ τῆς οἰ-
κητόρων ἐστερημένης ἐρήμου. ἠλπίσαμεν ἐν τῷδε τῷ νησυδρίῳ 10
διάγοντες τῶν ὑμετέρων ἀπηλλάχθαι βελῶν, καὶ τῆς ἐλπίδος ἐψεύ-
σθημεν· ἐνταῦθα γὰρ ὑμᾶς ἐξέπεμψαν οἱ διώκοντες, οὐχ ἵνα ὑμᾶς
ἀνιάσωσιν, ἀλλ᾽ ἵνα ἡμᾶς δι᾽ ὑμῶν ἐξελάσωσιν. ἀφιστάμεθα καὶ τῆς
νησίδος· ταῖς γὰρ τῆς ἀρετῆς ὑμῶν ἀκτίσι βαλλόμεθα«. ταῦτα λέ- 11
γοντες καὶ τὰ τούτοις προσόμοια, εἰς μὲν τὸ ἔδαφος τὴν κόρην
κατέβαλον, αὐτοὶ δὲ φροῦδοι πάμπαν ἐγένοντο. ὁ δὲ θεῖος ἐκεῖνος
χορὸς προσευξάμενος τὴν κόρην ἀνέστησεν, καὶ τῷ γεγεννηκότι σωφρο-

2—S. 249, 10 vgl. Rufin. ebd. 1007, 5 [Georg. Mon. 554, 15]. Sozomen. VI 20, 6—10. Socrat. IV 24, 12—17 — **11/12** Act. 16, 16—17

B V² HN (n) + GSP [P bis **18** *ὑμᾶς ἐξέ*] (s) = r AL (y) F

1 *τε* > nGS | **1/2** nach *καθώρμιστο* + *ὃν* r | **2** *ὁ δύστηνος ἐξήλασεν καὶ τρισάθλιος* BV²F *ὁ δύστηνος καὶ τρισάθλιος ἐδίωξε* r *ὁ δύστηνος ἐκεῖνος καὶ τρισάθλιος ἐδίωξε* y *infelix Lucius expulit* Cass. | **3** *ἡγοῦμενος* P | *τε* > GS | **4** *γε*] *δὲ* s > ny | *καὶ*[1] > V²Cass. | *ἡρίδωρον* V², *Isidorum* Cass. | **5** *ἐξαγαγών*] *ἐξήγαγον καὶ* B, *eiiciens* Cass. | **6** *δεξαμένην* zweimal, das erste expungiert V² | **7** *πορθμείου* nPyF *πορθμίου* BV²GS | *προσπελάσαντος* GS | *ἐκείνων* yF | **10** *ἀκτὴν*] *αὐτὴν* P | *ᾗ τὸ πορθμεῖον*] *πρὸς τὸ πορθμεῖον ἔνθα* F | *ᾗ* BV² *εἰς ἣν* ry | *πορθμεῖον* nPyF *πορθμίον* BV²GS | **11** *γλώσσῃ* y | *κεχρημένος* B | *χρησάμενος τῆς κόρης τῇ γλώττῃ* ∾ V² | *δι᾽ αὐτῆς* BV²A *διὰ ταύτης* rAsLF | **14** *τοῦ* > y | **15** *ὀρέων* BV² *ὀρῶν* ryF | **18** *γὰρ* > P | **22** *κατέβαλεν*, ε auf Rasur, V² | **23** *ἀνέστησεν* Bn *suscitavit* Cass. *ἀνέστησαν* V²syF

νοῦσάν τε καὶ ἐρρωμένην ἀπέδωκεν· οἱ δὲ τοῦ θαύματος θεαταὶ πρὸ τῶν ἁγίων ἐκείνων ποδῶν κυλινδούμενοι τῶν τῆς σωτηρίας ἐφοδίων μεταλαχεῖν ἠντιβόλησαν. καὶ τὸ μὲν τῶν εἰδώλων κατέλυσαν τέμε- 12
νος, ταῖς δὲ τῆς διδασκαλίας ἀκτῖσι καταυγασθέντες τῆς τοῦ πανα-
γίου βαπτίσματος ἠξιώθησαν χάριτος. τούτων ἐν τῷ ἄστει δήλων 13
γεγενημένων, πανδημεὶ συνῆλθον ἅπαντες, τῷ Λουκίῳ λοιδορούμενοι καὶ θεήλατον σφᾶς ὀργὴν καταλήψεσθαι λέγοντες εἰ μὴ τῶν ἁγίων ἐκείνων ὁ θεῖος ἀφεθείη χορός· οὕτω δείσας ὁ Λούκιος τὸν τῆς πόλεως θόρυβον ἐπανελθεῖν τοῖς θεσπεσίοις ἀνδράσιν ἐπέτρεψεν εἰς
τὰ σπήλαια.

Ἱκανὰ μὲν δὴ καὶ ταῦτα δεῖξαι τὴν ἐκείνου βδελυρίαν τε καὶ 14
ἀσέβειαν· σαφέστερον δὲ τὰς τολμηθείσας διδάξει παρανομίας τοῦ θαυμασίου Πέτρου τὰ γράμματα. ἐγὼ δὲ τὸ μῆκος φεύγων τὰ ἐν μέσῳ κείμενα τῆς ἐπιστολῆς ἐνθήσω τῇ συγγραφῇ.

»Ὁ τοῦ ἔθνους ἡγεμονεύων Παλλάδιος, ἐθνικὸς ὢν τὴν αἵρεσιν 22
»καὶ τῶν εἰδώλων ἀεὶ προκυλινδούμενος, κατὰ Χριστοῦ στρατεύεσθαι
»πολλάκις μελετήσας, τὰ προειρημένα συναθροίσας πλήθη, ὁρμᾷ κατὰ
»τῆς ἐκκλησίας ὡς ὑποτάξαι βαρβάρους ἐπειγόμενος. τότε δὴ τὰ χεί-
»ριστα γέγονεν. ἀλλὰ καὶ μόνον ὑπαγορεῦσαι θέλων, τῆς μνήμης
»ὀδύνην μοι παρασχούσης, ἐπαφῆκα δακρύων ἄμετρον φοράν· καὶ ἐπὶ
»πολὺ ἔμεινα ἂν τοῦτο πάσχων, εἰ μὴ θείῳ λογισμῷ λωφῆσαι παρε-
»σκεύασα. ἐν γὰρ τῇ καλουμένῃ ἐκκλησίᾳ Θεωνᾶ ἐπεισελθόντα τὰ 2

* **12**—S. 260, 22 Cass. VII 40 — **15**—S. 251, 7 Cod. syriac. Br. Mus. Add. 14, 725 (= Σ) — **15**—S. 252, 7 Michael Syr. VII 7 p. 301 — **15**—S. 260, 22 Niceph. H. E. XI 28 — **22**—S. 252, 2 Polydeukes 406, 19. Theophan. 60, 34 Exc. Bar. 220r

B V² F HN(n)+GS(s)=r AL(y) W [von **15** an]

1 *ἀπέδωκεν* V²n *restituit* Cass. *ἀπέδωκαν* BsyF | **2** *ποδῶν ἐκείνων* ∾ L | *κυλινδούμενοι* B *καλινδούμενοι* V²ryF | **7** nach *σφᾶς* + *αὐτοὺς* n | vor *τῶν* + *ὁ* F, übergeschrieben Ac | **8** *ὁ θεῖος* > F Cass. | **11** *ἱκανὰ*] *εἰκόνα* B | **15** *κβ* am Rand HSS | *ἐθνικὸς* BG, *ι* aus *η* corr. V² | **16** *προκυλινδούμενος* = Σ] *προ////καλινδούμενος*, *α* aus Corr., V² *προσκυλινδούμενος* F, *adoraret* Cass. | nach *κατὰ* + *τοῦ* F | **18** *βαρβάρους ὑποτάξαι* ∾ n | *τότε δὴ τὰ* B *τότε δὴ τότε* die übr. HSS, *τότε* nur einmal auch bei Cass. Σ Michael | **19** *ἀλλὰ* = Σ] *ἃ δὴ* W *quae* Cass. > F | *μόνον ὑπαγορεῦσαι θέλων* V²FryW = Cass. Σ *θέλων μόνον ὑπαγορεῦσαι* B | **20** *παρασχούσης* B *dolore . . . sum commotus* Cass. Σ *παρεχούσης* die übr. HSS | *ἀμέτρων* nW | **21** *ἔμεινα ἂν τοῦτο*] *ἐκείνα τοῦτο ἄν* B | *λοφῖσαι* B

»πλήθη ἀντὶ ῥημάτων σεμνῶν εἰδώλων εὐφημίας ἐπήφιον, ἀντὶ θείων »γραφῶν ἀναγνώσεως κρότους χειρῶν ἀσέμνους καὶ κεκλασμένας μετ' »αἰσχρότητος φωνάς, κατὰ τῶν τοῦ Χριστοῦ παρθένων ὕβρεις, ἃς ἡ »γλῶττα προφέρειν οὐκ ἀνέχεται· αἰσχρὸν γάρ ἐστι καὶ λέγειν. »καὶ γὰρ μόνον τις τῶν εὖ φρονούντων ταῦτα ἀκούσας ἔβυσε τὰς 3
»ἀκοάς, καὶ μᾶλλον ηὔξατο ἂν γενέσθαι κωφὸς ἢ αὐτήκοος γενέσθαι »τῆς αἰσχρολογίας αὐτῶν.

»Ἀλλ' εἴθε λόγοις ἀρκούμενοι μόνον ἐξημάρτανον καὶ μὴ πράξει »τὴν τῶν λόγων ἐνίκων ἀσέλγειαν· εὐύποιστος γὰρ ἡ λοιδορία, κἂν »οἷα δή ποτ' οὖν τυγχάνῃ, παρ' οἷς οἰκεῖ Χριστοῦ φρόνησις καὶ θεῖα »διδάγματα. αὐτοὶ τοίνυν οὗτοι »ὀργῆς σκεύη« τυγχάνοντες »κατ- 4
»ηρτισμένα εἰς ἀπώλειαν«, τὴν ῥῖνα σιμώσαντες, ψόφον ἀσελγῆ »ἀπὸ τῶν μυκτήρων μακρόν, καὶ ἵν' οὕτως εἴπω, ὡς ἀπὸ κρουνοῦ »προχέοντες, τὴν μὲν ἐσθῆτα διέρρησσον τῶν ἁγίων τοῦ Χριστοῦ »παρθένων, ὧν ἡ ἄσκησις τύπον ἁγίων ⟨ἀγγέλων⟩ ἐχαρακτήριζεν, ὡς »δ' ἡ φύσις ἔχει γυμνὰς πᾶσαν τὴν πόλιν ἐθριάμβευον, διαπαίζοντες »μετὰ ἀσελγείας ὃν τρόπον ἐβούλοντο, καὶ ὅλως ὠμὰ καὶ ξένα τὰ »γενόμενα. εἰ γοῦν τις ἐπὶ τούτοις συμπαθὼν ἐκώλυεν παραινέσεως 5
»χρώμενος λόγοις, τραυματίας ἀπελύετο. ἀλλὰ φεῦ τῶν συμφορῶν,

4 Ephes. 5, 12 — **11/12** Röm. 9, 22

B V² F HN (n) + GS (s) = r AL (y) W

1 *ἐπήφιον* FryW *ἐπίφιον* B *ἐπηφίουν*, aber der Accent über *η* ausradiert und *ου* aus *ο* corr., V² | **2** *ἀσέμνως* B, *turpes* Cass. = *Σ* | **3** *τοῦ* > V² | **4** *γλῶσσα* s | *αἰσχρὸν γάρ ἐστι καὶ λέγειν II*, nicht übersetzt von Cass. *Σ* **5** *ταῦτα* B *talia* Cass. = *Σ ταύτας* V²FryW | **9** *ἀσέλγειαν* BV²FrW *turpitudinem* Cass. *Σ ἀσέβειαν* y | *εὐύποιστος* V²FrW *εὐύπιστος* B *ἐνύποιστος* y | **10** *τυγχάνει* B | *Χριστοῦ* = Cass. *Σ*] *θῦ* V² | **10/11** *διδάγματα* = *Σ*] *δόγματα* B, *doctrinae cultus* Cass. | **11/12** *κατηρτισμένα* r Röm. *κατηρτισ* [. . . .] ein Strich, wie es scheint, von *α* noch leserlich B, *ad perditionem facta* Cass. *κατηρτισμένοι* V²FyW | **13** *ἀπὸ*¹ V²FW *de* Cass. *ἀ*? [. . . . .] B *διὰ* ry | **13/14** *κρο*[. . . . .]*χέοντεσ* B | **14** *διέρησσον* By | *τοῦ* > ry, s. Z. 3 | **15** *ἁγίων ἀγγέλων* Christ. *sanctorum — angelorum* Cass. *ἁγίων II*; *Σ* las *ἀνθρώπων πρώτων*, oder, mit leichter Correctur im Syr., *ἀνθρώπων ἁγίων*; vgl. 247, 19 | **16** *γυμνὰς ἀνὰ τὴν πόλιν* vermutet Val., vgl. *διὰ τῆς πόλεως περιῆγον* Theophan. | *διαπαίζοντέσ* + *τε* V² | **17** *ὅλως*] *ὅμωσ* F | **18** nach *γενόμενα* + *γυμνοῦντεσ δημοσία περιῆγον* FW im Text, aus einer Randglosse zu *γυμνὰς — ἐθριάμβευον* | *ἐπὶ τούτοισ συμπαθῶν* (sic) BV²FW *Σ eos tunc compatiendo* Cass. *συμπαθῶσ ἐπὶ τοίτοισ* ry | *ἐκώλυεν* BFW *prohiberet* Cass. = *Σ ἐκώλυσε* V²ry

»πολλαὶ βίαιον φθορὰν ὑπέστησαν σώματος, πολλαὶ τῶν παρθένων »ῥοπάλοις κατὰ κεφαλῆς τυπτόμεναι ἔμενον ἀχανεῖς, οὐκ ἐπιτρεπο»μένων τῶν σωμάτων οὐδὲ τῇ ὁσίᾳ παραδίδοσθαι· πολλὰ οὖν μέχρι »σήμερον τῶν γονέων ὀδυρομένων οὐχ εὑρίσκεται σώματα.

»Ἀλλὰ τί τὰ μικρὰ πρὸς τὰ μεγάλα διεξέρχομαι; τί δὲ τούτοις 6
»ἐμβραδύνω καὶ μὴ σφοδρῶς ἐπὶ τὰ κατεπείγοντα βαίνω; ἐφ᾽ οἷς εὖ »οἶδ᾽ ὅτι θαυμάσετε καὶ μενεῖτε ἐπὶ πολὺ σὺν ἡμῖν ἀχανεῖς, ἐξιστά»μενοι τῆς φιλανθρωπίας τὸν κύριον ὅτι μὴ ἄρδην τὸ ὅλον συνέστει»λεν. ἃ γὰρ κατὰ τὸ γεγραμμένον μήτε γέγονε μήτε ἠκούσθη ἐν
»ταῖς ἡμέραις τῶν πατέρων ἡμῶν, ταῦτα ἐπ᾽ αὐτοῦ τοῦ θυσια»στηρίου ἐπετέλουν οἱ δυσσεβεῖς. ὡς γὰρ ἐν κρηπίδι σκηνῆς ἀτάκτου, 7
»παῖδα τὴν ἄρρενα φύσιν ἐξαρνησάμενον καὶ τὴν γυναικείαν ποθή»σαντα, στίβει τοὺς ὀφθαλμοὺς κατὰ τὸ γεγραμμένον διαχρισάμε»νον καὶ φύκει τὰς ὄψεις ἐρυθήναντα, ὡς τὰ παρ᾽ αὐτοῖς εἴδωλα,
»θηλυμόρφῳ τῷ σχήματι, ἐπ᾽ αὐτοῦ τοῦ θυσιαστηρίου ἔνθα κάθοδον »τοῦ ἁγίου πνεύματος ἐπικαλούμεθα, εὐκύκλῳ τῇ στροφῇ ὧδε κἀκεῖσε »τῷ χεῖρε σχηματιζόμενον, ὀρχεῖσθαι παρεσκεύασαν, πλατὺ μὲν γελῶν»τες, ἀθέσμους δὲ ἐπαφιέντες φωνάς. οἱ δὲ πάλιν καὶ τοῦτο πρὸς 8
»ἀταξίαν ἡγησάμενοι καὶ τὰ παρῳχηκότα εὐπρεπῆ μᾶλλον ἢπερ ἄθεσμα »λογισάμενοι, ἐξ αὐτῶν ἕνα γνωριμώτατον ἐν αἰσχρότητι, ὁμοῦ τὴν »ἐσθῆτα καὶ τὴν αἰδῶ γυμνωσάμενον ὡς ἡ φύσις ἔχει σχήματος, τῷ

9/10 Joel 1, 2 — **13** Jerem. 4, 30 — **14** vgl. Sap. Sal. 13, 14

B V² F HN (n) + GS (s) = r AL (y) W

1 *βίαιον* BV² *βιαίαν* FW *violentam* Cass. *βιαίως* ry | **2** nach *κατὰ* + *τῆσ* V² | **3** *τῇ ὁσίᾳ παραδίδοσθαι* V²ny *τῇ ὁσίᾳ παραδίδοσθαι ταφῇ* sW *τῇ ὁσίᾳ παραδίδοσθαι* //////// F *solemni sepulturae tradi* Cass. *τῇ ταφῇ παραδίδοσθαι* B. s. unten S. 258, 19 | *πολλὰ οὖν*] *καὶπολλῶν* V², *multa denique* Cass. | **6** *ἐμβραδύνω* B | **7** *θαυμάσητε* V² | *ἀχανεῖς σὺν ἡμῖν* ∾ y, Cass. wie im Text **9** *μήτε*¹] *μὴ* B | **13** *στίβει* B *στοιβῇ* nGy *στίμει* V² *στίμμῃ* F *στίμμῃ* SW | *τοὺσ ὀφθαλμοὺσ κατὰ τὸ γεγραμμένον* B *κατὰ τὸ γεγραμμένον τοὺσ ὀφθαλμοὺσ* V²F ryW, vgl. Jer. *στίβι τοὺς ὀφθαλμούς* | **14** *φυκί»* V² | *ἐρηθύνοντα* F *ἐρυθήσαντα* G | *εἰδώλοισ* s | **15** *τῷ* > s | *θυσιαστηρίου* BV²FW Cass. *ἁγίου θυσιαστηρίου* ry | **18** *δὲ*¹ > B | **19** *εὐταξίαν* aus *ἀταξίαν* mit Conjectur Lᶜ, vgl. Cass.: *qui rursus hoc parvum iudicantes* (*πρὸς ἀταξίαν* nicht übersetzt), als ob er *μικρὸν* nach *τοῦτο* gelesen hätte; den Text erklärt Noesselt: »omnem hanc petulantiam quasi *ἐν κρηπῖδι σκηνῆς ἀτάκτου* actam esse modo dixerat Petrus, quare nunc narrat eosdem nebulones iterum fecisse quod *πρὸς ἀταξίαν* idoneum putarent«: ob *τοῦτ᾽ οὐ πρὸς ἀταξίαν*? Jülicher | **20** *ἑαυτῶν* B

»τῆς ἐκκλησίας ἐπιβιβάσαντες θρόνῳ δημηγόρον αἰσχρὸν κατὰ Χριστοῦ »προσηγόρευσαν. ἀντὶ γὰρ θείων ῥημάτων αἰσχρότητα προὐβάλλετο, 9 »ἀντὶ σεμνῶν λόγων ἀσέλγειαν, ἀντ᾽ εὐσεβείας ἀσέβειαν, ἀντὶ ἐγκρα»τείας πορνείαν, μοιχείαν, ἀρσενοκοιτίαν, κλοπήν, πόσιν καὶ βρῶσιν »τῷ βίῳ πρὸς τοῖς ἄλλοις εἰσηγούμενος εἶναι χρήσιμα.

»Τούτων δὲ οὕτως ἐχόντων κἀμοῦ τῆς ἐκκλησίας ὑπαναχωρήσαν»τος (πῶς γὰρ οὐχί, ὅπου στρατιωτῶν ἔφοδοι, ὅπου δῆμος πρὸς ἀτα»ξίαν ἀργυρώνητος, ὅπου φιλοτιμίαι χρημάτων καὶ ἐθνικῶν πλήθη »μετὰ μείστων ὑποσχέσεων;) ἡμέτερος δῆθεν ἀποστέλλεται διάδοχος, »χρυσίῳ τὴν ἐπισκοπὴν ὡς ἀξίωμα κοσμικὸν ἡγησάμενος, Λούκιός »τις, λύκου τὴν πονηρίαν καὶ τὰς πράξεις ἔχειν ἐσπουδακώς, οὐκ »ἐπισκόπων ὀρθοδόξων συνόδῳ, οὐ ψήφῳ κληρικῶν ἀληθινῶν, οὐκ »αἰτήσει λαῶν, ὡς οἱ τῆς ἐκκλησίας διαγορεύουσι θεσμοί. τῷ δὴ 10 »τοιούτῳ συνῆσαν (ἁπλῆ γὰρ εἰσόδῳ τῆς πόλεως ἐπιβαίνειν οὐκ ἠδύ»νατο) οὐκ ἐπισκόπων τινές, οὐ πρεσβυτέρων, οὐ διακόνων, οὐ λαῶν »πλήθη, οὐ προῆγον τοῦτον μονάζοντες ὕμνους ἐκ γραφῶν ἀναμέλ»ποντες, ἀλλ᾽ Εὐζώϊος ἦν, ὁ πρώην μὲν σὺν Ἀρείῳ καθαιρεθείς, διά»κονος ὢν τῆς καθ᾽ ἡμᾶς Ἀλεξανδρείας, ἐν τῇ κατὰ Νίκαιαν ἁγίᾳ »καὶ μεγάλῃ συνόδῳ, ἄρτι δὲ προστασίᾳ τὴν Ἀντιοχέων λυμαινόμενος, »καὶ ὁ τῶν κομητατησίων δὲ λαργιτιόνων κόμης, στρατιωτῶν ἐπαγό»μενος ἄμετρον πληθύν, ὁ ἐν πάσῃ ἀσεβείᾳ ἀεὶ γνωριζόμενος Μάγνος »τοὔνομα· ὃς ἐν τοῖς Ἰουλιανοῦ καιροῖς τὴν Βηρυτίων ἐκκλησίαν »ἐμπρήσας (Φοινίκων δ᾽ αὕτη πόλις ἐπιφανής), ἐπὶ τοῖς τοῦ τῆς

4 vgl. I Kor. 6, 4 f. Röm. 14, 17

B V² F HN (n) + GS (s) = r AL (y) W

1 *ἐπιβηβάσαντεσ* Bs (*-τα* G), *βι* aus *βη* corr. V² | *Χριστοῦ* = Cass.] *τοῦ θῦ* V² | **2** *προσηγόρευσαν* H, *προσαγορεύσαντες* V²FNsyW *προσαγορεύοντες* B, vielleicht als echte Lesart *προσαγορεύονται* aus B herzustellen; doch den Aorist bezeugt Cass.: *concionatorem — elevaverunt* | *γὰρ* = *enim* Cass.] *μὲν γὰρ* V² | *προυβάλλεται* Bs, *proferebat* Cass. | **4** *πόσιν καὶ βρῶσιν* BV²W *βρῶσιν καὶ πόσιν* Fry *cibum, potum* Cass. | **5** *εἰσηγούμενοι* B | *χρήσιμον* B, *utilia* Cass. **6** *κἀμοῦ* = *et me* Cass.] *ἐμοῦ* B | **7/8** *ἀταξίαν* BV²nW *seditione* Cass. *ἀταξίασ* Fsy | **9** *μείστων*] *μεγάλων* B Cass. | **10** *χρυσίῳ* B *χρυσίου* die übr. HSS *ἡγησάμενος*] *ὠνησάμενοσ* H, vgl. Cass.: *aut pro episcopatu* (sic) *quasi mundanam comparans dignitatem* | **12/13** *οὐκ αἰτήσει λαῶν Π non petitione populorum electus* Cass., ein Wort ausgefallen? | **14/15** *ἠδύναντο* n | **20** *κομετατησίων* B | *λαργητιόνων* BNGL, vgl. S. 259, 18 | **21** *πλήθοσ* B | *ἀεὶ* > B Cass. | **23** *ἐμπρήσας* = *incendens* Cass.] *ἐμπλήσασ* B | *ἐπὶ τοῖσ τοῦ* Hs *τοῖσ ἐπὶ τοῦ* V² *ἐν τοῖσ ἐπὶ τοῦ* FW *τοῖσ ἐπὶ* B *ἐπὶ τοῦ* Ny

»μακαρίας μνήμης Ἰοβιανοῦ χρόνοις ἐξ οἰκείων ταύτην ἀνορθῶσαι »κατηναγκάσθη, ὀλίγου καὶ τὴν κεφαλὴν τμηθείς, εἰ μὴ φιλανθρωπίας »ἐκ πολλῆς περιδρομῆς ἔτυχε βασιλικῆς.

»Ἀναλογίσασθαι τοίνυν ἐκ τούτου τὸν ὑμέτερον ζῆλον προσήκει. »ὃν διεγερθῆναι πρὸς ἐκδικίαν τῶν γενομένων παρακαλῶ, οἷα καὶ »ἡλίκα τὰ πλημμεληθέντα κατὰ τῆς τοῦ θεοῦ ἐκκλησίας, τοιούτου 11 »τυράννου τοῦ προειρημένου καθ' ἡμῶν ἐπαναστάντος. ἅμα γὰρ ὁ »παρὰ τῆς ὑμετέρας θεοσεβείας καὶ τῶν ἁπανταχοῦ ὀρθοδόξων ἐπι- »σκόπων πολλάκις ἀπαγορευθεὶς Λούκιος τῆς πρὸς αὐτὸν ἀπεχθῶς »διακειμένης ἐπ' εὐλόγοις ταῖς προφάσεσιν ἐπέστη πόλεως. οὐ γὰρ 12 »μόνον, ὡς ὁ δύσφημος ἐν Ψαλμοῖς ἄφρων, λέγει· »οὐκ ἔστι θεὸς« »ἀληθινὸς ὁ Χριστός, ἀλλὰ καὶ τοῖς ἐπιτηδεύμασι διεφθάρη καὶ »διέφθειρε, χαίρων ἐπὶ ταῖς κατὰ τοῦ σωτῆρος πεμπομέναις βλασφη- »μίαις παρὰ τῶν »τῇ κτίσει λατρευόντων παρὰ τὸν κτίσαντα«. πῶς »γὰρ οὐχί; ὅπου γε παραπλήσιον Ἕλλησιν ἔχων τὸ φρόνημα πρόσ- »φατον τολμᾷ ὁ ἀλιτήριος σέβειν θεόν. ἐπ' ὄψεσι γὰρ αὐτῷ τούτους 13 »τοὺς ἐπαίνους ἔπεμπον· »καλῶς ἦλθες, ἐπίσκοπε, υἱὸν μὴ λέγων· ὁ »Σάραπίς σε φιλῶν εἰσήνεγκε«. τὸ πάτριον εἴδωλον ἑαυτῶν ὀνομά- »ζοντες.

»Αὐτίκα ῥοπῆς οὐδεμιᾶς παρελθούσης ὁ προειρημένος Μάγνος, ὁ »τῆς ἀσεβείας αὐτοῦ κοινωνὸς ἀδιαίρετος καὶ δορυφόρος πικρὸς καὶ »σατράπης ὠμότατος, συναθροίσας καὶ τὰ ὑπὸ τὴν ἑαυτοῦ φροντίδα »ἐπανακείμενα πλήθη, πρεσβυτέρους καὶ διακόνους τὸν ἀριθμὸν ἐν- »νεακαίδεκα συλλαβόμενος, ὧν τινες τὸ ὀγδοηκοστὸν ὑπερβεβήκασιν »ἔτος, ὡς ἁλόντας ἐπὶ μυσαρῷ τινι καὶ νόμῳ Ῥωμαίων ἐχθρῷ, δη-

11—13 Psal. 13, 1 — **14** Röm. 1, 25 — **15/16** Psal. 80, 10

B V² F HN (n) + GS (s) = r AL (y) W

1 *ἰωβιανοῦ* A *ἰουβιανοῦ* Ns | **2** *κατηναγκάσθη* BFW *κατηνάγκασται* V²ry | *ὀλίγω* B | **4** *τοίνυν* am Rand Ac | *τὸν — προσήκει* > n | **4/5** *προσήκει ὃν*] *προσοικεῖον* B, nicht übersetzt von Cass.: *considerare siquidem haec vestrum zelum et ad vindictam excitari deposco* | **5** *τῶν γενομένων παρακαλῶ* > s | **8** *παρὰ* > B | *πανταχοῦ* B | **8/9** *ἐπισκόπων ὀρθοδόξων* ~ B, Cass. wie im Text | **10** *ἀπέστη* B, *astitit* Cass. | **11** *ὁ* > B | *ἄφρων ἐν Ψαλμοῖς* ~ V² | **13** *βλασφημίαις* + *ταῖσ* vor *κατὰ* ~ FryW | **15** *γε*] *γὰρ* B | **15/16** *πρόσφατον* HS *προσφάτω* die übr. HSS | **16** *τολμᾷ*] *τόλμα* B *τόλμη*, *η* corr., V² | nach *σέβειν* + *τολμᾶ* V² | *θεόν* BV²HS *θεῶ* FNGyW, vgl. Cass.: *recentem praesumit erroneus colere deum* und unten S. 255, 1 | *αὐτοῦ* W | **18** *σέραπίσ y* | **20** *αὐτίκα* BV²Cass. *αὐτίκα γὰρ* FryW

»μόσιον ὁρίσας κριτήριον, κατηνάγκαζεν, οὐκ εἰδὼς τοὺς ὑπὲρ τῆς »ἀρετῆς Χριστιανῶν νόμους, τὴν πατρῴαν παρὰ τῶν ἀποστόλων διὰ »τῶν πατέρων ἀποδοθεῖσαν ἡμῖν προδιδόναι πίστιν, ἡδόμενον ἐπὶ »τούτῳ καὶ τὸν φιλανθρωπότατον Αὔγουστον Οὐάλεντα δυσχερι- »ζόμενος· »πείσθητε, τάλανες«, λέγων μεγάλῃ τῇ φωνῇ, »τῷ τῶν Ἀρει- »ανῶν φρονήματι πείσθητε· συγγνωμονήσει γὰρ ὑμῖν τὸ θεῖον, κἂν 14 »ἀληθῆ σέβητε θρησκείαν, οὐκ αὐθαιρέτως ἀλλὰ πρὸς ἀνάγκην τοῦτο »πράξασι. τῇ μὲν γὰρ ἀνάγκῃ ἀπολογία περιλείπεται. τῷ δὲ αὐθαι- »ρέτῳ ἀκολουθεῖ κατηγορία. διὸ τοιούτους λογισμοὺς πρὸ ὀφθαλμῶν 15 »τιθέμενοι ἥκετε πρόθυμοι. μελλησμὸν ἀποθέμενοι πάντα. τῷ Ἀρείου »ὑπογράφοντες δόγματι, ὃ νῦν κηρύττει ὀνομαστὶ λέγων Λούκιος. εὖ »εἰδότες ὡς πειθαρχοῦντες χρήματα καὶ πόρους καὶ γέρα παρὰ βα- »σιλέως ἕξετε. ἀπαναινόμενοι δὲ εἱρκτῆς καὶ στρεβλῶν καὶ βασάνων »καὶ μαστίγων καὶ δαμαστηρίων πεῖραν λήψεσθε. χρημάτων ὁμοῦ καὶ »κτημάτων στερηθέντες καὶ τῆς πατρίδος μεταναστάντες, εἰς χαλεποὺς »οἰκῆσαι τόπους κατακριθήσεσθε«.

»Ἀλλ' οὗτος μὲν ὁ γενναῖος, ἀπάτῃ τὴν ἀπειλὴν κεράσας, μετα- 16 »ναστῆναι τῆς εὐσεβοῦς τοὺς πάντας καὶ προὐτρέπετο καὶ κατηνάγκαζε »γνώμης. οἱ δὲ πικρότερον βασάνου πάσης τὴν εἰς εὐσέβειαν προδοσίαν »ἡγησάμενοι (ἔχει γὰρ οὕτω), τοιοῖσδε πρὸς αὐτὸν ἀναγκαζόμενοι »ἀπήντησαν ῥήμασιν, ἀρετῇ καὶ γενναίῳ φρονήματι ὁμοῦ τὴν ἀπάτην »καὶ τὰς ἀπειλὰς ὑποτάξαντες· »πέπαυσο λοιπόν, πέπαυσο τούτοις »ἡμᾶς ἐκφοβῶν τοῖς ῥήμασιν· ἔπεχε εἰκαῖα προφέρειν ῥήματα· ἡμεῖς 17

B V² F HN (n) + GSP [P von **21** *μασιν ἀρετῇ* an] (s) = r AL (y) W

1 *τῆς* > n | **2,3** *διὰ τῶν πατέρων* > L | **4** *βάλεντα* y > n | **5** und **6** *πίσθητε* B | *φωνῇ* BFW *βοῇ* V²ry | **7** *σέβητε* FHSW, *η* auf Rasur V² *σέβετε* BNy *σέβεσθε* G, vgl. S. 255, 1; 259, 11 | **8** *περιλείπεται*] *παραλείπεται* BN *deest* Cass. | **10** *ἥκετε πρόθυμοι* = Cass. > B | **11** *δ*] *δν* A | *λέγων λούκιος* BV² *λούκιος λέγων* FryW | **12/13** *βασιλέως* = Cass.] *βασιλέων* y **13** *στρεβλῶν* BV²FW *στρεβλώσεων* ry, s. unten S. 256, 2 | **15** *μεταστάντες* L | *χαλεπωτέρους* V², *crudelia* Cass. | **17** *ὁ γενναῖος* — **18** *πάντας* am Rand Wr | **18** *πάντας καὶ*] *ἅπαντας* B, vgl. S. 259, 21 | **19** *τὴν εἰσ εὐσέβειαν* V²FryW *τῆσ εὐσεβείασ τὴν* B, *pietatis proditionem* Cass. | **20** *ἔχει* — *ἀναγκαζόμενοι* > F | nach *γὰρ* + *δὲ* expungiert V² | **21/22** *τὰς ἀπειλὰς καὶ τὴν ἀπάτην* ∾ L | **23** *ἐκφοβῶν ἡμᾶς* ∾ V², *nos terrere* Cass. | *εἰκαῖα*] *εἰκῆ* B, *vana* (*verba*) Cass. | *προσφέρειν* L | *ῥήματα*] *ἐπιχειρήματα* V²W | nach *ἡμεῖς* + *γὰρ* FryW, fehlt bei Cass.

»οὔτε νέηλυν οὔτε πρόσφατον σέβοντες θεόν. κἂν ἐπαφρίζῃς κυ-
»μαίνων εἰκῆ καὶ προσρήσσῃς ὡς βίαιος ἄνεμος, τοῖς εὐσεβείας ἄχρι
»θανάτου ἐμπολιτευόμεθα δόγμασιν, οὐκ ἀδύναμον, οὐκ ἄσοφον, οὐ
»χωρὶς ἀληθείας πώποτε φρονήσαντες θεόν, οὐ ποτὲ μὲν ὄντα πατέρα,
»ποτὲ δὲ μὴ ὄντα, κατὰ τὸν δυσσεβῆ τοῦτον Ἀρειανόν, χρονικὸν ἢ
»πρόσκαιρον δοξάζοντες τὸν υἱόν. εἰ γὰρ κτίσμα κατὰ τοὺς Ἀρειο- 18
»μανίτας ὁ υἱός, οὐχ ὑπάρχων πατρί, εἰς τὸ εἶναι συστήσεται καὶ ὁ
»πατήρ, οὐχ ὑφεστῶτος τοῦ υἱοῦ οὐκ ὢν ποτε κατ' αὐτοὺς πατήρ.
»εἰ δὲ ἀεὶ πατήρ ἐστιν, ὑφεστῶτος δηλονότι τοῦ ἐξ αὐτοῦ ἀληθινοῦ
»καὶ οὐ κατὰ ἀπόρροιαν γεννήματος (ἀπαθὴς γὰρ ὁ θεός), πῶς οὐκ
»ἄφρων καὶ μανιώδης ὁ »ἦν ὅτε οὐκ ἦν« φρονῶν τὸν υἱόν, δι' οὗ τὰ
»πάντα εἰς τὸ εἶναι κατὰ χάριν συνέστη; οἱ γοῦν ἡμέτεροι κατὰ πᾶσαν
»τὴν οἰκουμένην πατέρες, ὧν ἐκπεσόντες οὗτοι εἰκότως ἀπάτορες
»γεγόνασιν, ἐν Νικαίᾳ συνελθόντες, ἀναθεματίσαντες τὴν Ἀρείου
»κακοδοξίαν, ἧς ὁ νεώτερος οὗτος νῦν προΐσταται, οὐχ ἑτεροούσιον,
»ὃ νῦν ἡμᾶς εἰπεῖν καταναγκάζεις, τὸν υἱὸν εἰρήκασι τοῦ πατρός, ἀλλ'
»ἐκ τῆς αὐτοῦ οὐσίας· ὃ καλῶς μετ' εὐσεβοῦς διανοίας νοήσαντες. ἐκ
»πολλῆς τῶν θείων ῥημάτων συλλογῆς ὁμοούσιον ὡμολόγησαν.«

»Τὰ δὴ τοιαῦτα καὶ τὰ τούτοις παραπλήσια λέγοντας καθεῖρξεν 19
»ἡμερῶν πολλῶν, οἰόμενος τῆς εὐσεβοῦς μετακινήσειν γνώμης. οἱ δὲ
»μᾶλλον, ὥσπερ ἐν σταδίῳ τῶν ἀθλητῶν οἱ γενναιότατοι, δειλίαν
»πᾶσαν ἀποσβέσαντες. ἐπαλείφοντες ἑαυτοὺς τοῖς τῶν πατέρων διὰ

1 Psal. 80, 10

B V² F HN (n) + GSP (s) = r AL (y) W

1 *οὔτε νέηλυν* > P | *σέβοντες*] *σέβομεν* H *colimus* Cass. | *ἐπαφρίζεισ* BG | **2** *προσρήσσεισ* BN *προσρήσεισ* V² | **3** *ἐνπολιτευόμεθα* B | **5** *Ἀρειανόν*] *ἄρειον* F *ἄριον* B *Arii* Cass. | **6** nach *γὰρ* + *καὶ* P | **6/7** *ἀρειανοὺσ* L | **7** *ὁ*¹] *ἐσθ' ὁ* V² | *ὁ ῡσ, οὐχ ὑπάρχων πρ̄ι εἰσ τὸ εἶναι συστήσεται* BV²FW *ὁ ῡσ, οὐχ ὑπάρχων πρ̄ι ὁμοούσιοσ εἰσ τὸ μὴ εἶναι συστήσεται* mit Interpolation ry, am Rand Wr, *ὁμοούσιος* fehlt auch bei Cass.; der Sinn ist: »si enim creatura . . . est filius, non existens patri (ob *οὐχ ὑπάρχων ⟨ἀεὶ σὺν⟩ὑπάρχων πατρί*? vgl. verwandte Stellen Hahn, Bibliothek der Symbole 309, 10 f. 353, 25 f, Marcells Fragm. 129, S. 215, 5 ed. Klostermann und oben S. 114, 1 f), ita ut sit creabitur etiam pater« | **7. 8. 15** *οὐχ*] *οὐκ* B | **8** *ὑπεστώτοσ* B | *τοῦ* > y | *ποτε κατ' αὐτοὺς πατήρ*] *πατὴρ κατὰ τούτουσ ποτέ* V² | **9** *ἐστιν* > B, *est* Cass. **11** *ὁ*] *τὸ* B | **11/12** *τὰ πάντα εἰς τὸ εἶναι*] *τὸ εἶναι τὰ πάντα* B, *omnia ut sint — constituta sunt* Cass. | **14** *ἀναθεματίζοντεσ* GS | **16** *εἰπεῖν* nach *καταναγκάζεις* ∾ GS > B, *fateri nos cogis* Cass. | **17** *δ* > V², *quod* Cass. **18** nach *πολλῆς* + *τῆσ* V² | **19** *τὰ*² > V²FPL | *καθῆρξεν* B

»θείων λογισμῶν ἀνδραγαθήμασι, γενναιότερον εἶχον περὶ τὴν εὐσέ-
»βειαν τὸ φρόνημα, γυμνάσιον ἀρετῆς τὰς στρέβλας ἡγούμενοι. οὕτω
»τοίνυν ἀγωνιζομένων καὶ »θέατρον« ὡς ὁ μακάριος ἀπόστολος
»γράφει γενομένων »καὶ ἀγγέλοις καὶ ἀνθρώποις«, ἐπέτρεχεν ἡ
»πόλις ἅπασα, ἀθλητὰς θεασαμένη Χριστοῦ καρτερίᾳ τοῦ βασανίζοντος
»δικαστοῦ νικῶντας τὰς μάστιγας καὶ τρόπαια δι' ὑπομονῆς κατὰ
»ἀσεβείας ἐπαίροντας καὶ θριάμβους κατὰ Ἀρειανῶν ἐπιδεικνυμένους·
»οὓς ὑποτάξας ὁ πικρὸς οὗτος πολέμιος δι' ἀπειλῶν καὶ ἀπάτης τοῖς
»εἰς Χριστὸν ἀσεβοῦσιν ἐκδώσειν ἐνόμιζεν.

»Ἀποκακήσας τοιγαροῦν ταῖς τῶν βασάνων δι' ἐπινοίας χαλεπῆς 21
»προσβολαῖς, ἁπάντων τῶν λαῶν ὀδυρομένων ποικίλως διὰ πολλὰ τῷ
»θρήνῳ, ὁ πικρὸς καὶ πάσης ἀποδέων φιλανθρωπίας, τὰ συνήθη πάλιν
»πρὸς ἀταξίαν συναθροίσας πλήθη, ἐπὶ κρίσιν αὐτούς, μᾶλλον δὲ ἕωλον
»κατάκρισιν, καλεῖ πρὸς τῷ τῆς θαλάσσης λιμένι, πολυωνήτων συνήθως
»κατ' αὐτῶν ἐπαφιεμένων τῶν βοῶν παρὰ τῶν εἰδωλολατρῶν καὶ τῶν
»Ἰουδαίων. καὶ μὴ θελησάντων εἶξαι τῇ προφανεῖ δυσσεβείᾳ τῶν 22
»Ἀρειομανιτῶν, ἀποφαίνεται, τῶν λαῶν πρὸ τοῦ δικαστηρίου πάντων
»ὀδυρομένων, τῆς Ἀλεξανδρείας μεταναστάντας τὴν Ἡλιούπολιν τῆς
»Φοινίκης οἰκῆσαι, ἔνθα τῶν ἐνοικούντων οὐδεὶς κἂν ἀκοῦσαι τὸ τοῦ
»Χριστοῦ ἀνέχεται ὄνομα· εἰδωλικοὶ γὰρ οἱ πάντες. παραυτὰ σκάφους 23
»ἐπιβῆναι προστάξας, αὐτὸς ἑστηκὼς ἐπὶ τοῦ λιμένος (πλησίον γὰρ ἐν
»δημοσίῳ λουτρῷ τὴν κατάκρισιν κατ' αὐτῶν ὥρισε) γυμνὸν ἐπιδεικνύ-
»μενος τὸ ξίφος, νομίσας ἐκ τούτου φοβεῖν τοὺς τῇ διστόμῳ μαχαίρᾳ
»τοὺς πολεμίους δαίμονας πολλάκις κατατρώσαντας, οὕτω δὴ οὖν
»ἀποπλεῖν αὐτοὺς κελεύει, οὐκ ἐμβαλλομένους ἐπιτήδεια, οὐ παραμύθιόν
»τι τὸ σύνολον τῆς ἐξορίας ἔχοντας, καὶ τὸ θαυμαστὸν καὶ ἄπιστον.

3/4 I Kor. 4, 9 — **23** vgl. Hebr. 4, 12

B V² F HN (n) + GSP (s) = r AL (y) W

3 *ἀπόστολος* BFsyW Cass. *παῦλος* V²n | **5** *θεασαμένη Π contemplatura* Cass, *θεασομένη* Val. besser | **7** *ἀσεβείας — κατὰ* > s | **8** *οὓς ὑποτάξας* BV²FW *οὗς ὑποτάξαι* nPy *οἷς ὑποτάξαι τούτους* GS | *οὗτος* > GS | *δι' ἀπειλῶν* — **9** *ἐκδώσειν*] *διαπείσειν* GS | *ἀπάτης*] *ἀπὸ τῆς* V² *βασάνων* H, nicht übersetzt von Cass. | **10** *ἀποκακίσας* B | *χαλεπαῖς* B | **13** *αὐτοὺς* nach **14** *κατάκρισιν* ∾ V²F, Cass. wie im Text | *αἴωλον* B | **15** *ἀφιεμένων* B, s. S. 250, 1; 251, 18 | *βοῶν*] *βοώντων* GP | **16** *δυσσεβείᾳ*] *αἱρέσει* H > N, *impietatibus* Cass. | **20** *παραυτὰ* FryW corr. V² *πάραυτα* B, s. S. 258, 19 vor *σκάφους* + *δὴ* H | **22** *κατ' αὐτῶν* > L | **22/23** *ἐπιδεικνύμενον* BV² | **24** *καταστρώσαντας* GS *καταστρατώσαντας* P | **25** *ἐμβαλομένους* B *ἐμβαλλόμενος* P

»τῆς θαλάττης ἐπαφριζούσης καὶ δυσχερῶς οἶμαι δι' αὐτὸ τοῦτο »φερούσης καὶ μὴ βουλομένης, ἵν' οὕτως εἴπω, δι' ὑποδοχῆς τῶν »ἀνδρῶν ἀδίκῳ κοινωνῆσαι κελεύσματι· ἐνέφαινε γὰρ καὶ τοῖς ἀγνοοῦσι »καὶ τοῦ κρίναντος τὴν βάρβαρον προαίρεσιν.

»Ἔστι γοῦν ἀληθῶς εἰπεῖν· »ἐξέστη ὁ οὐρανὸς ἐπὶ τούτῳ«. **24** »ἐστέναξε γὰρ ἡ πόλις ἅπασα καὶ μέχρι δὲ νῦν θρηνεῖ. καὶ οἱ μὲν »ἀλλεπάλλῃ τῇ χειρὶ κτύπον ἐκ στηθῶν μακρὸν ἀπέπεμπον, οἱ δὲ »τὰς χεῖρας ὁμοῦ καὶ τοὺς ὀφθαλμοὺς εἰς οὐρανὸν ἀνέτεινον τὴν βίαν »διαμαρτυρόμενοι, μόνον οὐχὶ λέγοντες· »ἄκουε, οὐρανέ, καὶ ἐνω- »τίζου, γῆ«, ὅτι παράνομα τὰ γιγνόμενα. καὶ ὅλως οἰμωγῆς τὸ πᾶν »ἐπεπλήρωτο, καὶ μέλη καὶ θρῆνος ἦν ἐν πάσῃ τῇ πόλει χορεύων, »καὶ ποταμὸς ἐκ δακρύων σχεδὸν καλύπτων πλημμύρᾳ τὴν θάλατταν »τοῖς ἅπασιν ἄφνω προσεγίνετο. ὅτε τοίνυν ὁ προειρημένος ἐπὶ τοῦ **25** »λιμένος παρὼν τοῖς ἐρέσσουσιν ὑψοῦν τὰ ἱστία προσέταττε, τότε »σύμμικτος οἰμωγὴ παρθένων καὶ γυναικῶν, πρεσβυτῶν καὶ νέων, καὶ »θρῆνοι προσπεπλεγμένοι δάκρυσιν ὀξέσιν, αἱ τῶν ἁπάντων βοαὶ τῆς »ἐπαφριζούσης θαλάσσης † τὸν προσρησσόμενον σωρὸν τῷ κύματι κτύ- »πον ἐκάλυπτον.

»Ἀλλ' οὕτω τῶν προειρημένων ἀποπλεόντων εἰς τὴν Ἰλιούπολιν, **26** »ἔνθα δεισιδαιμονῶν πᾶς, ἔνθα τοῦ διαβόλου τὰ πρὸς ἡδονὴν ἐπιτη- »δεύματα, ἔνθα θηρίων ἐφέστια φοβερά (ὄρη γὰρ κύκλῳ πανταχόθεν »οὐρανῷ προσπελάζοντα), οἱ πάντες λοιπὸν μέσῃ τῇ πόλει, κοινῇ καὶ

1 u. **17** vgl. Judas 13 — **5** Jerem. 2, 12 — **9**/**10** Jes. 1, 2

B V² F HN (n) + GSP (s) = r AL (y) W

1 *θαλάττης* B *θαλάσσης* die übr. HSS, s. Z. 12, 17 u. S. 258, 14 | *δι' αὐτὸ τοῦτο*] *διὰ τοῦτο* ry, nicht übersetzt von Cass. | **3** *καὶ* > V² | **4** *καὶ* > FH, besser? *κρίναντος*] *κρείττονος* B | **5** *ἔστιν οὖν* B | vor *ἐξέστη* + *καὶ* P | **7** *ἀλλεπάλλη* BP *ἀλλ' ἐπαλλη* V²G *ἄλλ' ἐπ' ἄλλη* FNL *ἀλλ' ἐπάλλη* W *ἀλλεν ἐπάλλη* (*ἀλλεν* A^c) A *ἄλλο ἐπ' ἄλλω* S *ἀλλεπαλλήλω* H | *μακρὸν*] *μακρόθεν* B *μακρὰν* P **8** nach *εἰς* + *τὸν* V² + *τοὺς* P | *οὐρανοὺς* r, *coelum* Cass. | **10** *ἡ γῆ* n **11** *ἀπάσῃ* V² | **12** *ἐκ* > P | **13** *προσεγίνετο* FNsW *προσεγείνετο* B *προσεγίγνετο* V² *προσεγένετο* Hy, *currebatque fluvius lacrymarum* Cass. | **14** *ἐρέσσουσιν* V²FW *αἰρέσσουσιν* B *ἐρέταις* ry | **15** *πρεσβυτῶν* BV² *seniorum* Cass. *πρεσβυτέρων* FryW | **16** *θρήνοις πεπλεγμένοι* L | **17**/**18** *τὸν προσρησσόμενον σωρὸν* (*σορὸν* P) *τῷ κύματι* (*κτύματι* F) *κτύπον* BV²FNsyW *τὸν προσρησσόμενον τοῖς κύμασι κτύπον* H, nicht übersetzt von Cass.; *τῶν προσρησσομένων ὀρῶν* (oder *ἀνέμων* s. S. 255, 2) *τοῖς κύμασι κτύπον* Val.; ob *τὸν προσρησσομένων σωρηδὸν* (*σχεδὸν τῶν* statt *σωρηδὸν* vermutet Jülicher) *κυμάτων κτύπον*? | **20** *ἔνθα δεισιδαιμονῶν*] *εἰσὶ δαιμόνων* P | **21** *κύκλῳ*] *ἦν* A | **22** vor *μέσῃ* + *ἐν* A

»ἕκαστος ἰδίᾳ ὀλοφυρόμενοι καὶ στεναγμῶν ἐπιπέμποντες ῥήματα, οὐδὲ »δακρύειν ἐπετρέποντο κελεύσει τοῦ τῆς πόλεως ἐπάρχου Παλλαδίου, »δεισιδαιμονεστάτου καὶ αὐτοῦ τυγχάνοντος. πολλοὶ γὰρ τῶν κλαι»όντων ἁρπαζόμενοι καὶ φυλακιζόμενοι πρότερον, εἶτ᾽ αἰκιζόμενοι, »ξεόμενοι, βασανιζόμενοι, τοῖς Φεννησίοις καὶ Προκονησίοις παρεδί»δοντο μετάλλοις, ἄνθρωποι τῆς ἐκκλησίας δι᾽ ἔνθεον ζῆλον ὑπέρμα»χοι. οἱ πλείους γὰρ ἦσαν μονάζοντες, ἐρημίαν οἰκοῦντες δι᾽ ἄσκη- 27
»σιν· μεθ᾽ ὧν, εἴκοσι καὶ τριῶν τυγχανόντων, μικρὸν ὕστερον ὁ δι»άκονος, ὁ παρὰ τοῦ ἀγαπητοῦ ἡμῶν Δαμάσου τοῦ τῆς Ῥώμης ἐπι»σκόπου κομίσας ἡμῖν ὁμοῦ παρακλητικὰ καὶ κοινωνικὰ γράμματα, »ὀπίσω τὼ χεῖρε δεθεὶς ὑπὸ δημίων δημοσίᾳ ἤγετο, ὥσπερ τις τῶν »κακούργων περιβόητος· ὃς φονέων βασάνοις ἐπέκεινα κοινωνήσας, 28
»λίθοις καὶ μολιβδίσι κατ᾽ αὐτῶν τῶν αὐχένων ἐπὶ πολὺ μαστιζόμενος »ἐπέβαινε σκάφους ἐπὶ θαλάττης παραπλησίως τοῖς ἄλλοις, τοῦ θείου »σταυροῦ τὸ σημεῖον ἐπὶ μετώπου χαρακτηρίσας, οὐ τημελείας οὐ θε»ραπείας τυχών, τοῖς κατὰ Φέννησον παραδοθῆναι μετάλλοις· ἔστι δὲ »ταῦτα τοῦ χαλκοῦ.

»Ἔτι γοῦν βασανίζοντος τοῦ δικαστοῦ ἁπαλὰ παιδαρίων σώματα, 29
»τινὲς παραυτὰ μεμενήκασιν, οὐδ᾽ ὁσίᾳ κοινωνήσαντες, γονέων καὶ »ἀδελφῶν καὶ συγγενῶν καὶ πάσης ὡς ἔπος εἰπεῖν τῆς πόλεως μίαν »αὐτοῖς αἰτούντων δοθῆναι τὴν ὑστάτην ταύτην παράκλησιν. ἀλλ᾽ »ὦ πολλῆς ἀπανθρωπίας τοῦ δικάσαντος, μᾶλλον δὲ τοῦ κατακρί-

B V² F HN (n) + GSP (s) = r AL (y) W

1 *ὀλοφυρόμενοσ* BV²F | **2** *δακρύειν*] *δάκρυσιν* V² | **3** *τυγχάνοντος*] *ὑπάρχοντοσ* B | **4** *πρότερον εἶτ᾽ αἰκιζόμενοι* = Cass. > r | **5** *ξεόμενοι*] *ξαινομενοι* n, *lacerati* Cass. | *βασανιζόμενοι ξεόμενοι* ∼ V² | *φαινισίοισ, ισί* auf Rasur, V² | *προκονησσίοισ* B *προκοννησίοισ* FW *προκοννη*///*σίοισ* V² *προικονησίοισ* NS | **6** nach *ἔνθεον* + *διδασκαλίασ* V², fehlt bei Cass. | **7** *ἐρημίαν* BV² *ἔρημον* FryW | **9** *τοῦ*² > B | **10** *ἡμῖν* = Cass. > A | **11** *ὑπὸ δημίων* = Cass.] *ὑπὸ* A > GS | *δημοσίᾳ* Pm | **12** *ὃς*] *ὡσ* BV², vgl. Cass.: *veluti quidam reus insignis et homicidarum verberibus coaequandus* | *φο*///*νέων* V² | *ἐπέκεινα* > n Cass. | **13** *μολιβέσιν* B *μολιβίσι*///, *ιβίσι* auf Rasur, V² | **14** *θαλάττησ* BFW *θαλάσσησ* V²ry | **15** *ἐπὶ μετώπου τὸ σημεῖον* ∼ FryW | *χαρακτηρήσασ* A | **16** *φέννησσον* B *φέννησ* n | *παραδοθῆναι* BV²FW *παρεδόθη* ry | **17** *τοῦ* > y | **19** nach *τινὲς* + *μὲν* A | *ὁσία* B *ὁσια* V² *ὁσίασ* y *ὁσία ταφῇ* FrW *exsequiis solemnibus* Cass., s. S. 251, 3 und, für den Dativ, Z. 12 u. S. 257, 3 | **22** *ἀπανθρωπίας*] *φιλανθρωπίασ* V², *inhumanitas* Cass. | *δικάσαντοσ* B *δικάζοντοσ* V²FryW *iudicantis* Cass. | **22 f** *κατακρίναντοσ* BV²PA *κατακρίνοντοσ* FnGSLW *praeiudicantis* Cass., vgl. S. 257, 4

»ναντος, οἱ δι᾽ εὐσέβειαν ἀθλήσαντες φονεῦσιν οὐ συνεκρίνοντο, ἅτα- 30
»φοι μένοντες τὰ σώματα· οἱ καλῶς ἀγωνιζόμενοι θηρίοις καὶ πτη-
»νοῖς πρὸς βορὰν ἐρρίπτοντο· οἱ συμπαθῆσαι βεβουλημένοι πατράσι
»διὰ τὴν συνείδησιν τὴν κεφαλὴν ὡς παράνομα δράσαντες ἀπετέμνοντο.
»ποῖος νόμος Ῥωμαίων, ποία δὲ γνώμη βαρβάρων τοὺς πατράσι συμ- 31
»παθοῦντας ἠμύνατο; ποῦ τις τῶν παλαιῶν ποτε ἔδρασέ τι τοιοῦτον
»παράνομον; ἐκέλευσέ ποτε Φαραὼ ἀναιρεῖσθαι τῶν Ἑβραίων τὰ
»ἄρρενα· ἀλλὰ φθόνος καὶ δέος ὑπέβαλε τοῦτο τὸ πρόσταγμα. πόσῳ 32
»τὰ τότε τῶν νῦν φιλανθρωπότερα; πόσῳ ποθεινὰ πρὸς αἵρεσιν
»ἀδικήματος; πόσῳ βελτίονα πρὸς σύγκρισιν ἀνομήματος, κἂν ἀλλήλων
»αἱ κακίαι μὴ χωρίζωνται; ἄπιστα τὰ λεγόμενα, ἀπάνθρωπα καὶ δεινά,
»ὠμὰ καὶ βάρβαρα, ἀνελεῆ καὶ πικρά. ἀλλ᾽ ἐν τούτοις ἐγαυρίων οἱ 33
»τῆς Ἀρείου μανίας ὑπήκοοι χορεύοντες.

»Τῆς δὲ πόλεως πάσης ὀλοφυρομένης, »οὐκ ἦν γὰρ οἰκία ἐν ᾗ οὐκ
»ἦν τεθνηκώς«, ὡς ἐν τῇ Ἐξόδῳ γέγραπται, οὐκ ἠρέμησαν πάλιν οἱ τὴν
»ἕξιν ἀκόρεστον πρὸς παρανομίαν ἀσκήσαντες. ἐπὶ γὰρ τὰ χείρω τὴν προ- 34
»αίρεσιν γυμνάζοντες, μέχρι τῶν τῆς ἐπαρχίας ἐπισκόπων τὸν ἴδιον τῆς
»κακίας ἰὸν ἐπεκτείνοντες, δορυφόρῳ πρὸς ἀδικίας τῷ τῶν λαργιτιόνων
»χρώμενοι κόμητι τῷ προειρημένῳ Μάγνῳ, τοὺς μὲν βουλευτηρίῳ παρέ-
»δοσαν, τοὺς δὲ ἄλλους ὃν ἐβούλοντο τρόπον ἐνήδρευον, πανταχόθεν πρὸς
»ἀσέβειαν τοὺς πάντας θηρεῦσαι βουλόμενοι, οὐδὲν ἀφέντες ἀτόλμητον·
»ἀλλὰ γὰρ καὶ πάντα περιερχόμενοι, κατὰ τὸν ἴδιον τῆς αἱρέσεως πα-
»τέρα διάβολον, »ζητοῦντες τίνα καταπιεῖν«. καθόλου τοίνυν παρὰ 35
»πάντων ἀπορούμενοι, ἕνδεκα τῶν ἀπὸ τῆς Αἰγύπτου τὸν ἀριθμὸν

7/8 Exod. 1, 16 — **14/15** Exod. 12, 30 — **23** I Petr. 5, 8

B V² F HN (n) + GSP (s) = r AL (y) W

1 *οἱ δι᾽ εὐσέβειαν* — **2** *ἀγωνιζόμενοι* = Cass.] *οἱ δὲ εὐσέβειαν ἀγωνιζόμενοι* B | *οὐ* > A | **3** *βορρὰν* NAW | *βεβουλημένοι* BV² *voluerunt* Cass. *βεβουλευμένοι* FryW | **5** *βαρβάρων* = Cass.] *βαρβάρου* B | *τοὺς* BV²HPW *τοῖς* die übr. HSS | **6** *ποτὲ παλαιῶν* ∽ B | *τι τοιοῦτον* BP *τι τοιοῦτον οὕτω* V² *τοιοῦτόν τι* FnGSPmW *τοιοῦτό τι* y | **7** *ἀναιρεθῆναι* B | **8** *ἀλλὰ*] *ἀλλ᾽ ὁ* F | *ὑπέβαλε* nGPyW *protulit* Cass. *ὑπέβαλλε* BFS *ὑπερέβαλε* V² | **10** *πόσῳ* — *ἀνομήματος* > B Cass. | *βελτίονα*] *βέλτιον· ὅσα* V² | **11** *χωρίζονται* BNs **12** *ἀνελεῆ* V²FNsy *ἀνηλεῆ* HW *ἀνειλεῆ* B | **13** *ὑπήκοοι* > GS | **14** *πάσης* FryW *ἁπάσης* B *ὅλης* V² | **14/15** *οὐκ ἦν*] *μὴ* H>N | **16** *ἕξιν*] *λέξιν* P | **18** *λαργητιόνων* nL | **19** vor *Μάγνῳ* + *θεοστυγῆ* GP, fehlt bei Cass. | **20** *ἠβούλοντο* sy | *ἐνίδρευον* B | **23** *ζητοῦντεσ τίνα καταπιεῖν* BV²FNsW *quaerentes — quem devorarent* Cass. *ἐζήτουν τίνα καταπιεῖν* H *ζητοῦσι τίνα καταπίωσι* y | **24** *ἀπορούμενοι*] *ἀποκρουόμενοι* Val., besser?

»ἐπισκόπων, ἄνδρας ἐκ παιδίου μέχρι γήρως τὴν ἔρημον ἀσκήσεως χάριν »οἰκήσαντας καὶ λόγῳ καὶ πράξει τὰς ἡδονὰς ὑποτάξαντας, καὶ τὴν εὐ»σεβῆ πίστιν ἀνεπαισχύντως κηρύττοντας καὶ τὰ τῆς εὐσεβείας γαλουχη»θέντας δόγματα, καὶ νίκην πολλάκις κατὰ δαιμόνων ἐπάραντας ἀρετῇ »δυσωποῦντας τὸν ἀντίπαλον, καὶ τὴν Ἀρειανὴν σοφωτάτῳ λόγῳ »στηλιτεύοντας αἵρεσιν, ὄργανον ὠμότητος τὸν προειρημένον ἔχοντες, »ὑπερορίους πεποιήκασιν ἐν οἰκουμένῃ παρὰ τῶν κυριοκτόνων Ἰου»δαίων πόλει, τοὔνομα Διοκαισαρείᾳ. καὶ ὅμως, ὡς ὁ ᾅδης ἐπὶ θα- **36**
»νάτῳ τῶν ἀδελφῶν οὐκ ἐμπιπλάμενοι, ἅπανταχοῦ γῆς ἐτόλμησαν οἱ »παράφρονες καὶ ἀβέλτεροι τῆς οἰκείας ὠμότητος καταλεῖψαι μνημό»συνα, ἐκ κακῶν ἔχειν τὸ γνώρισμα βουλόμενοι. ἰδοὺ γὰρ πάλιν κλη»ρικοὺς τῆς καθολικῆς ἐκκλησίας ἐν Ἀντιοχείᾳ διατρίβοντας ἅμα σπου»δαίοις μονάζουσι τὰ τῆς δραματουργίας αὐτῶν διαμαρτύρασθαι »προθεμένους, βασιλικὰς ἠχήσαντες κατ᾽ αὐτῶν ἀκοάς, τὴν Νεοκαι»σάρειαν τοῦ Πόντου οἰκεῖν παρεσκεύασαν, οἳ τάχα καὶ τοῦ ζῆν ἐστε»ρήθησαν διὰ τὴν τῶν τόπων ἀγριότητα.«

Τοιαύτας ὁ καιρὸς ἐκεῖνος ἐδέξατο τραγῳδίας, σιγῆς μὲν καὶ **37** [κγ′]
λήθης ἀξίας, ἐν συγγράμμασι δὲ τιθεμένας εἰς ἔλεγχον τῶν κατὰ τοῦ μονογενοῦς κινησάντων τὰς γλώττας· οἳ τὴν τῆς βλασφημίας εἰσδεξά-
μενοι λύτταν, οὐ μόνον τὸν τῶν ὅλων δεσπότην τοξεύειν ἐπιχειροῦ-
σιν, ἀλλὰ καὶ κατὰ τῶν εὐνων αὐτοῦ θεραπόντων τὸν ἄσπονδον ἀνεδέξαντο πόλεμον.

8/9 vgl. Prov. 27, 20

B V² F HN (n) + GSP (s) = r AL (y) W [bis **22**]

2 *οἰκήσαντας*] *ἀσκήσαντασ* V² | *καὶ λόγῳ — ὑποτάξαντας* > A | **3/4** *γαλουχηθέντεσ* SA *γαλουχήσαντέσ* V² | **4** *ἐπάροντασ* B *exercentes* Cass. | **8** *διόσ καισαρεία* B, *Diocaesaream* Cass. | *ὅμως ὡς ὁ ᾅδης*] *ὠμὸσ ὡσ ᾅδησ* V² *velut infernus crudelissimus* Cass. | **9** *ἁπανταχοῦ γῆς* > B Cass. | **13** *μονάζουσι*] *δαμάζουσι* V² | **14** *προσθεμένουσ* V²nP, *volentes* Cass. | *ἠχήσαντες*] *inflammantes* Cass. | **17** am Rand $\overline{\text{κγ}}$ BV²Fn; die Ausgaben, und auch Cass. Nic., schreiben noch die Zeilen 17—22 dem Briefe zu. Der Sinn aber wie das Capitelregister spricht dagegen. Mit *ἀγριότητα* Ende der Anführungszeichen in AL (in den anderen HSS fehlen solche); verwandter Gedanke oben S. 100, 3—5 | **19** *γλώσσασ* V²L | **21** *κατὰ τῶν ἔννων αὐτοῦ θεραπόντων* V² *κατα εννῶν θεραπόντων αὐτοῦ* B *κατὰ τῶν εὐσεβῶν αὐτοῦ θεραπόντων* FryW *contra eius famulos* Cass., vgl. oben S. 90, 10; *τῶν εὐνῶν* (sic) *αὐτοῦ θεραπόντων* Theodoret. in Psal. 135 PG 80, 1921 B; *εὔνους θεράποντας* Gr. aff. cur. S. 205, 3; 211, 22 (Raeder)

Κατ᾽ ἐκεῖνον τὸν χρόνον τῶν Ἰσμαηλιτῶν τὰ φῦλα τὰς πελαζού- **23**
σας τῆς Ῥωμαίων ἡγεμονίας ἐληΐζετο χώρας. Μαβία δὲ τούτων ἡγεῖτο,
οὐχ ὁρῶσα μὲν ἣν ἔλαχε φύσιν, ἀνδρείῳ δὲ φρονήματι κεχρημένη.
αὕτη μετὰ παμπόλλας συμπλοκὰς σπεισαμένη, εἶτα τῆς θεογνωσίας εἰσδε-
ξαμένη τὸ φῶς, ἠτήσεν ἀρχιερέα προβληθῆναι τῷ ἔθνει Μωϋσῆν τινα
ἐν μεθορίῳ τῆς Αἰγύπτου καὶ Παλαιστίνης ἐσκηνημένον. ταύτην δεξά- **2**
μενος ὁ Βάλης τὴν αἴτησιν, εἰς τὴν Ἀλεξάνδρειαν ἀπαχθῆναι τὸν
θεῖον ἄνδρα προσέταξε, κἀκεῖθεν αὐτὸν τὴν ἀρχιερατικὴν ὑποδέ-
ξασθαι χάριν· ἐκείνη γὰρ μᾶλλον ἐπέλαζεν. ἐπειδὴ δὲ ἀπήχθη καὶ
τὸν Λούκιον εἶδεν ἐπιθεῖναί οἱ τὴν χεῖρα πειρώμενον· »μὴ γένοιτο«,
ἔφη, »παρὰ τῆς σῆς με χειροτονηθῆναι χειρός· οὐκ ἐπιφοιτᾷ γὰρ σοῦ **3**
καλοῦντος ἡ χάρις τοῦ πνεύματος«. ὁ δὲ Λούκιος· »πόθεν ταῦτα«,
ἔφη, »τοπάζων λέγεις;« ὁ δέ· »οὐ τοπάζω«, εἶπεν, »ἀλλ᾽ οἶδα σαφῶς·
τοῖς τε γὰρ ἀποστολικοῖς δόγμασι διαμάχῃ καὶ ἀντίπαλα φθέγγῃ, καὶ
τοῖς βλασφήμοις λόγοις συμβαίνει τὰ παρανόμως γιγνόμενα. τίς γὰρ **4**
διὰ σὲ δυσσεβὴς τοῖς ἐκκλησιαστικοῖς συλλόγοις οὐκ ἐπεκώμασεν; τίς
τῶν ἀξιεπαίνων ἀνδρῶν οὐκ ἐλήλαται; ποίαν θηριωδίαν βαρβαρικὴν
οὐκ ἀπέκρυψε τὰ παρὰ σοῦ καθ᾽ ἑκάστην ἡμέραν τολμώμενα;« ταῦτα
ὁ μὲν θαρραλέως ἔλεγεν, ὁ δὲ φονῶν ἤκουε· καὶ σφαγῆς μὲν ἐφίετο,
ἐδεδίει δὲ μὴ πάλιν ἐξάψῃ τὸν διαπαυσάμενον πόλεμον. οὗ δὴ χάριν **5**
ἑτέροις αὐτὸν ἐπισκόποις προσαχθῆναι προσέταξεν οὕς ἐκεῖνος ἐξήτησε. μετὰ τῆσδε τῆς ἀξιαγάστου πίστεως τὴν ἀρχιερατικὴν εἰσδε-
ξάμενος χάριν, πρὸς τοὺς αἰτήσαντας παρεγένετο καὶ ταῖς ἀποστο-

1—S. 262, 2 vgl. Rufin. H. E. XI 6 [Georg. Mon. 555]. Sozomen. VI 38, 1 u. 5—9. Socrat. IV 36

B V² F HN (n) + GSP (s) = r AL (y)

1 κγ am Rand Py | *τὰσ φυλὰσ* V² | **2** *τῆς*] *τῶν* F | *τῆσ — ἡγεμονίασ* in *τῆι — ἡγεμονίαι* corr. Aᶜ | *βαβία* n | **3** *κεχρημένη*] *κεκτημένη* V² | **4** nach *αὕτη* + *δὲ* V² | *παμπόλλασ* BV² *πολλὰσ* Fry | *εἶτα* > B | **5** *μωϋσήν* BV², vgl. *Μωϋσῆς* Rufin. Socr., *μωσῆν* Fry *Μωσῆς* Sozom. | **6** *ἐσκηνημένον* B *ἐσκηνωμένον* Fry *ἠσκημένον* V²; vgl. S. 272, 6 | **7** *οὐάλησ* r | *ἀπαχθῆναι* BFry *ἀχθῆναι* V² | **8** *ἱερατικὴν* B, vgl. Z. 22 | **8/9** *δέξασθαι* P | **10** *ἐπιθεῖναί*] *ἐπιθῆναι* V²FG *ἐπιτιθηναι* B | *οἱ* BV² *αὐτῶ* Fry | **11** *ἔφη*] *φησιν* B *ἔφησε* n | **13** *ἔφη* vor **12** *πόθεν* ∾ S > G | **13** *τοπάζω εἶπεν* BV² *τοπάζων εἶπον* Fry | **14** *γὰρ* > A | *διαμάχῃ*] *ἀντιμάχῃ* n | **16** *ἐπεκώμασεν* BV² *ἐκώμασε* Fry | **18** *ἡμέραν* > P | **19** *θαρσαλέωσ* V²GS | *φονῶν*] *φωνῶν* FP *φόνων* V² *φονέων* B | *μὲν*² > F | *ἐφίετο* Gy *ἠφίετο* BFnSP *ἠκούετο* V² | **20** *ἐξάψαι* B | *διαπαυσάμενον* B *παυσάμενον* V²Fry | **21** nach *αὐτὸν* + *πάλιν* V² | *προαχθῆναι* V²Fny | **22** *τῆσδε τῆς*] *δὲ τῆσ* sy

λικαῖς διδασκαλίαις τε καὶ θαυματουργίαις πρὸς τὴν ἀλήθειαν ἐποδήγησεν. ἐν μὲν οὖν τῇ Ἀλεξανδρείᾳ τοιαῦτα ὑπό τε Λουκίου ἐτολ- **6**
μήθη καὶ ὑπὸ τῆς θείας προμηθείας ᾠκονομήθη.

Ἐν δὲ Κωνσταντινουπόλει σκάφος εὐσεβῶν πρεσβυτέρων ἐμπλή- **24** [κδ′]
σαντες οἱ τῆς ἀνοσίου συμμορίας ἀφῆκαν ἀνερμάτιστον εἰς τὸ πέλαγος· εἶτα, τινὰς τῶν ὁμογνωμόνων εἰς πορθμεῖον ἕτερον ἐμβιβάσαντες, πῦρ ἐπαφεῖναι τῷ σκάφει τῶν πρεσβυτέρων ἐκέλευσαν. οὗ γενομένου, πυρὶ καὶ θαλάττῃ μαχόμενοι τέλος τῷ βυθῷ παρεπέμφθησαν καὶ τοῦ μαρτυρίου τὸν στέφανον ἀνεδήσαντο.

Ἐν Ἀντιοχείᾳ δὲ ὁ Βάλης χρόνον διατρίψας ὅτι μάλιστα πλεῖστον, **2** [κε′]
ἅπασι μὲν ἄδειαν ἐδεδώκει καὶ Ἕλλησι καὶ Ἰουδαίοις καὶ τοῖς ἄλλοις ὅσοι τὸ Χριστιανῶν ὄνομα περικείμενοι τἀναντία ταῖς εὐαγγελικαῖς διδασκαλίαις κηρύττουσι. καὶ γὰρ τὰς Ἑλληνικὰς τελετὰς ἐπετέλουν **3**
οἱ τῇ πλάνῃ δεδουλωμένοι, καὶ τὴν μετὰ Ἰουλιανὸν ὑπὸ Ἰοβιανοῦ σβεσθεῖσαν ἐξαπάτην ἀνθῆσαι πάλιν συνεχώρησεν οὗτος· καὶ τὰ Διάσια καὶ τὰ Διονύσια καὶ τὰ τῆς Δήμητρος ὄργια οὐκ ἐν παραβύστῳ ἐπλήρουν ὡς ἐν εὐσεβεῖ βασιλείᾳ, ἀλλὰ διὰ μέσης τῆς ἀγορᾶς βακχεύοντες ἔτρεχον. μόνοις δὲ πολέμιος ἦν τοῖς τὴν ἀποστολικὴν διδα- **4**
σκαλίαν πρεσβεύουσι. πρῶτον μὲν γὰρ αὐτοὺς τῶν ἱερῶν ἐξήλασεν

4—9 vgl. Socrat. IV 16, 4—6. Sozomen. VI 14, 3—4. Gregor. Nazianz. Orat. XLIII 46 — **11—19** vgl. unt. V 21, 3—4 — **18**—S. 264, 3 Theodoret. Relig. Histor. 8 PG 82, 1369 D ff. 2. 1317 BC — **19f** vgl. Socrat. IV 2, 6. 17, 1—2. Sozomen. VI 18, 1

* **4—9** Cass. VIII 2 — **10**—S. 264, 14 Niceph. H. E. XI 24. Cass. VIII 3 — **11—19** Exc. Trip. [Theophan. 58, 34. Polydeukes 404, 16. Exc. Bar. F. 220r] — **19**—S. 263, 12 Michael Syr. VII 7 S. 302

B V² F HN (n) + GSP (s) = r AL (y)

2 τῇ > V²nGy | ὑπό τε Λουκίου τοιαῦτα ~ V² | **4** $\overline{κδ}$ am Rand HSS | δὲ] δὲ τῇ F | σκάφους B | **5** ἀτερμάτιστον F | **5/6** τὸ πέλαγος] τὴν θάλασσαν V², *pelagus* Cass. | **6** πόρθμιον B | συμβιβάσαντες V² | **7** τῇ σκάφη L | **10** $\overline{κε}$ am Rand HSS | ὁ > BV² | οὐάλης Bs, von zweiter Hand V² | χρόνον vor *Βάλης* ~ V², Cass. wie im Text | **11** ἅπασαν F, *omnibus* Cass. | ἄδειαν > B, *licentiam* Cass. | δεδώκει B, *dedit* Cass., vgl. δέδωκε Exc. Trip. | **14** οἱ τῇ πλάνῃ δεδουλωμένοι vor **13** τὰς Ἑλληνικὰς ~ V² | ἰωβιανοῦ PA ἰουβιανοῦ GS | **15** ἀπάτην V² | **15/16** τὰ Διάσια καὶ = Cass. > V² | **16** δημήτρας FnP | **17** ὡς ἐν εὐσεβεῖ βασιλείᾳ = Cass. > n | nach ἀγορᾶς + καὶ V², fehlt bei Cass. | **19** αὐτοῖς V²

οἴκων· αὐτοῖς γὰρ Ἰοβιανὸς ὁ πανεύφημος ἐδεδώκει καὶ τὴν νεόδμητον ἐκκλησίαν. ἐπειδὴ δὲ παρὰ τὴν τοῦ ὄρους συνιόντες κρηπίδα ὕμνοις τε τὸν δεσπότην ἐγέραιρον καὶ τῶν θείων λογίων ἀπήλαυον, τῶν ἐναντίων τοῦ ἀέρος ἀνεχόμενοι προσβολῶν καὶ ποτὲ μὲν ὑετοῦ καὶ νιφετοῦ καὶ κρυμοῦ, ποτὲ δὲ σφοδροτάτου φλογμοῦ, οὐδὲ τῆς ἐπιπόνου ταύτης ὠφελείας αὐτοὺς μεταλαχεῖν συνεχώρησεν, ἀλλ' ἀποστείλας στρατιώτας ἐσκέδασεν.

Ἀλλὰ Φλαβιανὸς καὶ Διόδωρος, καθάπερ τινὲς πρόβολοι, τὰ προσβάλλοντα διέλυον κύματα. Μελετίου γὰρ τοῦ σφετέρου ποιμένος ἑκὰς διάγειν ἠναγκασμένου, οὗτοι τῆς ποίμνης ἐπεμελοῦντο, τοῖς μὲν λύκοις ἀντιτάττοντες τὴν οἰκείαν ἀνδρείαν τε καὶ σοφίαν, τοῖς δὲ προβάτοις προσφέροντες τὴν ἁρμόττουσαν θεραπείαν. ἐκ δὴ οὖν τῆς ὑπωρείας ἐξελαθέντες παρὰ τὰς ὄχθας τοῦ γείτονος ποταμοῦ τὰ πρόβατα ἔνεμον. οὐ γὰρ ἠνέσχοντο κατὰ τοὺς ἐν Βαβυλῶνι δορυαλώτους »κρεμάσαι τὰ ὄργανα«, ἀλλ' ὕμνουν τὸν ποιητήν τε καὶ εὐεργέτην »ἐν παντὶ τόπῳ τῆς δεσποτείας αὐτοῦ«. ἀλλ' οὐδὲ τὴν ἐν τῷδε τῷ χωρίῳ σύνοδον ἤνεγκε τῶν εὐσεβῶν ὁ μόνων τῶν τὸν δεσπότην Χριστὸν θεολογούντων πολέμιος. πάλιν δὴ οὖν τῶν θαυμασίων ἐκείνων ὑποποιμένων ἡ ξυνωρίς, εἰς τὸ πολεμικὸν γυμνάσιον τὰ θεῖα πρόβατα συναγείρουσα, τὴν πνευματικὴν ἐπεδείκνυ πόαν. καὶ Διό-

14/15 Psal. 136, 1—2 — **16** Psal. 102, 22

B V² F HN (n) + GSP (s) = r AL (y)

1 *ἰωβιανὸσ* A *ἰουβιανὸσ* GS | *ἐκδεδώκει* GS, *dederat* Cass. | *καὶ τὴν* > F | *καὶ* > P | **2** *συνεισιόντεσ* B | **6** *μεταλαχεῖν αὐτοὺς* ~ ry | **8** kein neues Capitel in den HSS | *ἀλλὰ φλαβιανὸσ* BV² *φλαβιανὸσ δὲ* Fry Nic. *tunc Flavianus* Cass. | **10** *ἑκὰσ* Fry *ἐκεῖσε* V² *οἶκοι* B *πόρρω* Pm *seorsum* Cass., vgl. Relig. Hist.: *τὴν ὑπερορίαν οἰκεῖν κατηνάγκαζε*, »in Verbannung« Michael | *μὲν*] *δὲ* V² | **12** *προφέροντεσ* GS | **13** *ἐξελασθέντεσ* S *ἐλελασθέντεσ* P | *γειτονεύοντοσ* V², *vicini* Cass. | **14** *δοριαλώτουσ* BP *δωριαλώτουσ* V² | nach *δορυαλώτους* + *ἐπὶ ταῖσ ἰτέαισ* H Relig. Hist. Psal. + *παρὰ τὰς ἰτέας* Nic., fehlt bei Cass. | **17** *τῶν εὐσεβῶν ἤνεγκεν* ~ V², *concilium piorum quietum esse permisit* Cass. | **17/18** *ὁ μόνων τῶν τὸν δεσπότην χν θεολογούντων πολέμιοσ* BV²F *νομέων τῶν τὸν δεσπότην θεολογούντων ὁ πολέμιοσ* ry, vgl. Cod. Nic.: *ὁ τῶν ὀρθοδόξων μόνων πολέμιοσ*, u. oben S. 262, 18f, unten 270, 22 | **19** *ὑποποιμένων*, *ὑπὸ* expung., V² *ὑποποιμένων* Cod. Nic. *illorum mirabilium pastoris magni discipulorum* Cass. *ποιμένων* die übr. HSS, vgl. *ὑποποιμαίνοντας* Relig. Hist. | **20** *ἐπεδείκνυ* B *ἐπεδείκνυον* Nic. *ἀπεδείκνυ* V² *ὑπεδείκνυ* Fry *ministrabat* Cass.

δωρος μὲν ὁ σοφώτατός τε καὶ ἀνδρειότατος, οἷά τις ποταμὸς διειδής τε καὶ μέγας, τοῖς μὲν οἰκείοις τὴν ἀρδείαν προσέφερε, τὰς δὲ τῶν ἐναντίων βλασφημίας ἐπέκλυζε. καὶ τὴν μὲν τοῦ γένους οὐκ ἐλογί- 4
ζετο περιφάνειαν, τὴν δὲ ὑπὲρ τῆς πίστεως ταλαιπωρίαν ἀσπασίως ὑπέμενεν. Φλαβιανὸς δὲ ὁ ἄριστος ἐξ εὐπατριδῶν μὲν καὶ αὐτὸς ἐπεφύκει, εὐγένειαν δὲ τὴν εὐσέβειαν ὑπελάμβανε μόνην, καὶ οἷόν τις παιδοτρίβης τὸν μέγαν Διόδωρον καθάπερ τινὰ πένταθλον ἤλειφεν ἀθλητήν. κατ' ἐκεῖνον γὰρ τὸν καιρὸν ἐν μὲν τοῖς ἐκκλησιαστικοῖς οὐκ ἐδημηγόρει συλλόγοις, τοῖς δὲ τοῦτο δρῶσι πολλὴν παρεῖχεν ἀφθονίαν ἐνθυμημάτων τε καὶ γραφικῶν νοημάτων. καὶ οἱ μὲν ἕτεινον 5
κατὰ τῆς Ἀρείου βλασφημίας τὰ τόξα, οὗτος δὲ καθάπερ ἔκ τινος ὁπλοθήκης, ἐκ τῆς διανοίας τὰ βέλη προσέφερεν· οἴκοι μέντοι καὶ δημοσίᾳ διαλεγόμενος, τῶν αἱρετικῶν τὰς ἄρκυς ῥᾳδίως διέσπα καὶ ἀράχνια ἐδείκνυ τὰ ἐκείνων προβλήματα.

Συνηγωνίζετο δὲ τούτοις καὶ Ἀφραάτης ἐκεῖνος, οὗ τὴν πολι- [κς]
τείαν ἐν τῇ Φιλοθέῳ συνεγράψαμεν Ἱστορίᾳ. τὴν γὰρ τῶν προβάτων 6
σωτηρίαν προτιμήσας τῆς ἡσυχίας, τὴν ἀσκητικὴν καταλιμπάνων καλύβην τῶν ποιμενικῶν ἱδρώτων ἠνείχετο. ὁπόσον μὲν οὖν οὗτος ἀρετῆς συνέλεξε πλοῦτον, περιττὸν ἡγοῦμαι νῦν λέγειν, ἐν ἑτέρᾳ πραγματείᾳ ταῦτα συγγεγραφώς· ἓν δὲ μόνον τῶν ἐκείνου διηγήσομαι μάλα προσῆκον τῇδε τῇ ἱστορίᾳ.

Βορρᾶθεν μὲν Ὀρόντης ὁ ποταμὸς παραρρεῖ τὰ βασίλεια, ἐκ δὲ 26
μεσημβρίας στοὰ μεγίστη διόροφος τῷ τῆς πόλεως ἐπῳκοδόμηται

15—S. 266, 21 Theodoret. Relig. Histor. 8 PG 82, 1372 D—1376 D

* **15**—S. 266, 19 Cass. VIII 4 — **15**—S. 268, 6 Niceph. H. E. XI 25 — **16**—S. 266, 17 Michael Syr. VII 7 S. 302

B V² F HN (n) + GSP (s) = r AL (y)

1 *μὲν*] *δὲ* B, *quidem* Cass. | *τε* > B | *τις*] *δὴ* B, *quidam* Cass. | *διειδής* = *perspicuus* Cass.] *διηδέστατος* B, *διειδέστατος* Cod. Nic. | **2** *ἀρδείαν*] *ἀνδείαν* H *ἀνδρίαν* N *ἀνδρείαν* BFS, vgl. *oves quidem proprias irrigabat* Cass., und unten V 19, 5 | *προέφερεν* V² | **5** *ὑπέμενεν* BV²S *sustinebat* Cass. *ὑπέμεινε* die übr. HSS | *μὲν* > GS | **7** *τὸν μέγαν Διόδωρον*] *διόδωρος ὁ μέγας* GS | *ἤλειφεν*] *εἴληφεν* BV²NGy, *ungebat* Cass. | **8** *γὰρ*] *δὲ* V² > F, *namque* Cass. | **10** *τε* > n | **12** *ὁπλοθήκης* B *βελοθήκης* Fry Nic. *ἰοδόκης* V² | *ἐκ* nur in B, *suae mentis sagittas congruas* Cass. | *προέφερεν* n, *offerebat* Cass. | **13** *ἀραχνίας* Fry | **15** κς am Rand HSS | **17** *καταλιμπάνων* BV²F *deserens* Cass. *καταλιπὼν* rA u., nach *καλύβην* ∽, L | **18** *οὖν* > B | **19** *ἐν* > F | **22** *βόρραθεν* B | *παραρεῖ* B *παραρέει* V² | **23** *διόροφος* BV² *διώροφος* Fry Cod. Nic. | *ἐπωκοδομεῖται* B

περιβόλῳ, πύργους ὑψηλοὺς ἑκατέρωθεν ἔχουσα. μεταξὺ δὲ τῶν τε 2
βασιλείων καὶ τοῦ ποταμοῦ λεωφόρος ἐστὶν ὑποδεχομένη τοὺς ἐκ
τῶν τῇδε πυλῶν ἐκ τοῦ ἄστεως ἐξιόντας καὶ εἰς τοὺς προαστείους
ἀγροὺς παραπέμπουσα. διὰ ταύτης Ἀφραάτης παριὼν ὁ θεσπέσιος
εἰς τὸ πολεμικὸν ἀπήει γυμνάσιον, τῶν θείων προβάτων τὴν προσή- 3
κουσαν ποιησόμενος θεραπείαν. τοῦτον ἄνωθεν ἐκ τῆς βασιλείου
στοᾶς διακύπτων ὁ βασιλεὺς εἶδε σισύραν τε ἀναβεβλημένον καὶ ἐν
γήρᾳ βαθεῖ συντόνως βαδίζοντα· καί τινος εἰρηκότος ὡς Ἀφραάτης
οὗτος, οὗ τὸ τῆς πόλεως ἐξήρτηται πλῆθος, ἔφη πρὸς αὐτόν· »ποῦ
σὺ βαδίζεις, εἰπέ«. ὁ δὲ σοφῶς ἅμα καὶ προσφόρως· »ὑπὲρ τῆς σῆς«,
ἔφη, »προσευξόμενος βασιλείας«. »ἀλλ᾽ οἴκοι σε μένειν ἐχρῆν«, ὁ βα-
σιλεὺς ἔφη, »καὶ ἔνδον κατὰ τὸν μοναχικὸν προσεύχεσθαι νόμον«. ὁ 4
δὲ θεῖος ἐκεῖνος ἀνήρ· »εὖ μάλα«, ἔφη, »λέγεις, ὦ βασιλεῦ· τοῦτό
με δρᾶν ἔδει. καὶ τοῦτο δρῶν μέχρι καὶ νῦν διετέλεσα, ἕως εἰρήνης
ἀπήλαυε τοῦ σωτῆρος τὰ πρόβατα. ἐπειδὴ δὲ πολὺν ὑπομεμένηκε
θόρυβον καὶ πολὺς ἐπικρέμαται κίνδυνος μὴ θηριάλωτα γένηται, πάντα
κινεῖν πόρον ἀνάγκη καὶ διασώζειν τὰ θρέμματα. εἰπὲ γάρ μοι«, 5
ἔφη, »ὦ βασιλεῦ, εἰ κόρη τις ἐτύγχανον ἔνδον ἐν θαλάμῳ καθημένη
καὶ ταλασίας ἐπιμελουμένη, εἶτα ἐθεασάμην ἐμπεσοῦσαν φλόγα καὶ
τὴν πατρῴαν οἰκίαν νεμομένην, τί με δρᾶσαι προσῆκεν εἰπέ μοι; ἔν-

* **10**—S. 266, 16 Theophan. 62, 28. Polydeukes 404, 20. Exc. Bar. F 220r

B V² F HN (n) + GSP (s) = r AL (y)

1 τε > F | **2** ἐκ] διὰ H | **3** ἄστεος V²nPy | **4** παριὼν Ἀφραάτης ∾ V² | **7** σισύραν B | **8** συντόνως BV²P συντόμως FnGSy, *celeriter* Cass. | **9** οὗ] ὧ B | ἐξῆρται F | πρὸς αὐτὸν ἔφη ∾ B, *dicit ei* Cass. | ποῦ BV²nSP Cod. Nic. *ubi* Cass. ποῖ FGy | **10** σὺ > B Cass. Cod. Nic. | **11** ἐχρῆν B Cod. Nic. *oportebat* Cass. χρὴ die übr. HSS, vgl. ἔδει Z. 14 | **12** μοναδικὸν B | **14** με δρᾶν = *me facere* Cass.] μὲν δρᾶν V² μαιδραναι B | **15** ὑπομένει P | **17** θρέμματα] πρόβατα V² | **18** ἐτύγχανον BV²HG Relig. Hist. *essem* Cass. ἐτύγχανον ὤν FNPy Cod. Nic. ἐτύγχανεν οὖσα S | θαλάμῃ P | καθημένη *II residens* Cass. κρυπτομένη Relig. Hist. κεκρυμμένη Cod. Nic. | **19** καὶ ταλασίας ἐπιμελουμένη V² *et ad lanam vacans* Cass. καὶ τῆς οἰκίας ἐπιμελουμένη Fry καὶ ἡ ἐν τοῖς ταλάροις ἐργαζομένη κόκκινον ἢ ἔριον ταλασίας ἐπιμελουμένη B, vgl. Cod. Nic.: καὶ πρὸς ἄτρακτον ἐρείδουσα χεῖρας, καὶ τῆς οἰκείας ταλασίας καθεστῶσα εἰς ἐπιμέλειαν, wohl späterer Zusatz, da er in der Relig. Hist. wie bei Cass. u. Michael fehlt | εἶτα (εἶτ᾽ H) ἐθεασάμην V²H ἔπιτα ἐθεασάμην B ἐθεασάμην δὲ Relig. Hist. *videremque* Cass. εἶτα . . . ἑώρων Cod. Nic. εἶτα θεασαμένη FNsy | ἐκπεσοῦσαν BP | **20** νεμομένην BV² ἐμπιπραμένην Fry | τί με — S. 266, 1 ἐμπιπραμένην > GS | με > nPL, *me* Cass. | προσήκειν NPy, *congrueret* Cass.

δον καθῆσθαι καὶ τὴν οἰκίαν ἐμπιπραμένην περιορᾶν καὶ τῆς φλογὸς προσμένειν τὴν ἐμβολήν, ἢ τῷ θαλάμῳ χαίρειν εἰποῦσαν διαθέειν ἄνω καὶ κάτω καὶ ὑδροφορεῖν καὶ σβεννύναι τὴν φλόγα; δῆλον ὅτι τοῦτο ἐρεῖς· τοῦτο γὰρ κόρης ἀγχίνου τε καὶ φρενήρους. τοῦτο δρῶ 6
νῦν, ὦ βασιλεῦ. σοῦ γὰρ εἰς τὴν πατρῴαν ἡμῶν οἰκίαν ἐμβαλόντος τὴν φλόγα, περιθέομεν κατασβέσαι ταύτην πειρώμενοι«. ταῦτα ὁ μὲν εἶπεν, ὁ δὲ σιγήσας ἠπείλησεν. εἷς δὲ τῶν περὶ τὸν βασιλικὸν κοιτῶνα, θρασύτερον ἀπειλήσας τῷ θείῳ ἀνδρί, τοιόνδε τι πέπονθε.

Τοῦ βαλανείου πεπιστευμένος τὴν ἐπιμέλειαν, εὐθὺς μετὰ τούσδε 7
τοὺς λόγους κατῆλθε τοῦτο εὐτρεπίσων τῷ βασιλεῖ· εἴσω δὲ γενόμενος καὶ τὰς φρένας πληγεὶς εἰς τὸ θερμότατον ὕδωρ τὸ ἄκρατον κατελήλυθέ τε καὶ τετελεύτηκεν. καθῆστο δὲ ὁ βασιλεὺς προσμένων ἐκεῖνον ὥστε 8
οἱ μηνῦσαι τὴν εἴσοδον. ἐπειδὴ δὲ πολὺς ἀνηλώθη καιρός, ἀπέστειλεν ἑτέρους ὁ βασιλεὺς τῆς μελλήσεως τὴν αἰτίαν μηνύσοντας. οἱ δὲ εἴσω γενόμενοι καὶ πάντα περισκοπήσαντες εὗρον ἐκεῖνον ἐν τῷ ἀκράτῳ τεθνεῶτα καὶ διαλυθέντα θερμῷ. καὶ τούτου δήλου γενο- 9
μένου τῷ βασιλεῖ, ἔγνωσαν μὲν τῆς Ἀφραάτου προσευχῆς τὴν ἰσχύν, τῶν δογμάτων δὲ τῶν δυσσεβῶν οὐκ ἐξέστησαν, ἀλλ᾽ ἐσκλήρυναν κατὰ τὸν Φαραὼ τὴν καρδίαν αὐτῶν· καὶ τὴν τοῦ ἵππου δὲ θαυμα-
τουργίαν μεμαθηκώς, ὁ ἐμβρόντητος μεμένηκε κατὰ τῆς εὐσεβείας λυττῶν.

18/19 Exod. 7, 22

* **4—16** Cod. syriac. Br. Mus. Add. 17, 147 F 142v (= **Σ**)

B V² F HN (n) + GSP (s) = r AL (y)

1 *ἐμπιμπραμένην* A | **2** *ἐκβολήν* BF | *διαθεῖν* V² | **5** *οἰκίαν ἡμῶν* ~ B *domum nostram* Cass. | **6** *περιθέωμεν* B *περιθέωμεν* P | **7** *εἶπεν* BV²**Σ** *εἰπών* Fry, *haec illo dicente* Cass. | *σιγήσας ἠπείλησεν* V² *ἀπειλήσας ἐσίγησεν* BFry *interminatus est quidem sed tacuit* Cass. *interminatus est et tacuit* **Σ**; »*ἀπειλήσας* delendum; neque enim Valens quidquam minatus est in Philotheo. potius scribendum *σιγήσας ἀπῆλθεν* Val.«, unrichtig: nur durch sein Schweigen drohte er, *εἷς δὲ . . . θρασύτερον ἀπειλήσας* | **7/8** *βασιλικὸν κοιτῶνα* = Nic. Cass. **Σ**] *βασιλέα* B | **9** nach *εὐθὺς* + *δὲ* P | **11** *πληγεὶς* = Theophan. Polyd.] *βλαβεὶς* V², *mente perculsus* Cass. *πηρωθεὶς* Rel. Hist. | **12** *τε* > B | *καθῆστο* BV² *ἐκάθητο* Fry | *ἐκεῖνον προσμένων* ~ Fry | **13** *οἱ* BV² *αὐτῷ* Fry | *ἀναλώθη* B | **14** *ὁ βασιλεὺς ἑτέρους* ~ V² | *μελήσεως* y | **16** *θερμῷ* vor *τεθνεῶτα* ~ B Cass. | *δήλου τούτου* ~ n | **17** *μὲν* BV² > Fry | **18** *ἐσκληρύνοντο* F | **19** *τὴν καρδίαν αὐτῶν κατὰ τὸν Φαραώ* ~ GS | *ἵππου δὲ* B *ἵπου δὲ* V² *ὁσίου* Fry, s. Relig. Hist. 1376 | **20** *μεμαθηκώς* BV²F *μαθών* ry

Κατὰ τοῦτον δὲ τὸν καιρὸν καὶ Ἰουλιανὸς ἐκεῖνος ὁ πολυύμνητος, **27** [κζ']
οὗ καὶ πρόσθεν ἐμνήσθην, καταλιπεῖν μὲν τὴν ἔρημον, εἰς δὲ τὴν Ἀντιόχειαν εἰσελθεῖν ἠναγκάσθη. ἐπειδὴ γὰρ οἱ τῷ ψεύδει συντεθραμμένοι καὶ τὰς συκοφαντίας μάλα ῥᾳδίως ὑφαίνοντες, οἱ τὰ Ἀρείου λέγω φρονοῦντες, τὸν μέγαν ἄνδρα ἐκεῖνον ἰσχυρίζοντο τῆς σφετέρας εἶναι συμμορίας, ἀπέστειλαν οἱ τῆς ἀληθείας φωστῆρες, Φλαβιανὸς καὶ Διόδωρος καὶ Ἀφραάτης, ἄνδρα ἀρετῆς ἀθλητήν, Ἀκάκιόν φημι τὸν χρόνῳ ὕστερον μάλα σοφῶς τὴν Βεροιαίων ἐκκλησίαν ἰθύναντα, πρὸς τὸν πανεύφημον ἄνδρα ἐκεῖνον, ἀντιβολοῦντες πολλὰς ἀνθρώπων μυριάδας οἰκτεῖραι, καὶ τῶν μὲν ἐναντίων τὴν ψευδολογίαν ἐλέγξαι, τὰ δὲ τῆς ἀληθείας βεβαιῶσαι κηρύγματα. καὶ ὅσα μὲν οὗτος **2**
καὶ ἀπιὼν καὶ ἐπανιὼν καὶ ἐν αὐτῇ δὲ τῇ μεγίστῃ πόλει τεθαυματούργηκεν, ἐν τῇ Φιλοθέῳ ἡμῖν συγγέγραπται Ἱστορίᾳ, ᾗ ῥᾴδιον ἐντυχεῖν τοὺς ταῦτα βουλομένους μαθεῖν. ὅτι δὲ ἅπαν τὸ τῆς πόλεως **3**
πλῆθος εἰς τὸν ἡμέτερον συνήθροισε σύλλογον, οὐδένα ἐνδοιάζειν οἶμαι τῶν τὴν ἀνθρωπείαν φύσιν ἐπεσκεμμένων· πέφυκε γὰρ τὰ παράδοξα ἕλκειν ἅπαντας ὡς ἐπίπαν πρὸς ἑαυτά. ὅτι δὲ καὶ μεγάλα **4**
εἰργάσατο θαύματα, μαρτυροῦσι καὶ οἱ τῆς ἀληθείας πολέμιοι.

Τοῦτο δὲ καὶ ἐν Ἀλεξανδρείᾳ πρὸ τοῦδε τοῦ χρόνου πεποίηκεν [κη']
ἐν τοῖς Κωνσταντίου καιροῖς Ἀντώνιος ἐκεῖνος ὁ πάνυ. καταλιπὼν

1—18 Theodoret. Relig. Histor. 2 PG 82, 1317 C f — **2** ob. S. 202, 25 f — **16/17** vgl. S. Ephraem Hymn. I De Juliano Saba ed. Lamy t. III p. 840 — **19**—S. 268, 3 vgl. Athanas. Vita S. Antonii 69

* **1**—S. 268, 3 Exc. Trip. [Polydeukes 404, 25. Exc. Bar. F 220r. Theophan. 62, 26]. Michael Syr. VII 7 S. 303. — **1**—S. 268, 6 Cass. VIII 5

B V² F HN (n) + GSP (s) = r AL (y)

1 $\overline{κζ}$ am Rand HSS | *δὲ*] *γε* F | *πανύμνητος* V² | **2** *κατέλειπεν* B | **5** *ἰσχυρίζοντο* BV² *δυσχυρίζοντο* Fry | *σφετέρας* BV² *αὐτῶν* Fry | **6** *εἶναι* > F | **7** *καὶ*¹] *τε καὶ* n | *Ἀκάκιόν*: *οὗτός ἐστιν ἀκάκιος ὁ εἰσ ὕστερον ἐχθρὸσ καὶ πολέμιος γεγονὼσ τοῦ τιμίου πρσ ἡμῶν ιῶ τοῦ χρυσοστόμου* am Rand A | **8** *σαφῶς* BS | *βεροιαίων* BV²SPL *βερναίων* G *βεροιέων* n *βεροιαίαν* F *βέροιαν* A | *ἰθύνοντα* F | **11** *κηρύγματα βεβαιῶσαι* ∾ Fry **12** *καὶ ἀπιὼν* zweimal, das erste gestrichen A | *ἀπιὼν καὶ ἐπανιὼν*] *ἐπανιὼν καὶ ἰὼν* n, *veniens et revertens* Cass. | *δὲ*] *μὲν* B | **13** *ἡμῶν* FN | *ᾗ* > V² | **15** *ἐνδοιάζειν* V²nSP *ἐνδυάζειν* BFGy | **17** *ἕλκειν*] *ἐκεῖνα* F | **18** *καὶ* > B, *etiam* Cass. | **19** $\overline{κη}$ am Rand HSS | *τοῦτο δὲ*] *τοῦτο* BV², *hoc enim* Cass. | **20** *κωνσταντίου* V²Fr Nic. *Constantii* Cass. *κωνσταντίνου* By | *ἐκεῖνος* BV² > Fry Cass. | *πάνυ*] *πανύμνητος* B *πανεύφημος* F, *magnus* Cass.

γὰρ τὴν ἔρημον ἅπαν ἐκεῖνο περιῄει τὸ ἄστυ, διδάσκων ἅπαντας ὡς τῆς ἀποστολικῆς διδασκαλίας κήρυξ ἐστὶν Ἀθανάσιος καὶ ὡς ἀντίπαλοι τῆς ἀληθείας οἱ τῆς Ἀρείου συμμορίας. οὕτως ἥδεσαν οἱ θεῖοι ἄνδρες ἐκεῖνοι τὰ πρόσφορα ἑκάστῳ προσαρμόττειν καιρῷ, καὶ πηνίκα μὲν χρὴ τὴν ἡσυχίαν ἀσπάζεσθαι, πηνίκα δὲ προτιμᾶν τὰς πόλεις τῆς ἐρημίας.

28 [κθ′] Ἦσαν δὲ καὶ ἄλλοι κατ᾽ ἐκεῖνον τὸν καιρὸν τὰς τῆς μοναχικῆς φιλοσοφίας ἀφιέντες μαρμαρυγάς· ἐν μὲν τῇ Χαλκιδέων ἐρήμῳ Ἄβιτος καὶ Μαρκιανὸς καὶ Ἀβραάμης καὶ ἕτεροι πρὸς τούτοις οὐκ εὐαρίθμητοι, ἐν παθητοῖς σώμασι τὴν ἀπαθῆ βιοτὴν μελετῶντες· ἐν δὲ τῇ Ἀπαμέων χώρᾳ Ἀγαπητὸς καὶ Συμεώνης καὶ Παῦλος· ἐν δὲ τῇ Ζευγματέων, Πούπλιος καὶ Παῦλος καὶ ἄλλοι τὴν ἄκραν φιλοσοφίαν συλλέγοντες. ἐν δὲ τῇ Κυρεστῶν, ὁ μὲν πανεύφημος Ἀκεψεμᾶς ἐν οἰκίσκῳ καθεῖρκτο, καὶ ἑξηκοντούτην χρόνον τοῦτον ἐβίω τὸν τρόπον, οὔτε ὁρώμενος οὔτε φθεγγόμενος· Ζευγμάτιος δὲ ὁ ἀξιάγαστος, καίτοι τὸ 2 βλέπειν ἀφῃρημένος, περιῄει στηρίζων τὰ πρόβατα καὶ τοῖς λύκοις μαχόμενος, οὗ δὴ χάριν αὐτοῦ τὴν ἀσκητικὴν καλύβην ἐνέπρησαν. ἀλλὰ Τραϊανὸς ὁ πιστότατος στρατηγὸς ἑτέραν ἐδείματο καὶ τῆς ἄλλης θεραπείας μετέδωκεν. ἐν δὲ τῇ Ἀντιοχέων, Μαριανὸς καὶ Εὐσέβιος καὶ Ἀμμιανός, Παλλάδιός τε καὶ Συμεώνης καὶ Ἀβραάμης καὶ ἄλλοι πρὸς τούτοις τὴν εἰκόνα τὴν θείαν ἀκήρατον διασώσαντες.

7—S. 269, 6 Theodoret. Relig. Histor. PG 82 [*Ἄβιτος* 3. 1332 D. *Μαρκιανός* 3. 1324 C. *Ἀβραάμης* 3. 1336 C. *Ἀγαπητὸς καὶ Συμεώνης* 3. 1325 C ff. *Πούπλιος* 5. 1352. *Ἀκεψεμᾶς* 15. 1413. *Μαριανός, Εὐσέβιος, Ἀμμιανός* 4. 1340 ff. *Παλλάδιος* 7. 1364. *Συμεώνης* 6. 1357. *Ἀβραάμης* 7. 1365 D. *Πέτρος ὁ Γαλ.* 9. 1377. *Ῥωμανός* 11. 1393. *Ζήνων* 12. 1396. *Μωϋσῆς* 23. 1456 D. 24. 1460 C]

* **7**—S. 269, 6 Niceph. H. E. XI 41 — **13**—**19** Cass. VIII 6

B V² F HN (n) + GSP (s) = r AL (y)

1 *τὸ ἄστυ περιῄει* ∼ P | **4** *πρόσφορα*] *προσφερόμενα* B | **6** *ταῖσ ἐρημείαισ* B | **7** *κθ* am Rand HSS | **8** *φιλοσοφίασ* BV²FSPGᵐy *πολιτείασ* nG *πολτείασ* Pm | *μὲν*] *μὲν οὖν* B | *χαλκηδέων* P | **9** *ἀβρᾶμησ* P | **10** *βιωτὴν* B | **11** *ἐν δὲ τῇ Ζευγματέων* — **12** *Παῦλος* > B | *δὲ*] *δέ γε* FGP | **12** *καὶ ἄλλοι* — **13** *συλλέγοντες* vor **11** *ἐν δὲ τῇ Ζευγματέων* ∼ Fy | **13** *δὲ*] *δέ γε* V² | *κυρρεστῶν* B, *Cyrestensium* Cass. | *μὲν* nur in B | *ἀκεψεμᾶσ* PA *ἀκεψεμὰσ* B *Acepsemas* Cass. *ἀκεψημᾶσ* V² *ἀκεψιμᾶσ* FnGSL Nic. Relig. Hist. | *ἐν*² > V² | **14** *καθεῖρκτο*] *κάθιρκτοσ* B | *χρόνον* > B | *ἐβίον* ry | **16** *περιείη* BP | **17** *αὐτοῦ* nach *ἀσκητικὴν* ∼ V² Cass. | **18** *ἕτερον* B | **20** *ἀμιανόσ* GS | *ἀβρᾶμησ* P

καὶ τούτων δὲ κἀκείνων τὸν βίον ἀνάγραπτον πεποιήκαμεν. καὶ τὸ 3
ὄρος δὲ τὸ τῇ μεγίστῃ παρακείμενον πόλει λειμῶσι παραπλησίοις
ὡράϊστο· καὶ γὰρ ἐν τούτῳ Πέτρος ὁ Γαλάτης διέλαμπε, καὶ ὁ τούτου
γε ὁμώνυμος ὁ Αἰγύπτιος, καὶ Ῥωμανὸς καὶ Σευῆρος καὶ Ζήνων,
Μωϋσῆς τε καὶ Μάλχος καὶ ἄλλοι πλεῖστοι, παρὰ μὲν τῶν πολλῶν
ἀγνοούμενοι, παρὰ δὲ τοῦ θεοῦ γινωσκόμενοι.

Κατὰ τοῦτον τὸν χρόνον ἐν Ἐδέσσῃ μὲν Ἐφραὶμ ὁ θαυμάσιος, 29 [λ']
ἐν Ἀλεξανδρείᾳ δὲ διέπρεπε Δίδυμος, κατὰ τῶν ἀντιπάλων τῆς ἀλη-
θείας δογμάτων συγγράφοντες. καὶ οὗτος μὲν τῇ Σύρων κεχρημένος
φωνῇ τῆς πνευματικῆς χάριτος τὰς ἀκτίνας ἠφίει· παιδείας γὰρ οὐ
γεγευμένος Ἑλληνικῆς, τούς τε πολυσχιδεῖς τῶν Ἑλλήνων διήλεγξε
πλάνους καὶ πάσης αἱρετικῆς κακοτεχνίας ἐγύμνωσε τὴν ἀσθένειαν.
καὶ ἐπειδὴ Ἁρμόνιος ὁ Βαρδησάνου ᾠδάς τινας συνετεθείκει πάλαι 2
καὶ τῇ τοῦ μέλους ἡδονῇ τὴν ἀσέβειαν κεράσας κατεκήλει τοὺς ἀκού-
οντας καὶ πρὸς ὄλεθρον ἤγρευε. τὴν ἁρμονίαν τοῦ μέλους ἐκεῖθεν
λαβὼν ἀνέμιξε τὴν εὐσέβειαν καὶ προσενήνοχε τοῖς ἀκούουσιν ἥδιστον
ὁμοῦ καὶ ὀνησιφόρον φάρμακον. ταῦτα καὶ νῦν τὰ ᾄσματα φαιδρο- 3
τέρας τῶν νικηφόρων μαρτύρων τὰς πανηγύρεις ποιεῖ. ὁ δὲ Δίδυμος,
παιδόθεν τῆς ὀπτικῆς ἐστερημένος αἰσθήσεως, καὶ ποιητικῶν καὶ
ῥητορικῶν μετέλαχε παιδευμάτων· ἀριθμητικῆς τε καὶ γεωμετρίας
καὶ ἀστρονομίας καὶ τῶν Ἀριστοτέλους συλλογισμῶν καὶ τῆς Πλά-
τωνος εὐεπείας διὰ τῶν ἀκοῶν εἰσεδέξατο τὰ μαθήματα, οὐχ ὡς
ἀλήθειαν ἐκπαιδεύοντα, ἀλλ' ὡς ὅπλα τῆς ἀληθείας κατὰ τοῦ ψεύδους
γιγνόμενα. καὶ μέντοι καὶ τῆς θείας γραφῆς μεμάθηκεν οὐ μόνον 4

5 f vgl. II Kor. 6, 9 — **13—14** vgl. Historia S. Ephraemi 31 [S. Ephraem Hymni et Sermones ed. Lamy II 65] — **9—17** vgl. Sozomen. III 16, 1 u. 5—7 — **18**—S. 270, 1 vgl. Sozomen. III 15, 1—2. Rufin. H. E. XI 7 S. 1012, 10—1013, 7. Socrat. IV 25, 1—6

* **7—18** Cass. VIII 6 — **7**—S. 270, 2 Vaticanus Syriac. 145 f. 78r (= Σ) — **15—18** Historia S. Ephraemi 31 ebd. — **18—24** Cass. VIII 8

B V² F HN (n) + GSP (s) = r AL (y)

2 *λειμῶνι* n | *παραπλησίοισ* By *παραπλησίωσ* V²Fr | **3** *διέλαμπε*] *διέπρεπεν* V² Nic. | **4** *γε* > B | **5** *μωϋσῆσ* BV² Relig. Hist. *μωσῆσ* Fry Nic. | **6** *τῶ θεῶ* ry | **7** *λ* am Rand HSS | *αἰδέσσῃ* B *αἰδέση* V² *ἐδέση* FnGSL *Edessa* Cass. | **8/9** *ἀληθείας* = Σ] *ἐκκλησίασ* B | **10** *ἤφιεν* B | **11** *γεγευμένος* = Σ] *γεγυμνασμένοσ* F | *πολυσχιδεῖσ* HGP *πολυσχίδησ* B *πολυσχεδεῖσ* die übr. HSS | **13** *ἁρμόδιοσ* s, *Harmonius* Cass. Σ | *συνετεθήκει* BV² *συντεθείκει* Fry | **15** *τὴ* //// *ἁρμονία* // V² | *μέλους* = Cass. Σ Hist. Ephr.] *σώματοσ* B | **19** *ποιητῶν* A | **22** *τὰ* > B

τὰ γράμματα, ἀλλὰ καὶ τὰ τούτων νοήματα. ἐν μὲν οὖν ἀσκηταῖς καὶ τῆς ἀρετῆς φροντισταῖς οὗτοι κατ' ἐκεῖνον διέλαμπον τὸν καιρόν.

Ἐν ἐπισκόποις δὲ Γρηγόριος ἑκάτερος, ὅ τε Ναζιανζοῦ καὶ ὁ Νύσσης, ὁ μὲν ἀδελφός, ὁ δὲ σύσκηνός τε καὶ συνεργὸς τοῦ μεγάλου Βασιλείου τυγχάνων. οὗτοι μὲν οὖν ἐν Καππαδοκίᾳ τῆς εὐσεβείας ὑπερμαχοῦντες ἠρίστευον. συνηρίστευε δὲ αὐτοῖς καὶ Πέτρος, γεννήτορας μὲν Βασιλείῳ καὶ Γρηγορίῳ τοὺς αὐτοὺς ἐσχηκώς, τῆς δὲ θύραθεν παιδείας οὐ μετειληχὼς σὺν ἐκείνοις, τὰς δὲ τοῦ βίου μαρμαρυγὰς ἀφιείς. ἐν Πισιδίᾳ δὲ Ὄπτιμος καὶ Ἀμφιλόχιος ἐν Λυκαονίᾳ, γενναίως ὑπὲρ τῆς προγονικῆς παραταττόμενοι πίστεως, τὰς ἐναντίας ἀπεκρούοντο προσβολάς. ἐν δέ γε τῇ Ἑσπέρᾳ, Δάμασος μὲν τῆς Ῥώμης ἡγούμενος, Ἀμβρόσιος δὲ Μεδιόλανον ἰθύνειν πεπιστευμένος, καὶ τοὺς πόρρωθεν ἀκοντίζοντες ἔβαλλον. καὶ μετὰ τούτων οἱ τὰς ἐσχατιὰς οἰκεῖν ἠναγκασμένοι γράμμασι καὶ τοὺς οἰκείους ἐστήριζον καὶ τοὺς πολεμίους κατέλυον. ἀντιρρόπους γὰρ τῷ μεγέθει τοῦ κλύδωνος ἔδωκε κυβερνήτας τῶν ὅλων ὁ πρύτανις, καὶ τῇ τῶν πολέμων σφοδρότητι τὴν τῶν στρατηγῶν ἀντέταξεν ἀρετήν, καὶ πρόσφορα τῇ τοῦ καιροῦ δυσκολίᾳ τὰ ἀλεξίκακα ἔδωκε φάρμακα. **30** [λα'] **2** **3** **4** **5**

Οὐ μόνον δὲ ταύτης τῆς προμηθείας ταῖς ἐκκλησίαις μετέδωκεν ὁ φιλάνθρωπος κύριος, ἀλλὰ καὶ ἑτέρας αὐτὰς κηδεμονίας ἠξίωσε. τὸ γὰρ τῶν Γότθων ἔθνος παρακινήσας εἰς πόλεμον ἐπὶ τὸν Βόσπορον εἵλκυσε τὸν κατὰ μόνων τῶν εὐσεβῶν μεμαθηκότα στρατεύειν. τότε δὴ τὴν οἰκείαν ἀσθένειαν ὁ μάταιος ἐγνωκὼς ἀπέστειλε πρὸς τὸν ἀδελφὸν στρατιὰν ἐξαιτῶν. ὁ δὲ ἐπέστειλεν ὡς οὐχ ὅσιον ἐπαμύνειν ἀνδρὶ πολεμοῦντι θεῷ, δίκαιον δὲ τὴν τούτου καταπαύειν θρα- [λβ'] **31**

3—8 vgl. Rufin. H. E. XI 9 S. 1017, 12—15. Socrat. IV 26, 26 — **24**—S. 271, 3 vgl. Synops. 59, 3. Zonar. XIII 15, 12 S. 74, 14? Synops. 61, 19. Zonar. 17, 7 S. 83, 1

* **3—9** Theophan. 61, 18. Exc. Bar. f. 220r — **3—22** Niceph. H. E. XI 44 — **11—17** Cass. VIII 10 — **21**—S. 273, 6 Cass. VIII 13 — **23**—S. 272, 5 Niceph. H. E. XI 49 — **23—25** Polydeukes 420, 10. Theophan. 61, 21. Exc. Bar. f. 221r

B V² F HN (n) +GSP [P bis **17** *ἀρετήν*] (s) = r AŁ (y)

1 *γράμματα*] *ῥήματα* H | *ἀσκητικαῖσ* P | **2** *τῆς* > GS | *φροντιστὴσ* B | **3** *λα* am Rand HSS | **3/4** *νύσησ* V²nL | **8** *δὲ τὰς* ∼ F | **9** *ὅπτιμοσ* B | **10** *παραταττόμενοι*] *παραλλόμενοι* B *ἀνθιστάμενοι* Nic. | **11** *δέ γε*] *δὲ* B Nic. *γῆ* F | nach *Δάμασος* + *ὅσ* B | **12** *μεδιολάνων* V² | *καὶ* > ry | **16** *πολέμων* BV² *in praeliis* Cass. *πολεμίων* Fry Nic. | **18** *δέδωκεν* B | **19** *λβ* am Rand HSS | *μετέδωκεν ταῖς ἐκκλησίαις* ∼ L | **20** *κύριος*] *θεόσ* s **22** *μόνον* BN

σύτητα. ταῦτα τὸν δείλαιον ἐκεῖνον μείζονος ἀνίας ἐνέπλησεν· οὐ μὴν ἐξέληξε τῆς θρασύτητος, ἀλλ᾽ ἐπέμεινε κατὰ τῆς ἀληθείας παρατατόμενος.

Ἐπανῆκε μὲν γὰρ ἀπὸ τῆς Ἀρμενίας Τερέντιος τρόπαια στήσας· ἦν δὲ στρατηγὸς ἄριστος καὶ εὐσεβείᾳ κοσμούμενος. τούτῳ δωρεὰν ὁ Βάλης αἰτῆσαι προσέταξεν· ὁ δὲ ἀπήγγειλεν ἥνπερ ἔδει τὸν εὐσεβείᾳ συντεθραμμένον. ᾔτησε γὰρ οὐ χρυσὸν οὐδὲ ἄργυρον, οὐ χωρίον, οὐ δυναστείαν, οὐκ οἰκίαν, ἀλλ᾽ ἐκκλησίαν παρασχεθῆναι μίαν τοῖς τῆς ἀποστολικῆς διδασκαλίας προκινδυνεύουσιν. ὁ δὲ τὴν ἱκετείαν δεξάμενος καὶ γνοὺς τὰ ἐγκείμενα, χαλεπήνας διέρρηξε καί οἱ ἄλλα τινὰ αἰτῆσαι προσέταξεν. ὁ δὲ τῆς ἱκεσίας συλλέξας τὰ ῥήγματα· »ἐδεξάμην«, ἔφη, »ὦ βασιλεῦ, καὶ ἔχω τὸ δῶρον καὶ ἕτερον οὐκ αἰτήσω· σκοπῶ γὰρ κριτὴς ὁ τῶν ὅλων κριτής«. **32** [λγ΄] **2**

Ἐπειδὴ δὲ τὸν Βόσπορον διαβὰς εἰς τὴν Θρᾴκην ἀφίκετο, πρῶτον μὲν ἐν Κωνσταντινουπόλει πλεῖστον διέτριψε χρόνον δειμαίνων τὸν πόλεμον· Τραϊανὸν δὲ σὺν τῇ στρατιᾷ τὸν στρατηγὸν κατὰ τῶν βαρβάρων ἀπέστειλεν. ἐπειδὴ δὲ ἡττηθεὶς ἐπανῆλθεν ἐκεῖνος, ἐλοιδορεῖτο λίαν ὁ Βάλης, μαλακίαν αὐτῷ καὶ δειλίαν ἐγκαλῶν. ὁ δὲ παρρησίᾳ χρησάμενος ἀνδρὶ γενναίῳ πρεπούσῃ· »οὐκ ἐγώ«, ἔφη, »ὦ βασιλεῦ, ἥττημαι· ἀλλὰ σὺ προΐῃ τὴν νίκην, κατὰ τοῦ θεοῦ παρατατόμενος καὶ τὴν ἐκείνου ῥοπὴν προξενῶν τοῖς βαρβάροις· παρὰ σοῦ γὰρ πολεμούμενος ἐκείνοις συντάττεται. τῷ δὲ θεῷ ἡ νίκη ἕπεται **33** [λδ΄] **3**

15 vgl. Socrat. IV 38, 3. Sozomen. VI 39, 3

* **17—21** Polydeukes 420, 14. Theophan. 62, 10. Exc. Bar. f. 221r

B V² F HN (n) + GS (s) = r AL (y)

1 *μειζόνως* B, *maiori necessitate* Cass. | *ἐνέπλησεν*] *ἐπλήρωσεν* V² | **2** *ἐξέληξε* B *ἔληξε* V²ry *ἔπληξε* F | *ἐπέμενε* FHy | **2/3** *παρατατόμενος*] *ταραττόμενος* V², *rebellis* Cass. | **4** λγ am Rand HSS | **5** *τοῦτον* F | **6** *οὐδέλησ* r | *αἰτῆσαι* > sy, *poscere* Cass. | *ἀπήγγειλεν* B *respondit* Cass. *ἐπήγγειλεν* V²Fry | **7** *χρυσίον οὔτε ἀργύριον* V² | *οὐδὲ χωρίον* B > V², *non praedium* Cass. | **8** *οἰκ*] *οὐχ* V² | *μίαν παρασχεθῆναι* ∾ V² | **10** *ἄλλ᾽ οἵ* ∾ V² | **11** *ἱκετείασ* V² | *ῥήγματα* Hsy *ῥήματα* BV²FN *verba* Cass. | *ἐδεξάμην* — **12** *δῶρον*] *suscipe, inquit, o imperator, et habeto donum* Cass. | **12** *ἔφη* > n | *ὦ* > B | **14** λδ am Rand HSS | **15** *διατριψαι* sic B | *δειμαίνων* BV² Nic. *διαμένων* F *διανέμων* ny *praeparans* Cass. *προσμένων* s | **16** *τῇ* > F | *τὸν* > B | **17** *ἐπειδὴ*] *ἐπεὶ* n | **18** *λίαν* > B Cass. | *οὐδέλησ* r | **20** *προΐῃ* Fs Exc. Bar. *προεῖη* BV² *προήει* y Cod. Polyd. *πρόῃ* n *προΐης* Nic. *perdidisti* Cass. | *τοῦ* > V² | **20/21** *πραττόμενοσ* V² | **22** *συντάττεται* = Nic.] *συντέτακται* V², *pugnat* Cass.

καὶ τοῖς ὑπὸ τοῦ θεοῦ στρατηγουμένοις προσγίνεται. ἢ οὐκ οἶσθα«, ἔφη, »τίνας τῶν ἐκκλησιῶν ἐξελάσας, τίσι παρέδωκας ταύτας;« ταῦτα καὶ Ἀρίνθεος καὶ Βίκτωρ (στρατηγὼ γὰρ ἦστην καὶ τούτω) συνωμολογησάτην οὕτως ἔχειν, καὶ τῷ βασιλεῖ μὴ χαλεπαίνειν παρηνεσάτην ἐπ' ἐλέγχοις ἀληθείᾳ συνεζευγμένοις.

Φασὶ δὲ καὶ Ἰσαάκην σκηνὴν αὐτόθι μοναχικὴν ἔχοντα, ἐπειδὴ εἶδεν **34** [λε′] αὐτὸν συνεξιόντα τῇ στρατιᾷ, βοῇ χρησάμενον φάναι· »ποῖ βαδίζεις, ὦ βασιλεῦ, κατὰ θεοῦ στρατευόμενος καὶ τοῦτον οὐκ ἔχων ἐπίκουρον; αὐτὸς γὰρ κατὰ σοῦ τοὺς βαρβάρους κεκίνηκεν, ἐπειδὴ καὶ σὺ κατ' αὐτοῦ πολλὰς γλώττας εἰς βλασφημίαν παρέθηξας καὶ τοὺς ἐκείνου ὑμνοῦντας τῶν θείων οἴκων ἐξήλασας. παῦσαι δὴ οὖν πολεμῶν καὶ **2** παύσει τὸν πόλεμον. ἀπόδος ταῖς ποίμναις τοὺς ἀρίστους νομέας καὶ λήψῃ τὴν νίκην ἀπονητί. εἰ δὲ τούτων μηδὲν δεδρακὼς παρατάξαιο, μαθήσῃ τῇ πείρᾳ ὅπως σκληρὸν τὸ πρὸς κέντρα λακτίζειν· οὔτε γὰρ ἐπανήξεις καὶ προσαπολέσεις τὴν στρατιάν«. ὀργι- **3** σθεὶς δὲ ὁ βασιλεύς· »καὶ ἐπανήξω«, ἔφη, »καὶ κατακτενῶ σε καὶ τῆς ψευδοῦς προαγορεύσεως εἰσπράξομαι δίκας«. ὁ δὲ ἥκιστα δείσας τὴν ἀπειλὴν ἔφη βοῶν· »κτεῖνον, εἰ φωραθείη τῶν λόγων τὸ ψεῦδος«.

6—18 vgl. Sozomen. VI 40, 1. Synax. 715, 56. 865, 29. Acta SS Mai. VII 246 f. Synops. 60, 27. Zonar. XIII 16, 17 S. 77, 18 — **14** Act. 26, 14

* **6—18** Niceph. H. E. XI 50 — **7/8** Georg. Mon. 557, 15. Theophan. 65, 12. Cramer II 97, 15. Exc. Bar. f. 221r

B V² F HN (n) + GS (s) = r AL (y)

1 ὑπὸ τοῦ] ὑπὸ L παρὰ V² | προσεγγίνεται B, προσγίνεσθαι εἰῶθε Nic. | **2** τίσι] καὶ τίσι V² (*expulisti*) *vel quibus* Cass. | παραδέδωκασ Fry ταῦτα BV²F = Cass. ταῦτα δὲ ry | **3** Ἀρίνθεος] ἀράνθεοσ B *Arantheus* Cass. ῥαδάνθων F Ῥόδαντος Nic., Ἀρινθαῖος Zosim. Basil. (Epist. 269) | στρατηγὼ γὰρ ἦστην καὶ τούτω Parm.] στρατηγῶ γάρ ἐστιν (sic) καὶ τούτω V² στρατηγοὶ γὰρ καὶ οὗτοι καὶ τούτω B στρατηγοὶ γὰρ ἦσαν καὶ αὐτοὶ Fry στρατηγοὶ δὲ καὶ οὗτοι Nic., vgl. S. 191, 5; 283, 5 | **3/4** συνωμολογησάτην V² συνωμολόγησαν die übr. HSS | **4** οὕτως — **5** συνεζευγμένοις > mit leerem Raum F | **4/5** παρήνεσατην (sic) ἐπελέγχοισ ἀληθεία συνεζευγμένοισ V² παρήνεσαν· τὴν ἐπελέγχοισ ἀλήθειαν συνεζευγμένοισ B παρήνουν . . . ἐπ' ἐλέγχοις ἀληθείᾳ συνεζευγμένοις Nic. παρήνεσαν· τὴν ἐπελέγχοισ ἀλήθειαν συνεζευγμένην ry, nicht übersetzt von Cass. **6** λε am Rand HSS | ἔχοντα μοναχικὴν ∾ V² | **8** στρατευόμενοσ B Georg. Theophan. Cramer. Exc. Bar. Synops. *qui pugnas* Cass. στρατευσάμενοσ V²Fry Nic. | **10** παρέθηξας = Nic.] ἐκίνησασ n | **13** λήψει BV² | ἀπονητί] ἀκμητί B. *sine bello* Cass. | **14** μαθήσει BV² | **15** τὴν > B | **16** κατακτανῶ V² | **17** προσαγορεύσεωσ B

Καὶ Βετρανίων δέ, παντοδαπῇ μὲν λαμπρυνόμενος ἀρετῇ, πάσης **35** [λς′]
δὲ τῆς Σκυθίας τὰς πόλεις ἀρχιερατικῶς ἰθύνειν πεπιστευμένος,
ἐπύρσευσέ τε τῷ ζήλῳ τὸ φρόνημα καὶ τὴν τῶν δογμάτων διαφθορὰν
καὶ τὰς κατὰ τῶν ἁγίων παρανομίας τοῦ Βάλεντος ἤλεγξε, καὶ μετὰ
τοῦ θειοτάτου Δαβὶδ ἐβόα· »ἐλάλουν ἐν τοῖς μαρτυρίοις σου
ἐναντίον βασιλέων καὶ οὐκ ᾐσχυνόμην«.

Ὁ δὲ τῶν συμβούλων ἐκείνων τῶν ἀρίστων καταφρονήσας, τὴν **36** [λζ′]
μὲν στρατιὰν εἰς τὴν παράταξιν προὔπεμψεν, αὐτὸς δὲ ἔν τινι κώμῃ
καθήμενος τὴν νίκην προσέμενεν. οἱ δὲ στρατιῶται τῶν βαρβάρων
οὐκ ἐνεγκόντες τὴν ῥύμην ἐτρέποντο καὶ κατεκτείνοντο διωκόμενοι·
καὶ οἱ μὲν ἔφευγον κατὰ τάχος, οἱ δὲ κατὰ κράτος ἐδίωκον. κατα- **2**
λαβόντες δὲ τὴν κώμην ἐκείνην οἱ βάρβαροι ἔνθα ὁ Βάλης τὴν ἧτταν
μεμαθηκὼς ἐπειράθη λαθεῖν, πῦρ ἐμβαλόντες ἐνέπρησαν σὺν τῇ κώμῃ
καὶ τὸν τῆς εὐσεβείας ἀντίπαλον. οὕτω μὲν οὖν ἐκεῖνος κἀν τῷ παρόν-
τι βίῳ ποινὴν ἔτισεν ὑπὲρ ὧν ἐπλημμέλησεν.

Ἐγὼ δὲ προὔργου νομίζω διδάξαι τοὺς ἀγνοοῦντας ὅπως οἵδε οἱ **37** [λη′]
βάρβαροι τὴν Ἀρειανικὴν εἰσεδέξαντο νόσον. ὅτε τὸν Ἴστρον δια-
βάντες πρὸς τὸν Βάλεντα τὴν εἰρήνην ἐσπείσαντο, τηνικαῦτα παρὼν
Εὐδόξιος ὁ δυσώνυμος ὑπέθετο τῷ βασιλεῖ πεῖσαί οἱ κοινωνῆσαι τοὺς
Γότθους· πάλαι γὰρ τὰς τῆς θεογνωσίας ἀκτίνας δεξάμενοι τοῖς ἀπο-
στολικοῖς ἐνετρέφοντο δόγμασι. »βεβαιοτέραν γάρ«, ἔφη, »τὸ κοινὸν **2**

1—4 vgl. Sozomen. VI 21, 3—6 — **5/6** Psal. 118, 46 — **11—14** vgl. Socrat. IV 38, 8. Zosim. IV 24. Joh. Chrys. Ad viduam iun. 5 PG 48, 606. Rufin. H. E. XI 13 S. 1020, 2/3. Sozomen. VI 40, 3—5. Philostorg. IX 17. Synops. 61, 8. Zonar. XIII 16, 25 S. 79, 1. Cedren. I 549, 20. Amm. Marcell. 31, 13, 14 — **16**—S. 274, 8 vgl. Sozomen. VI 37, 2 u. 8—10. Socrat. IV 33 — **20/21** vgl. Philostorg. II 5. Sozomen. II 6

* **7—14** Cass. VIII 15 — **16**—S. 274, 11 Cass. VIII 13

B V² F HN (n) + GS (s) = r AL (y)

1 $\overline{\lambda\varsigma}$ am Rand HSS | *δέ* nur in B = *autem* Cass. | *πάσας* V², Cass. wie im Text | **3** *τε* > BF | *τὴν*] *τήν τε* B | *διαφορὰν* B, *corruptione* Cass. | **4** *τοῦ Βάλεντος παρανομίας* ~ F | *οὐάλεντος* r | **6** *ἐναντίον — ᾐσχυνόμην* = Cass.] *καὶ τὰ ἑξῆς* n | **6** *ἠσχυνάμην* B | **7** $\overline{\lambda\varsigma}$ am Rand HSS | **9** *τῶν βαρβάρων* nach **10** *ῥύμην* ~ V², Cass. wie im Text | **10** *ἐτρέποντο* BV² *fugiebant* Cass. *ἐτράποντο* Fry | *κατεκτείνοντο* = Cass.] *κατεκλείοντο* B | **11** *καὶ* > n | *ἔφευγον* BV² *ἔφυγον* Fsy *φεύγοντες* n | *ἐδίωκον*] *διώκοντες* n | **12** *οὐάλης* r *Valens* Cass. *βασιλεὺς* V² | **14** *οὖν* > y | **16** $\overline{\lambda\eta}$ am Rand HSS | *πρόυργον* B *προῦργον* H | *οἱ δὲ οἱ, οἳ* am Rand, B *οἳ δὲ οἱ* V² *οἱ* Fry | **18** *οὐάλεντα* u. S. 274, 2 *οὐάλης* r | **19** *οἱ* BV² *αὐτῷ* Fry | **21** *γάρ* > B, *enim* Cass.

τοῦ φρονήματος τὴν εἰρήνην ἐργάσεται«. ταύτην ἐπαινέσας τὴν γνώμην ὁ Βάλης προὔτεινε τοῖς ἐκείνων ἡγεμόσι τῶν δογμάτων τὴν συμφωνίαν· οἱ δὲ οὐκ ἀνέξεσθαι ἔλεγον τὴν πατρῴαν καταλείψειν διδασκαλίαν. κατ᾽ ἐκεῖνον δὲ τὸν χρόνον Οὐλφίλας αὐτῶν ἐπίσκοπος 3
ἦν, ᾧ μάλα ἐπείθοντο, καὶ τοὺς ἐκείνου λόγους ἀκινήτους ὑπελάμβανον νόμους. τοῦτον καὶ λόγοις κατακηλήσας Εὐδόξιος καὶ χρήμασι δελεάσας, πεῖσαι παρεσκεύασε τοὺς βαρβάρους τὴν βασιλέως κοινωνίαν ἀσπάσασθαι. ἔπεισε δὲ φήσας ἐκ φιλοτιμίας γεγενῆσθαι τὴν ἔριν, 4
δογμάτων δὲ μηδεμίαν εἶναι διαφοράν. οὗ δὴ εἵνεκα μέχρι καὶ τήμερον οἱ Γότθοι μείζονα μὲν τὸν πατέρα λέγουσι τοῦ υἱοῦ, κτίσμα δὲ τὸν υἱὸν εἰπεῖν οὐκ ἀνέχονται, καίτοι κοινωνοῦντες τοῖς λέγουσιν. ἀλλ᾽ ὅμως οὐ παντάπασι τὴν πατρῴαν διδασκαλίαν κατέλιπον· καὶ 5
γὰρ Οὐλφίλας Εὐδοξίῳ καὶ Βάλεντι κοινωνῆσαι πείθων αὐτοὺς οὐκ εἶναι δογμάτων ἔφη διαφοράν, ἀλλὰ ματαίαν ἔριν ἐργάσασθαι τὴν διάστασιν.

4/5 vgl. Auxenti Epist. de fide Wulfilae ed. Kauffmann [Texte und Unters. zur altgerm. Religionsgesch. I S. 75, 6 f] — **9—11** vgl. ebd. S. 73, 14 f; 76, 6 f. ob. S. 53, 15—18. Socrat. V 23. Sozomen. VII 17, 10 - 12. Philostorg. X 3. Theodoret. Haeret. Fabul. IV 4

B V² F HN (n) + GS (s) = r AL (y)

3 *ἀνέξασθαι* V² | **4** u. **13** *οὐλφίλας* y *οὔλφιλας* B *οὐλφιλιὰς* Fr *οὐλφίλ///ας* V² *Ulfilas* Cass. Cod. L | **6** *καὶ*¹ > B Cass. | *κατακηλίσας* BV² *κατακλήσας* s | **7** *τὴν*] *τὴν τοῦ* F | **7/8** *ἀσπάσασθαι κοινωνίαν* ∾ V² | **8** *φήσας*] *πείσας* F, *dicens* Cass. | *ἔριν*] *αἵρεσιν* B, *certamen* Cass. | **11** *εἰπεῖν τὸν υἱὸν* ∾ V² | **12** *κατέλειπον* BV² | **13** *οὐάλεντι* r *βαλεντίω* F | **14** *ἔφησε* n | *ἐργάσασθαι* > B | **15** *τέλος τοῦ δ τόμου* nur in F

Κεφάλαια τοῦ ε΄ λόγου

α΄. Περὶ τῆς Γρατιανοῦ τοῦ βασιλέως εὐσεβείας.
β΄. Περὶ τῆς ἐπανόδου τῶν ἐπισκόπων.
γ΄. Περὶ τῆς Παυλίνου φιλονεικίας, καὶ τῆς Ἀπολιναρίου τοῦ Λαοδικέως καινοτομίας, καὶ τῆς Μελετίου φιλοσοφίας τε καὶ φιλοθείας.
δ΄. Περὶ Εὐσεβίου τοῦ ἐπισκόπου Σαμοσάτων.
ε΄. Περὶ τῆς Θεοδοσίου στρατηγίας.
ς΄. Περὶ τῆς τούτου βασιλείας καὶ ὧνπερ εἶδεν ὀνείρων.
ζ΄. Τίνες ἐπίσημοι τῆς Ἀρείου δυσσεβείας ἐγένοντο προστάται.
η΄. Περὶ τῆς ἐν Κωνσταντινουπόλει συναθροισθείσης συνόδου.
θ΄. Συνοδικὸν παρὰ τῆς ἐν Κωνσταντινουπόλει συναθροισθείσης συνόδου γραφὲν πρὸς τοὺς δυτικοὺς ἐπισκόπους.
ι΄. Συνοδικὸν Δαμάσου ἐπισκόπου Ῥώμης κατὰ Ἀπολιναρίου καὶ Τιμοθέου γραφέν.
ια΄. Ἄλλο τοῦ αὐτοῦ συνοδικὸν κατὰ διαφόρων αἱρέσεων.
ιβ΄. Περὶ τῆς Γρατιανοῦ τελευτῆς καὶ τῆς Μαξίμου τυραννίδος.
ιγ΄. Περὶ Ἰουστίνης τῆς Βαλεντινιανοῦ γαμετῆς, καὶ τῆς κατὰ Ἀμβροσίου γεγενημένης ἐπιβουλῆς.

B V² F HN (n) + GSP [P von **4** *ρίου τοῦ* an] (s) = r AL (y)

1 *κεφάλαια τοῦ ε̄ λόγου* B *κεφάλαια τοῦ ε̄* V² *τάδε περιέχει τῆσ ἐκκλησιαστικῆσ ἱστορίασ θεοδωρήτου (θεοδωρήτου* vor *ἐκκλ.* ∼ L > Fs) *καὶ (καὶ* > FL) *ὁ ε̄ τόμοσ* Fsy *τάδε περιέχει καὶ ὁ πέμπτοσ τόμοσ* N *καὶ ὁ πέμπτοσ τόμοσ περιέχει τάδε* H | **4** *παύλου* V² | **5** *κενοτομίασ* BV²N | **7** *τοῦ* > n | *σαμοσατῶν* BP aus *σαμοσάτων* corr. V² | **9** *τῆς τούτου βασιλείας*] *αὐτοῦ τοῦ βασιλέωσ* F | *ὧνπερ εἶδεν* BV² *ὧν προεῖδεν* Fry | **10** *τίνεσ ἐπίσημοι (τίνεσ ἐπίσκοποι* P) *προστάται (προστάται ἐπίσημοι* ∼ n) *τῆσ ἀρείου ἐγένοντο (ἐγ.* > P) *συμμορίασ (συμ. ἐγ.* ∼ y) Fry | **12** *παρὰ*] *περὶ* B > n | *συναθροισθείσησ* > nGSy | **13** *γραφὲν πρὸσ τοὺσ δυτικοὺσ ἐπισκόπουσ* > Fry | **14** *ἀπολιναρίου* BV²y *ἀνατολίου* Fr | **16** *τοῦ αὐτοῦ*] *τούτου* FnPy | **17** *τῆσ²* > n | **18** *οὐαλεντινιανοῦ* BFNP *ἰουαλεντινιανοῦ* GS | **19** *γεγενημένησ*] *γενομένησ* N > H

ιδ'. Περὶ τῶν παρὰ Μαξίμου τοῦ τυράννου Βαλεντινιανῷ τῷ νέῳ δηλωθέντων.

ιε'. Περὶ τῶν παρὰ Θεοδοσίου τοῦ βασιλέως περὶ τούτου γραφέντων.

ις'. Περὶ Ἀμφιλοχίου τοῦ ἐπισκόπου Ἰκονίου.

ιζ'. Περὶ τῶν ἐν Θεσσαλονίκῃ γεγενημένων σφαγῶν.

ιη'. Περὶ τῆς Ἀμβροσίου τοῦ ἐπισκόπου παρρησίας καὶ τῆς τοῦ βασιλέως εὐσεβείας.

ιθ'. Περὶ Πλακίλλης τῆς βασιλίδος.

κ'. Περὶ τῆς ἐν Ἀντιοχείᾳ γεγενημένης στάσεως.

κα'. Περὶ τῶν πανταχοῦ γῆς καταλυθέντων εἰδωλικῶν ναῶν.

κβ'. Περὶ Μαρκέλλου τοῦ ἐπισκόπου Ἀπαμείας καὶ τῶν ὑπ' αὐτοῦ καταλυθέντων εἰδωλικῶν ναῶν.

κγ'. Περὶ Θεοφίλου τοῦ Ἀλεξανδρείας ἐπισκόπου, καὶ τῶν ἐν τῇ καθαιρέσει τῶν εἰδώλων αὐτόθι γεγενημένων.

κδ'. Περὶ Φλαβιανοῦ τοῦ Ἀντιοχείας ἐπισκόπου, καὶ τῆς διὰ Παυλῖνον γεγενημένης τοῖς δυτικοῖς διαστάσεως.

κε'. Περὶ τῆς Εὐγενίου τυραννίδος καὶ τῆς Θεοδοσίου τοῦ βασιλέως διὰ πίστεως νίκης.

κς'. Περὶ τῆς Θεοδοσίου τοῦ βασιλέως τελευτῆς.

κζ'. Περὶ Ὀνωρίου τοῦ βασιλέως, καὶ Τηλεμαχίου τοῦ μονάζοντος.

κη'. Περὶ τῆς Ἀρκαδίου τοῦ βασιλέως εὐσεβείας, καὶ τῆς Ἰωάννου τοῦ ἐπισκόπου χειροτονίας.

κθ'. Περὶ τῆς κατὰ θεὸν τοῦδε τοῦ ἐπισκόπου παρρησίας.

λ'. Περὶ τῶν ἐν τῇ Φοινίκῃ δι' αὐτοῦ καταλυθέντων εἰδωλικῶν ναῶν.

λα'. Περὶ τῆς ἐκκλησίας τῶν Γότθων.

λβ'. Περὶ τῆς εἰς τοὺς Σκύθας ὑπ' αὐτοῦ γεγενημένης προνοίας, καὶ τοῦ κατὰ τῶν Μαρκιονιστῶν ζήλου.

B V^2 [bis **12** *καὶ*] V[von **12** *τῶν ὑπ' αὐτοῦ* an] F HN(n) + GSP(s) = r AL(y)

1 *παρὰ*] *κατὰ* B | *τῶ νέω* nur in Py | **3** *παρὰ* > B | **6** *θεσαλονίκη* B | *γεγενημένων* > n | **7** *καὶ τῆς* — **8** *εὐσεβείας* > B | **10** *γεγοννίασ* Fry | **11** *τῶν πανταχοῦ*] *τῆσ ἁπανταχοῦ* B | **12** *Περὶ* — **13** *ναῶν* nach **17** *διαστάσεως* ~ GS | *μαρκελλίνου* Ns | *ἀπαμίασ ἐπισκόπου* V^2 *ἀπαμινουσ* (sic) *ἐπισκόπου* B | **14** *τοῦ* > ry | *ἐπισκόπου Ἀλεξανδρείας* ~ ry | **15** *τῶν εἰδώλων* > F | **16** *παυλίνον* BV | **18** *τοῦ* > VF | *βασιλέως*] *βασιλείασ* V | **21** *τηλεμαχίου* B *τηλεμάχου* VFry, s. unt. S. 328, 2 | *τοῦ*^{2} nur in B | **22** *τῆσ*^{2} nur in B | **23** *ἐπισκόπου* BVF *χρυσοστόμου* ryFc | **25** *τῇ* nur in B, s. unt. S. 329, 19 | *δι' αὐτοῦ*] *ὑπ' αὐτοῦ* B | **28** *τῆς*] *τοὺσ* B | *γενομένησ* ry | **29** *μαρκιονιστῶν* B *μαρκιωνιστῶν* N *μαρκιανιστῶν* die übr. HSS

λγ'. *Περὶ τῆς Γαϊνᾶ αἰτήσεως καὶ τῆς Ἰωάννου τοῦ ἐπισκόπου ἀντιρρήσεως.*
λδ'. *Περὶ τῆς πρεσβείας.*
λε'. *Περὶ τῶν κατ' αὐτοῦ τυρευθέντων.*
λς'. *Περὶ τῶν δι' αὐτὸν συμβεβηκότων.*
λζ'. *Περὶ Ἀλεξάνδρου τοῦ ἐπισκόπου Ἀντιοχείας.*
λη'. *Περὶ τῆς ὕστερον γεγενημένης τοῖς πεπολεμηκόσιν Ἰωάννῃ τῷ ἐπισκόπῳ μεταμελείας, καὶ τῆς τῶν λειψάνων αὐτοῦ μετακομιδῆς.*
λθ'. *Περὶ τῆς πίστεως Θεοδοσίου τοῦ βασιλέως καὶ τῶν ἀδελφῶν αὐτοῦ.*
μ'. *Περὶ Θεοδότου τοῦ ἐπισκόπου Ἀντιοχείας.*
μα'. *Περὶ τοῦ ἐν Περσίδι διωγμοῦ καὶ τῶν ἐκεῖ μαρτυρησάντων.*
μβ'. *Περὶ Θεοδώρου τοῦ ἐπισκόπου Μοψουεστίας.*

B V F HN (n) + GSP (s) = r AL (y)

1 *γαΐνου* A | *τοῦ* By > VFr | *ἐπισκόπου*] *χρυσοστόμου* y | **1/2** *ἀντιρρήσεως* vor **1** *Ἰωάννου* ~ n | **3** *περὶ τῆσ πρεσβείασ* BVnGS *περὶ τῆσ εὐσεβείασ* P *περὶ πρεσβυτέρων* F *περὶ τῆσ παρὰ τοῦ χρυσοστόμου εἰσ αὐτὸν πρεσβείασ* y | **4** *κατ' αὐτοῦ*] *κατὰ τοῦ χρυσοστόμου* L *κατ' αὐτοῦ χρ.* A | *τυδευθέντων* B *τυραννηθέντων* P | **5** *δι' αὐτοῦ* B | **6** *τοῦ* > V | *ἀντιοχείασ* BV *ἀλεξανδρείασ* Fry | **7** *τοῖς πεπολεμηκόσιν* — **8** *ἐπισκόπῳ*] *τῶν ἐπισκόπων* VF | **8** *αὐτοῦ* > B | **9** *βασιλέως*] *μικροῦ* y | **11** *τοῦ* > Hsy | **12** *ἐκεῖσε* n | **13** *θεοδότου* B | *τοῦ* > BnGPy | *μοψουεστίασ* Sy *μο////ψουεστίασ* V *μουψουεστίασ* B *μομψουεστίασ* Fn *μαμψουεστίασ* GP

ΤΟΜΟΣ ΠΕΜΠΤΟΣ ΤΗΣ ΘΕΟΔΩΡΗΤΟΥ ΕΚΚΛΗΣΙΑΣΤΙΚΗΣ ΙΣΤΟΡΙΑΣ

Ὅπως μὲν ἐπὶ πλεῖστον φέρει τοὺς κατ᾽ αὐτοῦ λυττῶντας ὁ 1
δεσπότης θεὸς καὶ ὅπως κολάζει τοὺς οὐκ εἰς δέον τῇ μακροθυμίᾳ
χρωμένους, τοιαῦτα καὶ δεδρακὼς καὶ πεπονθὼς ὁ Βάλης ἐδίδαξεν
ἀκριβῶς. οἷον γάρ τισι σταθμοῖς καὶ ζυγοῖς οἴκτῳ καὶ δικαιοσύνῃ
χρώμενος ὁ φιλάνθρωπος, ὅταν ἴδῃ τινὰ τῷ μεγέθει τῶν πλημμελη-
μάτων ὑπερβάλλοντα τῆς φιλανθρωπίας τὰ μέτρα, τῇ δικαίᾳ τιμω-
ρίᾳ κωλύει τὴν ἐπὶ τὰ πρόσω φοράν. Γρατιανὸς δέ, ὁ Βαλεντινιανοῦ
μὲν υἱός, Βάλεντος δὲ ἀδελφιδοῦς, πᾶσαν τὴν Ῥωμαίων ἡγεμονίαν
παρέλαβε. πάλαι μὲν γὰρ τῆς Εὐρώπης παρειλήφει τὰ σκῆπτρα 2
μετὰ τὴν τοῦ πατρὸς τελευτήν· καὶ ἐκείνου δέ γε περιόντος ἐκοινώνει
τῆς βασιλείας. προσέλαβεν οὖν καὶ τὴν Ἀσίαν καὶ τὰ λειπόμενα τῆς
Λιβύης, ἄπαιδος ἀναιρεθέντος τοῦ Βάλεντος.

Εὐθὺς μέντοι τὴν εὐσέβειαν ἣν εἶχεν ἐκδηλοτέραν κατέστησε καὶ 2
τῆς βασιλείας τὰς ἀπαρχὰς τῷ παμβασιλεῖ τῶν ὅλων προσήνεγκε.
νόμον γὰρ ἔγραψε, καὶ τοὺς ἐληλαμένους ποιμένας ἐπανελθεῖν κελεύων
καὶ τοῖς σφετέροις ἀποδοθῆναι ποιμνίοις, καὶ τοὺς θείους οἴκους
παραδοθῆναι τοῖς τὴν Δαμάσου κοινωνίαν προαιρουμένοις. Δάμασος 2

15—19 vgl. Socrat. V 2, 1. Sozomen. VII 1, 3. Zonar. XIII 16, 8 S. 83, 4. Cod. Theod. XVI 1, 2. XVI 5, 6

* **9—18** Symeon. Vita Ambrosii 7 — **11**—S. 279, 8 Cass. IX 2 — **15**—S. 279, 17 Niceph. H. E. XII 3 — **17—19** Theophan. 66, 20

B V F HN (n) + GSP (s) = r AL (y)

1 *τόμος* — **2** *ἱστορίας* A *τόμος* $\bar{\varepsilon}$ FsL *λόγος* $\bar{\varepsilon}$ B > Vn | **4** *δεσπότης* > L | **5** *οὐάλης* Vr | **7** *τινὰ* > GS | **9** *οὐαλεντινιανοῦ* BV | **10** *οὐάλεντος* Vn GSPc | **11** *γὰρ* > BN | **12** *τοῦ πατρὸς*] *αὐτοῦ* L | *γε* > By | **13** *οὖν*] *δὲ* BN Symeon | **14** *ἄπαιδος* = Symeon Cass.] *ἀπέδοσαν* B | *οὐάλεντος* VPc | **15** $\bar{\beta}$ am Rand HSS | **16** *βασιλεῖ* n | nach *προσήνεγκε* + *θεῷ* B = Nic.; vgl. unt. S. 341, 20 21 | **17** *γὰρ* > L | *ἀπεληλαμένους* GS | **18** *ποιμνίοις* — **19** *παραδοθῆναι* > F | **19** *παραδοθῆναι*] *ἀποδοθῆναι* H > V | *τὴν*] *τὴν τοῦ* n

δὲ οὗτος Ῥώμης ἐπίσκοπος ἦν, καὶ ἀξιεπαίνῳ βίῳ κοσμούμενος καὶ πάντα λέγειν καὶ πράττειν ὑπὲρ τῶν ἀποστολικῶν δογμάτων αἱρούμενος· μετὰ Λιβέριον δὲ τὴν τῆς ἐκκλησίας παρειλήφει κηδεμονίαν. συνεξέπεμψε δὲ τῷ νόμῳ καὶ Σάπωρα τὸν στρατηγὸν ὀνομαστότατον 3
5 τηνικάδε ὄντα· καὶ τῆς μὲν Ἀρείου βλασφημίας τοὺς κήρυκας, οἷόν τινας θῆρας, τῶν ἱερῶν σηκῶν ἐξελάσαι, τοῖς δὲ ἀρίστοις ποιμέσι καὶ τοῖς θείοις ποιμνίοις τούτους ἀποδοῦναι προσέταξε. καὶ ἐν ἑκάστῳ μὲν ἔθνει τοῦτό γε ἀδηρίτως ἐγένετο, ἐν Ἀντιοχείᾳ δὲ τῇ τῆς Ἑῴας ἡγουμένῃ ἔρις ἐγένετο περὶ τοῦδε τοιάδε.

10 Λιχῆ μέν, ὡς καὶ πρόσθεν εἰρήκαμεν, οἱ τῶν ἀποστολικῶν ὑπερα- 3
γωνιζόμενοι δογμάτων διῄρηντο. καὶ οἱ μὲν εὐθὺς μετὰ τὴν κατ᾽ Εὐσταθίου τοῦ μεγάλου τυρευθεῖσαν ἐπιβουλὴν τὴν Ἀρειανικὴν βδελυξάμενοι βδελυρίαν καὶ κατὰ σφᾶς αὐτοὺς ἀθροιζόμενοι, Παυλῖνον εἶχον ἡγούμενον· οἱ δὲ μετὰ τὴν Εὐζωΐου χειροτονίαν σὺν Μελετίῳ
15 τῷ πάνυ τῶν δυσσεβούντων ἀποκριθέντες καὶ τοὺς κινδύνους ἐκείνους οὓς διεξήλθομεν ὑπομείναντες, ὑπὸ τῆς Μελετίου σοφωτάτης διδασκαλίας ἰθύνοντο.

Πρὸς δὲ τούτοις Ἀπολινάριος ὁ Λαοδικεὺς ἑτέρας συμμορίας 2
ἑαυτὸν ἀπέφηνεν ἀρχηγόν· ὃς τὸ τῆς εὐσεβείας περιθέμενος προσω-
20 πεῖον καὶ τῶν ἀποστολικῶν δόξας ὑπερασπίζειν δογμάτων, μικρὸν ὕστερον προφανὴς ὤφθη πολέμιος. καὶ γὰρ περὶ τῆς θείας φύσεως 3
κιβδήλοις ἐχρήσατο λόγοις βαθμούς τινας ἀξιωμάτων γεννήσας, καὶ τὸ τῆς οἰκονομίας μυστήριον ἀτελὲς ἀποφῆναι τετόλμηκε, καὶ τὴν λογικὴν ψυχὴν τὴν ἰθύνειν τὸ σῶμα πεπιστευμένην ἑστερῆσθαι τῆς

10—17 ob. 72, 11 f. 172, 21 f. 180, 5 f. 262, 10 f — **18**—S. 280, 20 vgl. Theodoret. Haeret. Fabul. IV 8 PG 83, 425. Dialogus II ebd. 105 D ff. Presb. Georgios in Byz. Ztschr. IX 17. Leontii Byz. De sectis act. IV 2 PG 86¹, 1220 C

* **8**—S. 284, 4 Cass. IX 3 — **10—17** Theophan. 66, 26 — **18**—S. 282, 14 Niceph. H. E. XII 4 — **21**—S. 280, 10 Polydeukes 412, 22

B V F HN (n) + GSP (s) = r AL (y)

1 *ἐπίσκοποσ ῥώμησ ὢν* B | **3** *λιβερίου* V | *τὴν* nach *παρειλήφει* ∽ n | **4** *σάπορα* F *σάπωραν* V | **5** *καὶ* > V | **6** *σηκῶν* = *septis* Cass.] *σκηνῶν* B, vgl. S. 281, 17 | **7** *ἀποδοῦναι*] *ἀποδοθῆναι* VFn *restitui* Cass. | **8** *γε* > V | *ἀδηρίτωσ* Vry (s. Gr. aff. cur. S. 79, 21 Raeder) *ἀδιορίστωσ* B *ἀδιαιρέτωσ* F *ἀμάχωσ* Pm | **9** *περὶ τοῦδε* BVF > ry, *huiusmodi causa* Cass. | **10** *ȳ* am Rand HSS | **12** *τνδευθεῖσαν* B | **13** *παυλίνον* BV | **16** *διεξήλθαμεν* BS *διεξηλύθαμεν* G | **19** *προθέμενοσ* L | **19/20** *προσώπεῖον* B | **20** *δογμάτων* vor *δόξας* ∽ n | **21** *ὤφθη* = Nic.] *ἀπεφάνθη* GS *apparuit* Cass. | *θείας* = Cass. > V

γεγενημένης ἔφησε σωτηρίας. οὐκ εἰληφὼς γὰρ ταύτην κατὰ τὸν 4
ἐκείνου λόγον ὁ θεὸς λόγος, οὔτε ἰατρείας ἠξίωσεν, οὔτε τιμῆς μετέδωκεν· ἀλλὰ τὸ μὲν σῶμα τὸ γήϊνον ὑπὸ τῶν ἀοράτων προσκυνεῖται δυνάμεων, ἡ δὲ ψυχὴ ἡ κατ' εἰκόνα θείαν γεγενημένη κάτω μεμένηκε, τὴν τῆς ἁμαρτίας ἀτιμίαν περικειμένη. πολλὰ δὲ πρὸς τούτοις καὶ 5
ἕτερα ἐνεόχμωσεν ἐσφαλμένη καὶ τυφλωττούσῃ διανοίᾳ. ποτὲ μὲν 6
γὰρ συνωμολόγει καὶ αὐτὸς ἐκ τῆς ἁγίας παρθένου προσειλῆφθαι τὴν σάρκα, ποτὲ δὲ οὐρανόθεν ταύτην τῷ θεῷ λόγῳ συγκατεληλυθέναι ἔφησεν, ἄλλοτε δὲ αὐτὸν γεγενῆσθαι σάρκα, οὐδὲν ἐξ ἡμῶν εἰληφότα. καὶ ἑτέρους δὲ μύθους καὶ λήρους ταῖς θείαις ἐπαγγελίαις συνέζευξεν, οὓς καὶ λέγειν περιττὸν ἐπὶ τοῦ παρόντος νενόμικα. ἐκεῖνος μὲν 7
οὖν τοιαῦτα λέγων οὐ μόνον τοὺς οἰκείους τῆς λύμης ἐνέπλησεν, ἀλλὰ καί τισι τῶν ἡμετέρων τῆς λώβης μετέδωκε. χρόνῳ γὰρ ὕστερον τήν τε σφετέραν ὁρῶντες εὐτέλειαν καὶ τὴν τῆς ἐκκλησίας θεώμενοι περιφάνειαν, συνήφθησαν μὲν πλὴν ὀλίγων ἅπαντες καὶ τῆς ἐκκλησιαστικῆς κοινωνίας μετέλαχον· τὴν δὲ προτέραν οὐκ ἀπέθεντο νόσον, ἀλλὰ καὶ πολλοὺς τῶν πάλαι ἐρρωμένων ταύτης ἐνέπλησαν. ἐκ τῆσδε τῆς ῥίζης ἐν ταῖς ἐκκλησίαις ἐβλάστησεν ἡ μία τῆς 8
σαρκὸς καὶ τῆς θεότητος φύσις καὶ τὸ τῇ θεότητι τοῦ μονογενοῦς προσάπτειν τὸ πάθος καὶ τἄλλα ὅσα τοῖς τε λαοῖς καὶ τοῖς ἱερεῦσι τὴν διαμάχην γεγέννηκεν. ἀλλὰ ταῦτα μὲν ὕστερον γεγένηται.

Τότε δὲ ἀφικομένου Σάπωρος τοῦ στρατηγοῦ καὶ τὸν βασιλικὸν 9
ὑποδείξαντος νόμον, ἰσχυρίζετο μὲν ὁ Παυλῖνος αὐτὸς εἶναι τῆς Δα-

18—20 vgl. Anathematismen des Cyrillus und Gegen-Anathem. des Nestorius V u. XII: Hahn, Bibliothek der Symbole S. 313. 316—318

* **10** Suidas *Ἀπολινάριος* am Ende — **22**—S. 282, 6 Theophan. 66, 31 — **23**—S. 282, 17 Cod. syriac. Br. Mus. Add. 14, 533 f. 168r (= Σ)

B V F HN (n) + GSP (s) = r AL (y)

2/3 *μεταδέδωκεν* B | **4** *ἡ*2 > VF | **5/6** *καὶ ἕτερα πρὸς τούτοις* A | **6** *ἐνεόχμωσεν* B *ἐνεώχμωσεν* V *εἶπεν* Fry *asseruit* Cass. | *ἐσφαλμένη — διανοίᾳ* > B am Ende der Seite, *vesanus* Cass. | vor *διανοίᾳ* + *τῇ* P + *καὶ* L | **7** *γὰρ* > n, *etenim* Cass. | **8/9** *ἔφησεν* B *φησὶν* VFry > Cass. | **9** *δὲ* > s | **10** *δὲ* > V | **11** nach *παρόντος* + *εἶναι* B, vgl. S. 168, 5 | **12** *λύμης*] *βλάβης* H | **13** *τῆς λώβης*] *ταύτης* n, *huiusmodi lepra* Cass. | *γὰρ*] *δὲ* V, *vero* Cass. | **14** *τε* > P | **18** *ἐκ τῆσδε*] *ἐκ δὲ* s, *ex hac ergo* Cass. | **19** *τῆς* > VFr | **20** *τοῖσ τε* BV *τε τοῖσ* SP *τοῖσ* nG *τε τοῖσ ἄλλοισ* y *τοῖσ ἄλλοισ* F, *et alia quaecumque populis* Cass. | *λαοῖς* > F | **21** *γεγέννηκεν*] *γεγενημένην* P | **22** *Τότε δὲ*] *τὸ δὲ* B | **23** *παυλίνοσ* B, u. so immer

μάσου μερίδος, ἰσχυρίζετο δὲ καὶ Ἀπολινάριος κατακρύπτων τὴν νόσον· ὁ δὲ θεῖος Μελέτιος ἡσυχῇ καθῆστο, τῆς ἐκείνων ἀνεχόμενος ἔριδος. Φλαβιανὸς δὲ ὁ σοφώτατος, τῷ τῶν πρεσβυτέρων ἐγκατειλεγμένος ἔτι χορῷ, πρῶτον μὲν πρὸς τὸν Παυλῖνον ἔφη τοῦ στρατηγοῦ ἐπαΐοντος· »εἰ τὴν Δαμάσου, ὦ φιλότης, κοινωνίαν ἀσπάζῃ, ἐπίδειξον ἡμῖν σαφῶς τὴν τῶν δογμάτων συγγένειαν· ἐκεῖνος γὰρ μίαν τὴν τῆς τριάδος οὐσίαν ὁμολογῶν τὰς τρεῖς ὑποστάσεις διαρρήδην κηρύττει. σὺ δὲ ἄντικρυς τῶν ὑποστάσεων ἀναιρεῖς τὴν τριάδα. δεῖξον δὴ οὖν τῶν δογμάτων τὴν συμφωνίαν καὶ λάβε τὰς ἐκκλησίας κατὰ τὸν νόμον«. οὕτως ἐκεῖνον τοῖς ἐλέγχοις ἐπιστομίσας, πρὸς τὸν Ἀπολινάριον ἔφη· »θαυμάζω σε, ὦ φιλότης, οὕτως ἀναίδην τῇ ἀληθείᾳ μαχόμενον, καὶ ταῦτα σαφῶς ἐπιστάμενον ὡς ὁ θαυμάσιος Δάμασος τελείαν ὑπὸ τοῦ θεοῦ λόγου τὴν ἡμετέραν φύσιν ἀνειλῆφθαί φησιν, σὺ δὲ τοὐναντίον λέγων διατελεῖς· τὸν γὰρ νοῦν τὸν ἡμέτερον τῆς σωτηρίας ἀποστερεῖς. εἰ δὲ ψευδῆ φαμεν ταῦτά σου κατηγοροῦντες, νῦν γοῦν τὴν ὑπὸ σοῦ τεχθεῖσαν ἀρνήθητι καινοτομίαν καὶ τὴν Δαμάσου στέρξον διδασκαλίαν καὶ τοὺς θείους λάβε σηκούς«. ὁ μὲν οὖν σοφώτατος Φλαβιανὸς τοῖς ἀληθέσι λόγοις τὴν ἐκείνων κατέπαυσε παρρησίαν. Μελέτιος δέ, ὁ πάντων ἀνθρώπων πραότατος, φιλοφρόνως ἅμα καὶ ἡπίως ἔφη πρὸς τὸν Παυλῖνον· »ἐπειδὴ καὶ ἐμοὶ τῶνδε τῶν προβάτων τὴν ἐπιμέλειαν ὁ τῶν προβάτων ἐνεχείρισε κύριος καὶ σὺ τῶν ἄλλων ἀναδέδεξαι τὴν φροντίδα, κοινωνεῖ δὲ ἀλλήλοις τῆς εὐσεβείας τὰ θρέμματα, συνάψωμεν, ὦ φιλότης, τὰ ποίμνια καὶ τὴν περὶ τῆς ἡγεμονίας καταλύσωμεν διαμάχην· κοινῇ δὲ τὰ πρόβατα νέμοντες κοινὴν αὐτοῖς προσενέγκωμεν θεραπείαν. εἰ δὲ ὁ μέσος θῶκος τὴν ἔριν γεννᾷ, ἐγὼ καὶ ταύτην ἐξελάσαι πειράσομαι. ἐν γὰρ τούτῳ τὸ θεῖον προτεθεικὼς εὐαγγέλιον, ἑκατέρωθεν

B V F HN (n) + GSP (s) = r AL (y)

3 *ἐνκατειλεγμένος* B | **5** *φιλότης*] *φίλε* B *amice* Cass., s. zu Z. 23 | **6** *συγγένειαν* = Nic.] *εὐσέβειαν* n, *consortium* Cass. | *τὴν*[2] nur in B, vgl. Haeret. Fabul. 425 C | **10** *οὕτος* B | *ἐπιστομήσας* BG | **11** *φιλότης* VF Nic. *φίλε* B *φίλος* ry *amice* Cass. | *οὕτως* vor *ὦ* ∼ VF, Cass. wie im Text | *ἀναίδην*] *ἀναιδῆ* B *ἀνέδην* VS, *impudenter* Cass. | **11/12** *τῆς ἀληθείας* N *κατὰ τῆς ἀληθείας* H **12** *ἐπιστάμενος* VF | **13** *θεοῦ* > n, *deo* Cass. | **14** *τὸν γὰρ* — **15** *ἀποστερεῖς* = Cass. Σ > n | **16** *τὴν*[2]] *τὴν τοῦ* L | **20** *ἔφησε* n | **21** *τὴν ἐπιμέλειαν* — *προβάτων* > F | *ὁ τῶν προβάτων* = Nic. Σ] *ὁ τῶν ὅλων* L > Cass. | **22** *κοινωνεῖ* = Nic. Σ] *κοινῇ* Fn, als Imperativ mißverstanden von Cass. | **23** *φιλότης* = Nic.] *φίλε* B *amice* Cass.; s. Gr. aff. cur. S. 29, 14; 42, 12; 121, 16 u. oft [Raeder] | **24** *διαλύσωμεν* n | **26** *θῶκος*] *θρόνος* B Nic. | *καὶ*] *δὲ* B, *etiam* Cass.

ἡμᾶς καθῆσθαι παρεγγυῶ. καὶ εἰ μὲν πρῶτος ἐγὼ δεξαίμην τοῦ βίου τὸ πέρας, μόνος σχήσεις, ὦ φιλότης, τὴν τῆς ποίμνης ἡγεμονίαν· εἰ δὲ σὺ πρότερος τοῦτο πάθοις, ἐγὼ πάλιν εἰς δύναμιν τῶν προβάτων ἐπιμελήσομαι«. ταῦτα ἡπίως μὲν ἅμα καὶ φιλοφρόνως ὁ θεῖος εἶπε **16** Μελέτιος, ὁ δὲ Παυλῖνος οὐκ ἔστερξεν. ὁ δὲ στρατηγὸς κριτὴς τῶν εἰρημένων γενόμενος τῷ μεγάλῳ Μελετίῳ τὰς ἐκκλησίας παρέδωκεν, ὁ δὲ Παυλῖνος διέμεινε τῶν ἐξ ἀρχῆς ἀποκριθέντων προβάτων ἡγούμενος.

Ἀπολινάριος δὲ τῆς τῶν ἐκκλησιῶν ἡγεμονίας διαμαρτών, διαρ- **4** ρήδην λοιπὸν τὴν καινοτομηθεῖσαν διδασκαλίαν ἐκήρυττε καὶ τῆς αἱρέσεως ἑαυτὸν ἀπέφηνεν ἀρχηγόν. καὶ αὐτὸς μὲν ἐν Λαοδικείᾳ τὰ πλεῖστα διέτριβεν· ἐν Ἀντιοχείᾳ δὲ ἤδη πρότερον ἐκεχειροτονήκει Βιτάλιον, βίῳ μὲν ἀρίστῳ κοσμούμενον καὶ τοῖς ἀποστολικοῖς δόγμασιν ἐντεθραμμένον, ὕστερον δὲ τὴν νόσον δεξάμενον.

Ὁ δὲ θεῖος Μελέτιος Διόδωρον ἐκεῖνον, οὗ καὶ πρόσθεν ἐμνήσθην, **2** τὸν ἐν τῷ παγχαλέπῳ κλύδωνι ἀβάπτιστον τὸ τῆς ἐκκλησίας διασώσαντα σκάφος, Ταρσῶν κατέστησε ποιμένα καὶ τὸ Κιλίκων αὐτῷ ἐνεχείρισεν ἔθνος. Ἀπαμείας δὲ τὴν ἀρχιερατικὴν ἐπιμέλειαν Ἰωάννῃ πεπίστευκεν, ὃς εἶχε μὲν καὶ τοῦ γένους τὴν περιφάνειαν, κατορθώ- μασι δὲ μᾶλλον οἰκείοις ἢ προγονικοῖς ἐλαμπρύνετο· κατὰ ταὐτὸν γὰρ αὐτὸν καὶ λόγος ἐκόσμει καὶ βίος. οὗτος ἐν τῷ τῆς ζάλης καιρῷ **3** τὸν τῶν ὁμοπίστων ἐκυβέρνησε σύλλογον, συνεργὸν δὲ εἶχε τὸν ἀξιέπαινον Στέφανον. ἀλλὰ καὶ τοῦτον ὁ θεῖος Μελέτιος εἰς ἑτέρους ἀγῶνας μετέστησε. μαθὼν γὰρ ὑπὸ τῆς Εὐδοξίου λώβης διεφθάρθαι τὴν Γερμανίκειαν, τοῦτον ἀπέστειλεν ἰατρὸν ἀλεξίκακον· καὶ διὰ πάσης γὰρ ἧκτο παιδείας Ἑλληνικῆς καὶ τοῖς θείοις ἐνετέθραπτο δόγ- μασι. καὶ τῆς ἐλπίδος οὐκ ἐψεύσθη· τῇ γὰρ πνευματικῇ χρώμενος **4** διδασκαλίᾳ μετέβαλε τοὺς λύκους εἰς πρόβατα.

1—4 vgl. Socrat. V 5, 6. Sozomen. VII 3, 4 — **9—14** vgl. Sozomen. VI 25, 1—2. Chronic. Paschal. a. 362 S. 548, 5 — **15/16** ob. S. 154, 12 f. 263, 8 f

* **15—17** Theophan. 67, 5 — **15**—S. 284, 4 Niceph. H. E. XII 5

B [bis **21** *λόγος*] B⁴ [von **21** *ἐκόσμει* an] V F HN (n) + GSP (s) = r AL (y)

2 *σχήσεις* ὦ V *ἔχεις εἶσω* B *σχῆς* ὦ Fry, das Futurum bezeugen Nic. Cass. Σ | *φιλότης* VFN *φίλος* die übr. HSS > Cass. | **3** *τοῦτο πρότερος* ∾ VF **6** *γενάμενος* B | *τὰς ἐκκλησίας* = Nic. Cass. Σ] *τῆς ἐκκλησίας τὴν ἡγεμονίαν* B **9** kein neues Capitel in HSS | **12** *κεχειροτονήκει* BF | **16** *παγχαλέπῳ* BP | **17** *ταρσῶν* BVF Nic. *ταρσέων* ry *Ταρσοῦ* Theophan. | *ποιμένα κατέστησεν* B Cass. | **18** *ἀπαμίας* B | *δὲ* > P | **19** *μὲν* > s | *τὴν* > GS | **22** *τὸν*¹ > P | **26** *ἐνετέθραπτο* nPy *ἐντέθραπτο* die übr. HSS

Ὁ δὲ μέγας Εὐσέβιος ἐκ τῆς ὑπερορίας ἐπανελθὼν Ἀκάκιον μέν, 5 [δ']
οὗ πολὺ τὸ κλέος, ἐν Βεροίᾳ κεχειροτόνηκεν, ἐν Ἱεραπόλει δὲ
Θεόδοτον, οὗ τὴν ἀσκητικὴν πολιτείαν μέχρι καὶ τήμερον ᾄδουσιν
ἅπαντες, Εὐσέβιον δὲ Χαλκίδος, Κύρου δὲ τῆς ἡμετέρας Ἰσίδωρον
ἀξιαγάστω δὲ ἤστην ἄμφω καὶ ζήλῳ θείῳ κεκοσμημένω. φασὶ δὲ 6
αὐτὸν καὶ Εὐλόγιον ἐκεῖνον, τὸν ὑπὲρ τῶν ἀποστολικῶν ἠγωνισμένον
δογμάτων καὶ εἰς τὴν Ἀντινὼ μετὰ Πρωτογένους ἀπεσταλμένον,
τῆς Ἐδέσσης κεχειροτονηκέναι ποιμένα· Βάρσης γὰρ ὁ θεσπέσιος
ἤδη τοῦ βίου τὸ τέλος ἐδέδεκτο. Εὐλόγιος δὲ Πρωτογένην, τῶν
ἀγώνων τὸν κοινωνόν, ταῖς Κάρραις ἐπέστησεν, ἰατρὸν ἀλεξίκακον
οὐκ εὖ διακειμένῃ δωρησάμενος πόλει. ὁ δὲ θεῖος Εὐσέβιος ἔσχατον 7
ἐπίσκοπον Μάριν τῇ Δολιχῇ κεχειροτόνηκε· πολίχνη δὲ αὕτη σμικρὰ
καὶ τῆς Ἀρειανικῆς νόσου κατ' ἐκεῖνο καιροῦ μετειλήφει. τοῦτον
τὸν Μάριν, ἀξιέπαινον ὄντα καὶ πολλοῖς εἴδεσιν ἀρετῆς ἠγλαϊσμένον,
ἐνιδρῦσαι τοῖς ἱερατικοῖς ἐθελήσας θώκοις, ὁ μέγας Εὐσέβιος τὴν
Δολιχὴν κατέλαβεν. εἰσιόντι δὲ αὐτῷ γυνή τις τῆς Ἀρειανικῆς νόσου 8
ἐμπεπλησμένη κέραμον ἄνωθεν ἐπαφῆκεν ἀπὸ τοῦ στέγους, ὃς τήν
τε κεφαλὴν συνέτριψε καὶ μετ' ὀλίγον εἰς τὸν ἀμείνω βίον παρέ-
πεμψεν. ὁ δὲ τελευτῶν παρηγγύησεν, ὅρκοις τοὺς παρόντας πεδή-
σας, μηδεμίαν τὴν τοῦτο δράσασαν εἰσπρᾶξαι ποινήν. καὶ τὸν οἰκεῖον γὰρ 9
ἐζήλου δεσπότην, ὃς περὶ τῶν ἐσταυρωκότων ἔφη· »πάτερ, ἄφες
αὐτοῖς, οὐ γὰρ οἴδασι τί ποιοῦσι«, καὶ τὸν ὁμόδουλον Στέφανον
μετὰ τὰς πολλὰς τῶν λίθων νιφάδας βοήσαντα· »κύριε, μὴ στήσῃς
αὐτοῖς τὴν ἁμαρτίαν ταύτην«. τοιοῦτον μετὰ τοὺς παντοδαποὺς

1—5 vgl. Theodoret. Relig. Histor. 3 PG 82, 1332 B — **5—11** vgl. ob. IV 18 — **21/22** Luk. 23, 34 — **23 24** Act. 7, 60. vgl. unt. S. 289, 24 f

* **1—19** Theophan. 67, 6. Exc. Bar. f. 221v — **16—24** Synax. 763, 22

B⁴ V F HN (n) + GSP [P bis **8** *κεχειροτονηκέναι*] (s) = r AL (y)

1 *Ὁ δὲ*: $\overline{\delta}$ am Rand Fry | **3** *Θεόδωτον* A | **4** *ἅπαντες* > V Cass. *Χαλκίδος* = Nic.] *χαλκηδόνος* n, *Chalcide* Cass. | *κύρρου* s, zweites ρ expungiert in P | **7** *ἀντινῶ* A | **8** *ἐδέσσης* VNsL | **9** *ἤδη* > F, *iam* Cass. | *ἐδέξατο* n | **10** *τὸν* = Nic. > s, ausradiert V | **12** *τῇ Δολιχῇ*] *τῇι δολίχηι* V *τῇ Δολίχνῃ* Nic. *δολίχῃ* Theophan. Cod. b (aber *δολιχῇ* Exc. Bar. *δολικῇ* Codd. fhmx *δωλικῇ* Cod. g) | *μικρὰ* B⁴ | **13** *καιροῦ* B⁴ *τοῦ καιροῦ* VFry; vgl. S. 206, 8 | *κατειλήφει* V **14** *ἀρετῆς* B⁴VF Nic. *ἀρετῶν* ry, vgl. S. 146, 20; 155, 8; 288, 17 | **15** *ὁ μέγας Εὐσέβιος* > VF | **16** *δολίχην* V *δολίχνην* Nic. | **17** *τέγονς* B⁴ | **18 19** *μετέπεμψεν* B⁴ | **19** *ὅρκοις* = Cass. > s | **20** *δράσασαν* = Nic.] *πράξασαν* V | **22** *ὁμόδουλον* A | **24** *τοιοῦτον* B⁴VF *τοιοῦτο* ny *τοῦτο* s Nic., *hoc ergo modo* Cass.

ἀγῶνας ὁ μέγας Εὐσέβιος ἐδέξατο τὸ τέλος· καὶ τοὺς ἐν Θράκῃ βαρβάρους διαφυγών, τὰς τῶν δυσσεβῶν αἱρετικῶν οὐ διέφυγε χεῖρας, ἀλλὰ δι' ἐκείνων τὸν τοῦ μαρτυρίου στέφανον ἀνεδήσατο. ταῦτα μὲν οὖν μετὰ τὴν ἐπάνοδον τῶν ἐπισκόπων ἐγένετο. Γρατιανὸς δὲ τὴν Θράκην δῃουμένην μαθὼν ὑπὸ τῶν τὸν Βάλεντα κεκαυκότων βαρβάρων, καταλιπὼν τὴν Ἰταλίαν εἰς τὴν Πανονίαν ἀφίκετο.

Κατ' ἐκεῖνον δὲ τὸν καιρὸν Θεοδόσιος διά τε τὴν τῶν προγόνων περιφάνειαν καὶ διὰ τὴν οἰκείαν ἀνδρείαν ὀνομαστότατος ἦν, καὶ τούτου χάριν ὑπὸ τοῦ φθόνου τῶν ὁμοτίμων τε καὶ ὁμοφύλων βαλλόμενος ἐν ταῖς Σπανίαις διέτριβεν· ἐν ἐκείναις γὰρ ἔφυ τε καὶ ἐτράφη. ἀπορῶν δὴ οὖν ὁ βασιλεὺς ὅ τι χρὴ δρᾶσαι (φυσηθέντες γὰρ ἐκ τῆς νίκης οἱ βάρβαροι δύσμαχοι ἦσάν τε καὶ ἐδόκουν), τὴν Θεοδοσίου στρατηγίαν λύσιν ὑπέλαβε τῶν κακῶν. αὐτίκα δὴ οὖν ἐκ τῶν Σπανιῶν τὸν ἄνδρα μεταπεμψάμενος καὶ στρατηγὸν χειροτονήσας, μετὰ τῆς συνειλεγμένης ἐξέπεμψε στρατιᾶς. ὁ δὲ τῇ πίστει φραξάμενος θαρσαλέως ἐξώρμησε· καὶ τῆς Θράκης ἐπιβὰς καὶ τοὺς βαρβάρους θεασάμενος ὁμόσε χωροῦντας, ἔταξε τὴν στρατιὰν ὡς εἰς μάχην. ἀψιμαχίας δὲ γενομένης, οὐκ ἐνεγκόντες ἐκεῖνοι τὴν ἐμβολὴν τὴν τάξιν κατέλιπον. τῆς δὲ τροπῆς γενομένης, οἱ μὲν ἔφευγον, οἱ δὲ κατὰ κράτος ἐδίωκον. πολὺς δὲ φόνος τῶν βαρβάρων ἐγένετο· οὐ μόνον γὰρ ὑπὸ Ῥωμαίων ἀλλὰ καὶ ὑπ' ἀλλήλων ἐκτείνοντο. οὕτω δὲ τῶν πλείστων ἀναιρεθέντων, ὀλίγων δὲ τῶν λαθεῖν δυνηθέντων διαβάντων τὸν Ἴστρον, εὐθὺς ὁ ἄριστος στρατηγός, ἣν εἶχε στρατιὰν ἐν ταῖς πελαζούσαις πόλεσι διελών, αὐτὸς πρὸς τὸν βασιλέα Γρατιανὸν

7—11 vgl. Georg. Mon. 562, 17—23 — **11**—S. 285, 21 vgl. Synops. 61, 23. Zonar. XIII 17, 9 f S. 83, 6. Georg. Mon. 563, 6—16

* **4—23** Symeon. Vita Ambrosii 7—9 — **4**—S. 286, 17 Cass. IX 4 — **7**—S. 285, 21 Niceph. H. E. XII 1

B⁴ V F HN (n) + GS (s) = r AL (y)

1 *τὸ* B⁴F Nic. > Vry | nach *ἐν* + *τῇ* A | **4** *Γρατιανὸς*: *ē* am Rand r | **5** *τὸν* > s | *οὐάλεντα* Vr | **6** *Πανονίαν* = Symeon] *παννίαν* (*πανν* am Zeilenende) V *παρωνίαν* B⁴ *poeniam* Cass. Cod. L | **7** *ē* am Rand VFy | **9** *ὑπὸ τῶν ὁμοτίμων φθόνω* s | *τε* (*τε* > V) *καὶ ὁμοφύλων* B⁴V > Fry Nic. Symeon, *invidia similium iudicum fatigatus* Cass.; vielleicht eine Spur der Wörter auch bei Nic.: *ἄνδρα εὐγενῆ τε καὶ περιώνυμον ἐν ταῖς στρατηγίαις, καὶ πλεῖστα ταῖς ὑπὲρ τῶν ὁμοφύλων μάχαις ἀγωνισάμενον* | **10** *Σπανίαις* = Symeon] *ἱσπανίαις* Fy Nic. | **14** *σπανίων* B⁴ *ἱσπανιῶν* VFy | **16** *θαρραλέως* n | **17** *ὡς* aus *εἰς* corr. A | **18** *εἰσβολὴν* L | **19** *ἔφυγον* r, *fugiebant* Cass. | **24** *πλησιαζούσαις* L

κατὰ τάχος ἐλαύνων ἀφίκετο, τῶν οἰκείων τροπαίων γενόμενος ἄγγελος. καὶ πιστὰ μὲν λέγειν οὐδὲ αὐτῷ ἐδόκει τῷ βασιλεῖ, ὑπερεκπλητομένῳ τὸ γεγονός· οἱ δὲ ταῖς ἀκίσι τοῦ φθόνου βαλλόμενοι καὶ πεφευγέναι αὐτὸν ἔλεγον καὶ διεφθαρκέναι τὴν στρατιάν. ὁ δὲ τοὺς ἀντιτεταγμένους ἐξήτησεν ἀποστεῖλαι καὶ γνῶναι τῶν ἀνηρημένων βαρβάρων τὸ πλῆθος. ῥᾴδιον δὲ ἔφη καὶ ἀπὸ τῶν σκύλων ἐπιγνῶναι τὸν ἀριθμόν. τούτοις εἴξας τοῖς λόγοις ὁ βασιλεὺς ἀπέστειλε τοὺς ὀψομένους τὰ πεπραγμένα καὶ ταῦτα μηνύσοντας. 5 6

Ὁ δὲ ἄριστος στρατηγὸς αὐτόθι μείνας ὄψιν εἶδε θεσπεσίαν τινὰ καὶ παρ᾽ αὐτοῦ σαφῶς αὐτῷ δειχθεῖσαν τοῦ τῶν ὅλων θεοῦ. ἐδόκει γὰρ ὁρᾶν τὸν θεῖον Μελέτιον, τῆς Ἀντιοχέων ἐκκλησίας τὸν πρόεδρον, χλανίδα τε αὐτῷ περιτιθέντα βασιλικὴν καὶ παραπλησίῳ στεφάνῳ κοσμοῦντα τὴν κεφαλήν. ταῦτα νύκτωρ ἰδὼν ἐμήνυσεν ἕωθεν τῶν συνήθων τινί. ὁ δὲ σαφὲς εἶναι τὸ ἐνύπνιον ἔφη καὶ μηδὲν αἰνιγματῶδες μηδὲ ἀμφίβολον ἔχειν. ὀλίγων δὲ ἄγαν διελθουσῶν ἡμερῶν, ἐπανῆλθον μὲν τῶν πεπραγμένων οἱ ἔφοροι, καὶ κατηκοντίσθαι τὰς πολλὰς τῶν βαρβάρων ἔφησαν μυριάδας. πεισθεὶς δὲ ὁ βασιλεύς, ὡς ἄριστα ψηφισάμενος αὐτὸν στρατηγόν, βασιλέα κεχειροτόνηκε καὶ τῆς Βάλεντος μοίρας τὰ σκῆπτρα παρέδωκε. καὶ αὐτὸς μὲν ἐπὶ τὴν Ἰταλίαν ἐξώρμησεν, ἐκεῖνον δὲ εἰς τὴν δοθεῖσαν ἡγεμονίαν ἐξέπεμψεν. 2 3 4

Εὐθὺς δὴ οὖν τὴν βασιλείαν παραλαβὼν τῆς τῶν ἐκκλησιῶν [ζ΄] πρὸ τῶν ἄλλων συμφωνίας ἐπεμελήθη, καὶ τοὺς τῆς οἰκείας ἡγεμονίας ἐπισκόπους εἰς τὴν Κωνσταντινούπολιν δραμεῖν παρηγγύησεν. αὕτη γὰρ μόνη τῆς Ἀρειανικῆς ἐνεπέπλησστο λώβης· ἡ γὰρ Ἑσπέρα τῆς νόσου ταύτης ἐλευθέρα διέμεινε. Κωνσταντῖνος μὲν γὰρ ὁ τῶν

10—12 vgl. Georg. Mon. 562, 10

* **17**—S. 286, 6 Symeon. Vita Ambrosii 9

B⁴ V F HN (n) + GS (s) = r AL (y)

3 *ἀκτίσι* NS | **5** *τὴν* A | *ἀνημέρων* B⁴F, *peremptorum* Cass. | **8** *πεπραγμένα*] *πράγματα* s | **9** am Rand ξ Fry | *αὐτόθι*] *αὐτοῦ* ry, s. 288, 28 | vor *ὄψιν* + *καὶ* s | **12** *περιτιθέντα βασιλικὴν* B⁴VF Nic. *βασιλικὴν περιθέντα* ry, *conspexit . . . quia . . Meletius . . . chlamydem sibi vestiret imperialem* Cass., vgl. *ἐπιτιθέντα* Synops. | **17** *πεισθεὶς*] *ἡσθεὶσ* S Symeon *laetatus* Cass. | **18/19** *τοῦ βάλεντοσ τῆσ μοίρασ* B⁴ | **19** *οὐάλεντοσ* Vr | **20/21** *ἐξέπεμψεν* B⁴VFs Nic. *παρέπεμψεν* ny Symeon *transmisit* Cass. | **22** *Εὐθὺς*: ζ am Rand VFr | *δὴ* > B⁴ | **23** *συμφωνίας πρὸ τῶν ἄλλων* ~ L | **25** *ἐπέπληστο* s | **26** *μὲν* Fm > B⁴ Symeon *γὰρ* > L

Κωνσταντίνου παίδων πρεσβύτατος καὶ Κώνστας ὁ νεώτατος τὴν πατρῴαν πίστιν ἀκήρατον διετήρησαν· καὶ αὖ πάλιν Βαλεντινιανὸς ὁ τῆς Ἑσπέρας βασιλεὺς ἀκραιφνῆ διεφύλαξε τὴν εὐσέβειαν.

Τὸ δὲ τμῆμα τὸ ἑῷον πολλαχόθεν τὴν λώβην ταύτην ἐδέξατο. **7** *Ἄρειός τε γάρ, Ἀλεξανδρείας τῆς Αἰγυπτίας πρεσβύτερος ὤν, ἐκεῖ τὴν βλασφημίαν ἐγέννησε· καὶ Εὐσέβιος καὶ Πατρόφιλος καὶ Ἀέτιος οἱ Παλαιστῖνοι, καὶ Παυλῖνος καὶ Γρηγόριος οἱ Φοίνικες, καὶ ὁ Λαοδικείας Θεόδοτος καὶ ὁ μετὰ τοῦτον Γεώργιος, καὶ μετὰ τούτων Ἀθανάσιός τε καὶ Νάρκισσος οἱ Κίλικες τὰ κακῶς καταβληθέντα ἐξέθρεψαν σπέρματα. Εὐσέβιός τε καὶ Θεογόνιος οἱ Βιθυνοὶ καὶ Μηνόφαντος ὁ Ἐφέσιος καὶ Θεόδωρος ὁ Περίνθιος καὶ Μάρις ὁ Χαλκηδόνιος καὶ ἕτεροί τινες ἀπὸ τῆς Θράκης, ἀπὸ κακίας μόνης ἐπίσημοι, μέχρι πολλοῦ διετέλεσαν τῶν ζιζανίων τὴν σπορὰν ἀρδεύοντές τε καὶ διαθάλποντες. τοῖς δὲ κακοῖς συνέπραξε γεωργοῖς Κων-* **2** *σταντίου ἡ εὐκολία καὶ ἡ Βάλεντος μοχθηρία. τούτου δὴ εἵνεκα μόνης τῆς οἰκείας βασιλείας τοὺς ἐπισκόπους εἰς τὴν Κωνσταντινούπολιν συναθροισθῆναι προσέταξεν.*

Ἐπειδὴ δὲ ἀφίκοντο (πεντήκοντα δὲ ἦσαν καὶ ἑκατόν), παρηγ- [η΄] *γύησε μηδένα οἱ μηνῦσαι ὅστις ὁ μέγας εἴη Μελέτιος· ἐβούλετο γὰρ ἐκ τῆς τοῦ ἐνυπνίου μνήμης μηνυθῆναι τὸν ἄνδρα. καὶ ἐπειδὴ εἰς τὸν* **3** *βασίλειον εἰσελήλυθεν οἶκον ἅπας ἐκεῖνος τῶν ἐπισκόπων ὁ ὅμιλος, τοὺς ἄλλους καταλιπὼν ἅπαντας τῷ μεγάλῳ Μελετίῳ προσέδραμε, καὶ οἷόν τις παῖς φιλοπάτωρ διὰ χρόνου μακροῦ θέας πατρικῆς ἀπολαύσας, περιεπτύσσετό τε καὶ κατεφίλει καὶ ὀφθαλμοὺς καὶ χείλη καὶ στέρνα καὶ τὴν κεφαλὴν καὶ τὴν στεφανώσασαν δεξιάν· ἐδήλωσε*

23 vgl. ob. S. 32, 22

* **15—18** Symeon. Vita Ambrosii 9

B⁴ V F HN (n) + GS (s) = r AL (y)

2 *οὐαλεντινιανὸς* V | **3** *διεφύλαξε* = Symeon] *διετήρησε* V | **4** *Τὸ δὲ*: kein neues Capitel HSS | *τὸ ἑῶον* B⁴sy Symeon *τῶν ἑώων* n *τῆσ ἕω* VF *orientis* Cass. | *ταύτην τὴν λώβην* ∾ s | **5** *Ἄρειός τε*: ξ̄ am Rand y | nach *γάρ* + *ὁ* B⁴ | **7** *παλαιστηνοί* B⁴S | **8** *μετὰ τούτων* B⁴] *μετὰ τοῦτον* VFn *μετὰ τούτουσ* y *post quos* Cass. *μετ᾽ αὐτὸν* s | **9** *τε* > B⁴VHs | *νάρκισσοσ* Ns | **10** *θεόγνιοσ* VAc | **11** *περίνθου* y | **12** *καλχηδόνιοσ* y | **13** *τῶν*] *τῶν τε* V *τὴν* vor *τῶν* ∾ sy | **13/14** *ἀρδεύοντέσ τε καὶ διαθάλποντεσ* B⁴V *ἄρδοντέσ τε καὶ θάλποντεσ* Fry | **14** *διέπραξεν* F | **15** vor *ἡ*¹ + *τε* ry | *ἕνεκα* y | **17** *ἀθροισθῆναι* B⁴, Symeon wie im Text | **18** *η̄* am Rand HSS | **19** *οἱ* B⁴V *αὐτῷ* ry > F | *Μελέτιος εἴη* ∾ A | **21** *ὁ* vor *τῶν* ∾ F | **25** *τὴν*¹ > ry

δὲ καὶ τὴν ὄψιν ἣν εἶδε. φιλοφρονησάμενος δὲ καὶ τοὺς ἄλλους ἅπαντας, βουλεύσασθαι περὶ τῶν προκειμένων ὡς πατέρας ἠξίωσε.

Κατ' ἐκεῖνον δὲ τὸν χρόνον ὁ τὴν Ναζιανζὸν τὰ τελευταῖα 8
ποιμάνας ἐν Κωνσταντινουπόλει διέτριβε, ταῖς Ἀρειανικαῖς ἀντιτατ-
τόμενος βλασφημίαις· καὶ τόν τε θεῖον λαὸν ταῖς εὐαγγελικαῖς ἄρδων
διδασκαλίαις τούς τε τῆς ποίμνης ἔξω πλανωμένους ἀγρεύων καὶ τῆς
ὀλεθρίου πόας ἐλευθερῶν, οὕτω τὴν ποίμνην ἐκείνην ἐξ ὀλίγης
μεγάλην ἀπέφηνε. τοῦτον ἰδὼν ὁ θεῖος Μελέτιος καὶ τῶν τὸν 2
κανόνα γεγραφότων τὸν σκοπὸν ἐπιστάμενος (τὰς γὰρ τῆς φιλαρχίας
ἀφορμὰς περικόπτοντες ἐκώλυσαν τὴν μετάθεσιν), ἐβεβαίωσε τῷ
θειοτάτῳ Γρηγορίῳ τὴν τῆς Κωνσταντινουπόλεως προεδρίαν. ὀλίγου
δὲ διελθόντος χρόνου, ὁ μὲν θεῖος Μελέτιος εἰς τὴν ἄλυπον μετέστη
ζωήν, ὑπὸ πάντων τῶν λόγου μετειληχότων ταῖς ἐπιταφίοις ταινιω-
θεὶς εὐφημίαις. Τιμόθεος δὲ ὁ τῆς Ἀλεξανδρέων ἐπίσκοπος, ὃς 3
Πέτρον διεδέξατο τὸν τῆς Ἀθανασίου προεδρίας κληρονόμον γενό-
μενον, ἀντὶ τοῦ θαυμασίου Γρηγορίου Μάξιμόν τινα κεχειροτόνηκε
κυνικόν, εὐθὺς αὐτοῦ τὰς κυνικὰς ἀποκείρας τρίχας· καὶ τῆς Ἀπολι-
ναρίου δὲ τερθρείας ἀνάπλεως οὗτος ἦν.

Ἀλλ' οὐκ ἤνεγκαν τοῦ γεγενημένου τὴν ἀτοπίαν οἱ τηνικαῦτα 4
συνειλεγμένοι. ἦσαν δὲ ἄνδρες ἀξιάγαστοι καὶ ζήλου θείου καὶ σοφίας
ἀνάπλεοι· Ἑλλάδιος μὲν ὁ τῆς τοῦ μεγάλου Βασιλείου προεδρίας
διάδοχος, Γρηγόριος δὲ καὶ Πέτρος οἱ τοὺς αὐτοὺς Βασιλείῳ πατέρας
αὐχήσαντες· Ἀμφιλόχιος δὲ Λυκαόνων ἡγεῖτο καὶ Πισιδῶν Ὄπτιμος
καὶ Κιλίκων Διόδωρος. παρῆν δὲ καὶ Πελάγιος ὁ Λαοδικείας καὶ 5

3—11 vgl. Socrat. V 7, 1. 8, 4. Sozomen. VII 5, 1. 3, 6. 7, 3. Rufin. H. E. XI 9 S. 1016, 21 — **9** Canon Nicaen. 15 (Mansi II 673—676) — **12—14** Socrat. V 9, 3. Gregor. Nyss. Orat. in Melet. PG 46, 852. Joh. Chrys. PG 50, 515 — **14—17** vgl. Sozomen. VII 9, 4. Gregor. Nazianz. Carmina PG 37, 1092, v. 910 f. PG 38, 610

* **3**—S. 289, 4 Cass. IX 13 (abgekürzt) — **8**—S. 288, 20 Cod. syriac. Br. Mus. 14, 533 f. 168r — **22**—S. 288, 1 Theophan. 69, 17

B⁴ V F HN (n) + GS (s) = r AL (y)

3 kein neues Capitel in HSS | *καιρὸν* VG *χρ. χρόνον* Vm | **4** *Ἀρειανικαῖς*] *ἀρείου μανικαῖσ* n | **5** *τε* > B⁴ | **6** *τῆς*¹ > V | **7** *ὀλεθρίασ* V | *ὀλίγου* n | **11** *θειοτάτῳ* > n | **12** *διεληλυθότοσ* VF *διελθῶτοσ* G | vor *χρόνου* + *τοῦ* B⁴ | **13** *τῶν*] *τῶν τοῦ* n | *μετειληφότων* s | **13/14** *ταινιωθεὶς*] *τελειωθεὶσ* n | **17** *ἑαυτοῦ* B⁴ | **17/18** *ἀπολλιναρίου* B⁴ | **18** *τερθρείας*] *θρησκείασ* n | *οὗτος* > y | **21** *ὁ* > B⁴FrL | **22** *αὐτοὺς*] *αὐτῷ* NGy

Εὐλόγιος ὁ Ἐδέσσης καὶ Ἀκάκιος καὶ Ἰσίδωρος ὁ ἡμέτερος καὶ Κύριλλος ὁ τῶν Ἱεροσολύμων, καὶ Γελάσιος ὁ Καισαρείας τῆς Παλαιστίνης, λόγῳ καὶ βίῳ κοσμούμενος, καὶ ἕτεροι πλεῖστοι τῆς ἀρετῆς ἀθληταί. τότε δὴ οὖν οὗτοι πάντες τῶν Αἰγυπτίων σφᾶς αὐτοὺς ἀποκρίναντες, 6 σὺν τῷ μεγάλῳ Γρηγορίῳ τὰς πανηγύρεις ἐπετέλουν τὰς θείας.

Ὁ δὲ θεῖος παρεκάλει Γρηγόριος συμφωνίας πέρι συνηθροισμένους τὴν πρὸς ἀλλήλους ὁμόνοιαν προτιμῆσαι τῆς ἑνὸς ἀνδρὸς ἀδικίας. »ἐγώ τε γάρ«, ἔφη, »τῶν πλειόνων φροντίδων ἀπαλλαγεὶς τὴν ἐμοὶ 7 φίλην ἀπολήψομαι ἡσυχίαν, καὶ ὑμεῖς τὴν τριπόθητον εἰρήνην μετὰ τὸν μακρὸν ἐκεῖνον καὶ χαλεπὸν ἀπολήψεσθε πόλεμον. τῶν γὰρ λίαν ἀτοπωτάτων ἄρτι τῶν πολεμικῶν ἀπαλλαγέντας βελῶν ἀλλήλους βάλλειν καὶ τὴν οἰκείαν ἀναλίσκειν ἰσχύν· ἐπίχαρτοι γὰρ οὕτω τοῖς δυσμενέσιν ἐσόμεθα. ἄνδρα δὴ οὖν ἐπιζητήσαντες ἀξιέπαινον καὶ νοῦν ἔχοντα, τῶν φροντίδων τὸ πλῆθος καὶ δέξασθαι καὶ εὖ διαθεῖναι δυνάμενον, ἀρχιερέα προβάλλεσθε.« ταύταις οἱ ἄριστοι ποι- 8 μένες ταῖς ὑποθήκαις πεισθέντες, Νεκτάριον, εὐπατρίδην ἄνδρα καὶ περιφανείᾳ γένους κοσμούμενον καὶ τοῖς τῆς ἀρετῆς εἴδεσι λαμπρυνόμενον, ἐπίσκοπον τῆς μεγίστης ἐκείνης ἐχειροτόνησαν πόλεως· τὸν δὲ Μάξιμον, ὡς τῆς Ἀπολιναρίου φρενοβλαβείας μετειληχότα, τῆς ἀρχιερατικῆς ἀξίας γυμνώσαντες ἀπεκήρυξαν. καὶ κανόνας δὲ περὶ 9 τῆς ἐκκλησιαστικῆς γράψαντες εὐκοσμίας καὶ τὴν ἐκτεθεῖσαν ἐν Νικαίᾳ πίστιν βεβαίαν μένειν διαγορεύσαντες, εἰς τὰς οἰκείας ἐπανῆλθον πατρίδας.

Τοῦ δὲ ἐπιγενομένου θέρους εἰς ἐκείνην αὖθις τὴν πόλιν οἱ 10 πλεῖστοι τούτων παραγενόμενοι (ἐκκλησιαστικαὶ γὰρ αὐτοὺς πάλιν συνεκάλεσαν χρεῖαι) συνοδικὴν ἐπιστολὴν τῶν τῆς Ἑσπέρας ἐπισκόπων ἐδέξαντο εἰς τὴν Ῥώμην αὐτοὺς ἀφικέσθαι προτρέπουσαν, ὡς συνόδου μεγίστης αὐτόθι συγκροτουμένης. ἀλλὰ τὴν μὲν ἀποδημίαν 11 παρητήσαντο, ὡς οὐδὲν ἔχουσαν κέρδος· ἐπέστειλαν δὲ τόν τε κλύ-

8—15 vgl. Gregor. Nazianz. Orat. XLII 20—24 — **16—18** vgl. Socrat. V 8, 12. Sozomen. VII 8. unt. S. 293, 17 f — **18—22** Mansi III 557 f — **26 f** vgl. unt. S. 290, 22 f?

B⁴ V F HN (n) + GS (s) = r AL (y)

1 *ὁ*¹ > A | *ἐδέσης* VFrL | **2** *τῶν* > ry | nach *Ἱεροσολύμων* + *ἐπίσκοπος* s | **3** *βίῳ καὶ λόγῳ* ∾ B⁴ | *κοσμούμενοι* V | **4** *σφᾶς* B⁴ | **6** *περὶ συμφωνίας* ∾ ry | **10** *ἀπολήψασθαι* V | **11** *πολεμίων ἀπαλλαγέντες* s **12** *οὗτοι* F | **15** *προβάλεσθε* VS | **17** *καὶ τοῖς* — **18** *λαμπρυνόμενον* > L **19** *ἀπολλιναρίου* B⁴ | **20** *ἀπογυμνώσαντες* s | *καὶ* A³ | **21/22** *ἐν νικαίᾳ πίστιν* B⁴ *πίστιν ἐν νικαία* VFry

δωνα τὸν κατὰ τῶν ἐκκλησιῶν ἐπαναστάντα σημαίνοντες καὶ τὴν γεγενημένην αὐτῶν ἀμέλειαν αἰνιττόμενοι, ἐν κεφαλαίῳ δὲ καὶ τὸ ἀποστολικὸν τοῖς γράμμασιν ἐνέθηκαν φρόνημα. σαφέστερον δὲ τὴν τῶν γεγραφότων ἀνδρείαν τε καὶ σοφίαν αὐτὰ δηλώσει τὰ γράμματα.

»*Κυρίοις τιμιωτάτοις καὶ εὐλαβεστάτοις ἀδελφοῖς καὶ συλλει-* **9**
»*τουργοῖς, Δαμάσῳ, Ἀμβροσίῳ, Βριττωνι, Οὐαλεριανῷ, Ἀχολίῳ,*
»*Ἀνεμίῳ, Βασιλείῳ καὶ τοῖς λοιποῖς ἁγίοις ἐπισκόποις τοῖς συνελη-*
»*λυθόσιν ἐν τῇ μεγαλοπόλει Ῥώμῃ, ἡ ἁγία σύνοδος τῶν ὀρθοδόξων*
»*ἐπισκόπων τῶν συνεληλυθότων ἐν τῇ μεγαλοπόλει Κωνσταντινου-*
»*πόλει, ἐν κυρίῳ χαίρειν.*

»*Τὸ μὲν ὡς ἀγνοοῦσαν διδάσκειν τὴν ὑμετέραν εὐλάβειαν καὶ δι-*
»*ηγεῖσθαι τῶν παθημάτων τὸ πλῆθος τῶν ἐπαχθέντων ἡμῖν παρὰ*
»*τῆς τῶν Ἀρειανῶν δυναστείας, περιττὸν ἴσως. οὔτε γὰρ οὕτω πάρ-* **2**
»*εργον τὰ καθ' ἡμᾶς κρίνειν τὴν ὑμετέραν ἡγούμεθα θεοσέβειαν ὡς*
»*δεῖσθαι τοῦ μαθεῖν ταῦτα οἷς ἐχρῆν συναλγεῖν, οὔτε τοιοῦτοί τινες*
»*οἱ περισχόντες ἡμᾶς χειμῶνες ὡς λανθάνειν ὑπὸ σμικρότητος· ὅ τε*
»*χρόνος τῶν διωγμῶν νεαρός, ἔναυλον ἔτι φυλάττων τὴν μνήμην οὐ*
»*τοῖς πεπονθόσι μόνον, ἀλλὰ καὶ τοῖς δι' ἀγάπην τὰ τῶν πεπονθό-*
»*των οἰκειουμένοις. χθὲς γὰρ ὡς εἰπεῖν ἔτι καὶ πρώην οἱ μὲν τῶν* **3**
»*τῆς ἐξορίας λυθέντες δεσμῶν εἰς τὰς ἑαυτῶν ἐκκλησίας διὰ μυρίων*
»*ἐπανήκασι θλίψεων, τῶν δὲ καὶ τελειωθέντων ἐν ταῖς ἐξορίαις ἐπανε-*
»*κομίσθη τὰ λείψανα. τινὲς δὲ καὶ μετὰ τὴν τῆς ἐξορίας ἐπάνοδον,* **4**
»*ἔτι βράζοντι τῷ τῶν αἱρετικῶν περιπεσόντες θυμῷ, πικρότερα τῶν*
»*ἐπὶ τῆς ἀλλοτρίας ἐπὶ τῆς οἰκείας ὑπέμειναν, λίθοις παρ' αὐτῶν*
»*τελειωθέντες κατὰ τὸν μακάριον Στέφανον· ἄλλοι διαφόροις κατα-*
»*ξανθέντες αἰκίαις ἔτι τὰ στίγματα τοῦ Χριστοῦ καὶ τοὺς μώλω-*

22—25 vgl. ob. S. 283, 16—24 — **25** vgl. Act. 7, 58 f — **26** Gal. 6, 17

* **5**—S. 294, 26 Niceph. H. E. XII 16 — **5**—S. 295, 5 Cass. IX 14

B⁴ V F HN (n) + GS (s) = r AL (y) W [von **5** an]

3 *ἐντέθεικαν* F | **4** *τε* > B⁴ | **5** ϑ̄ am Rand HSS | *συνοδικὸν παρὰ τῆσ ἐν κωνσταντινουπόλει συναθροισθείσησ συνόδου* am Rand V | **6** *βρίττονι* F *βρίτωνι* B⁴ *Brittonio* Cass. | *οὐαλλεριανῶ* FN | *ἀσχολίω* B⁴F, *Acholio* Cass. | **7** *ἐπισκόποις ἁγίοις* ∼ L | **8** u. **9** *μεγάλη πόλει* HW | **11** *τὴν ὑμετέραν εὐλάβειαν διδάσκειν* ∼ ry Cass. | **13** *ἀρειομανῶν* A, *ab ariana potentia* Cass. **15** *τινὲσ τοιοῦτοι* n | **16** *ὑπὸ* B⁴VFW *ἀπὸ* ry | **17** *ἔτι φυλάττων*] *ἔχων ἔτι* B⁴, *adhuc . . servat* Cass. | **21** *καὶ* > B⁴ Cass. | **23** *βράσσοντι* ryW | **26** *τοῦ Χριστοῦ* > B⁴, *Christi* Cass. | *τοὺς* > F

»πας ἐν τῷ σώματι περιφέρουσι. χρημάτων δὲ ζημίας καὶ προστιμή- 5
»σεις πόλεων, καὶ τὰς τῶν καθ' ἕνα δημεύσεις καὶ συσκευὰς καὶ ὕβρεις
»καὶ δεσμωτήρια τίς ἂν ἐξαριθμήσασθαι δύναιτο; πᾶσαι γὰρ ὄντως
»ἐφ' ἡμᾶς αἱ θλίψεις ἐπληθύνθησαν ὑπὲρ ἀριθμόν, ἴσως μὲν ἐπειδὴ
»δίκας ἁμαρτημάτων ἐτίναμεν, ἴσως δὲ καὶ τοῦ φιλανθρώπου θεοῦ
»διὰ τοῦ πλήθους τῶν παθημάτων ἡμᾶς γυμνάζοντος.

»Τούτων μὲν οὖν τῷ θεῷ χάρις, ὃς καὶ διὰ τοσούτων θλίψεων
»τοὺς ἑαυτοῦ δούλους ἐπαίδευσε, καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν
»αὐτοῦ πάλιν ἐξήγαγεν ἡμᾶς εἰς ἀναψυχήν. ἡμῖν δὲ μακρᾶς μὲν 6
»ἔδει σχολῆς καὶ πολλοῦ χρόνου καὶ πόνου πρὸς τὴν τῶν ἐκκλησιῶν
»ἐπανόρθωσιν, ἵν' ὥσπερ ἐκ μακρᾶς ἀρρωστίας ταῖς κατὰ μικρὸν ἐπι-
»μελείαις τὸ σῶμα τῆς ἐκκλησίας ἐκνοσηλεύοντες, πρὸς τὴν ἀρχαίαν
»τῆς εὐσεβείας ὑγίειαν ἐπαναγάγωμεν. καὶ γὰρ εἰ τὰ μάλιστα δοκοῦ- 7
»μεν τῆς τῶν διωγμῶν ἀπηλλάχθαι σφοδρότητος καὶ τὰς ἐκκλησίας
»χρονίως παρὰ τῶν αἱρετικῶν κατασχεθείσας ἀρτίως ἀνακομίζεσθαι,
»πλὴν ἀλλὰ βαρεῖς ἡμῖν οἱ λύκοι καὶ μετὰ τὸ τῆς μάνδρας ἐξωσθῆναι
»κατὰ τὰς νάπας τὰ ποίμνια διαρπάζοντες, ἀντισυνάξεις τολμῶντες,
»δήμων κινοῦντες ἐπαναστάσεις, ὀκνοῦντες οὐδὲν εἰς τὴν τῶν ἐκκλη-
»σιῶν βλάβην. ἦν μὲν οὖν, ὅπερ εἰρήκαμεν, ἀναγκαῖον πλείονα ἡμᾶς 8
»προσασχοληθῆναι χρόνον.

»Ἐπειδὴ μέντοι τὴν ἀδελφικὴν περὶ ἡμᾶς ἀγάπην ἐπιδεικνύμενοι,
»σύνοδον ἐπὶ τῆς Ῥώμης θεοῦ βουλήσει συγκροτοῦντες καὶ ἡμᾶς ὡς
»οἰκεῖα μέλη προσεκαλέσασθε διὰ τῶν τοῦ θεοφιλεστάτου βασιλέως

9 Psal. 65, 12 — **16** vgl. Act. 20, 29 — **19** ob. Z. 10 — **22 f** vgl. Mansi III 632 — **23** vgl. Röm. 12, 5. Eph. 4, 25

B⁴ V F HN (n) + GS (s) = r AL (y) W

1/2 *προστιμήσεις πόλεων* Val.] *προτιμήσεισ πόλεων Π honoris ademptiones* Cass.; vgl. *προστιμήματα* Greg. Nyss. Contra Eunom. I PG 45, 288 D (anläßlich derselben Sachlage) | **2** *δημεύσεις*] *δημοσιεύσεισ* B⁴, *confiscationes* Cass., *δημεύσεις* Greg. Nyss. ebd. | *συσκευὰς*] *συμφορὰσ συσκευάσ τε* B⁴, Cass. wie im Text **3** *δύναιτο* B⁴VW *valebit* Cass. *δύναται* Fry | **4** *ἐπειδὴ*] *ἐπεὶ* n | **5** *ἐτίναμεν* B⁴F *ἐτίνομεν* VHW *ἐτίννυμεν* S, vgl. Cass.: *iuste quidem quoniam valde peccavimus* | *θεοῦ* > n, *dominus* Cass. | **7** *θεῷ*] *χῷ* L, *deo* Cass. | **9** *ἐξήγαγεν*] *ἀνήγαγεν* B⁴s, *deduxit* Cass., vgl. *ἐξήγαγες* Psal. | *ἡμᾶς*] *αὐτοὺσ* B⁴, *nos* Cass. | **10** *πόνου καὶ χρόνου* B⁴ *tempus et labor* Cass. *χρόνου* W | **11** *ἀρρωστίας*] *ἀσθενείασ* s **12** *ἐκνοσηλεύοντοσ* B⁴F | **13** *ὑγείαν* sy | **14** *διωγμῶν*] *δογμάτων* L | **16** *οἱ* > ry | **21** nach *ἡμᾶς* + *σώζοντεσ στοργὴν καὶ τὴν* B⁴W, fehlt bei Cass.; vgl. S. 291, 23 | **23** *τοῦ θεοφιλεστάτου*] *θεοφιλεστάτων τοῦ* F

»γραμμάτων, ἵν᾽ ἐπειδὴ τότε τὰς θλίψεις μόνοι κατεδικάσθημεν, νῦν »ἐν τῇ τῶν αὐτοκρατόρων περὶ τὴν εὐσέβειαν συμφωνίᾳ μὴ χωρὶς »ἡμῶν βασιλεύσητε, ἀλλὰ καὶ ἡμεῖς ὑμῖν κατὰ τὴν ἀποστολικὴν »φωνὴν συμβασιλεύσωμεν, εὐχὴ μὲν ἦν ἡμῖν, εἰ δυνατόν, ἅπασιν »ἀθρόως καταλιποῦσι τὰς ἐκκλησίας, τῷ πόθῳ ἢ τῇ χρείᾳ χαρίσα- »σθαι. τίς γὰρ ἡμῖν δώσει πτέρυγας ὡσεὶ περιστερᾶς, καὶ 9 »πετασθησόμεθα καὶ πρὸς ὑμᾶς καταπαύσομεν; ἐπειδὴ δὲ τοῦτο »παντελῶς ἐγύμνου τὰς ἐκκλησίας ἄρτι τῆς ἀνανεώσεως ἀρχομένας »καὶ τὸ πρᾶγμα παντάπασιν ἦν τοῖς πολλοῖς ἀδύνατον (συνδεδραμή- »κειμεν γὰρ εἰς τὴν Κωνσταντινούπολιν ἐκ τῶν πέρυσι γραμμάτων »τῶν παρὰ τῆς ὑμετέρας τιμιότητος μετὰ τὴν ἐν Ἀκυληίᾳ σύνοδον »πρὸς τὸν θεοφιλέστατον βασιλέα Θεοδόσιον ἐπισταλθέντων, πρὸς »μόνην ταύτην τὴν ἀποδημίαν τὴν μέχρι Κωνσταντινουπόλεως πα- »ρασκευασάμενοι, καὶ περὶ ταύτης μόνης τῆς συνόδου τῶν ἐν ταῖς »ἐπαρχίαις μεινάντων ἐπισκόπων συγκατάθεσιν ἐπαγόμενοι, μείζονος »δὲ ἀποδημίας μήτε προσδοκήσαντες χρείαν μήτε προακούσαντες ὅλως »πρὶν ἐν Κωνσταντινουπόλει συνελθεῖν, πρὸς δὲ τούτοις καὶ τῆς »προθεσμίας διὰ στενότητα μήτε πρὸς παρασκευὴν μακροτέρας ἀπο- »δημίας ἐνδιδούσης καιρὸν μήτε πάντας τοὺς ἐν ταῖς ἐπαρχίαις κοι- »νωνικοὺς ἐπισκόπους ὑπομνησθῆναι καὶ τὰς παρ᾽ αὐτῶν συγκατα- »θέσεις λαβεῖν), ἐπειδὴ ταῦτα καὶ πολλὰ πρὸς τούτοις ἕτερα τὴν τῶν »πλειόνων ἄφιξιν διεκώλυσεν, ὃ δεύτερον ἦν, εἴς τε τὴν τῶν πραγ- »μάτων ἐπανόρθωσιν καὶ τὴν τῆς ὑμετέρας περὶ ἡμᾶς ἀγάπης ἀπό- »δειξιν, τοῦτο πεποιήκαμεν, τοὺς αἰδεσιμωτάτους καὶ τιμιωτάτους »ἀδελφοὺς καὶ συλλειτουργοὺς ἡμῶν ἐπισκόπους, Κυριακόν, Εὐσέβιον

2—4 I Kor. 4, 8 — **6/7** Psal. 54, 7 — **10** vgl. Mansi III 623?

B⁴ V F HN (n) + GS (s) = r AL (y) W

1 τότε > B⁴, *tunc* Cass. | **5** καταλείπουσι B⁴ | **6** ἡμῖν δώσει ny *nobis dabit* Cass. δώσει ἡμῖν s (δώσει μοι Psal.) ἡμῖν δῶ VFW δῶ B⁴ | **7** ἐπειδὴ] ἐπεὶ n | **11** ἐν ἀκυληίᾳ ry ἀκυληίας VW ἀκυληίασ ἀγκύρασ B⁴F *Aquileiense* Cass. **12** ἀποσταλθέντων B⁴ | **13 14** παρασκευασάμενοι B⁴VFW παρεσκευασμένοι sy *praeparati* Cass. Cod. L συνηθροισμένοι n | **14** τῶν *Π*, ob τὴν τῶν? | **16** μήτε προσδοκήσαντες > s | μήτε² — **17** πρὶν > s | προσακούσαντεσ B⁴VW, *praeaudivimus* Cass. | **17** ἐν κωνσταντινουπόλει *Π* εἰς Κωνσταντινούπολιν Basler Ausg. | **18 19** ἐπιδημίασ L, *profectionem* Cass. | **21** nach ταῦτα + καὶ τὰ τοιαῦτα G + καὶ ταῦτα S, *haec et alia multa* (πρὸς τούτοις nicht übersetzt) Cass. **22** τὴν nur in B⁴ | **23** καὶ τὴν τῆς ἡμετέρας περὶ ὑμᾶς ἀγάπης Noesselt, wahrscheinlich; s. S. 290, 21 u. 292, 2; Cass. wie im Text | nach τῆς + πᾶσ gestrichen A | **25** ἡμῶν καὶ συλλειτουργοὺς ∽ B⁴, Cass. wie im Text

»καὶ Πρισκιανὸν προθύμως καμεῖν ἄχρις ὑμῶν δυσωπήσαντες· δι' ὧν »καὶ τὴν ἡμετέραν προαίρεσιν εἰρηνικὴν οὖσαν καὶ σκοπὸν ἑνώσεως »ἔχουσαν ἐπιδείκνυμεν, καὶ τὸν ζῆλον ἡμῶν τὸν ὑπὲρ τῆς ὑγιοῦς πί»στεως φανερὸν ποιοῦμεν.

»Ἡμεῖς γὰρ εἴτε διωγμούς, εἴτε θλίψεις, εἴτε βασιλείους ἀπειλάς, εἴτε τὰς τῶν ἀρχόντων ὠμότητας, εἴτε τινὰ πειρασμὸν ἕτερον παρὰ »τῶν αἱρετικῶν ὑπεμείναμεν, ὑπὲρ τῆς εὐαγγελικῆς πίστεως τῆς ἐν »Νικαίᾳ τῆς Βιθυνίας παρὰ τῶν τιη πατέρων κυρωθείσης ὑπέστημεν. »ταύτην γὰρ καὶ ὑμῖν καὶ ἡμῖν καὶ πᾶσι τοῖς μὴ διαστρέφουσι τὸν »λόγον τῆς ἀληθοῦς πίστεως συναρέσκειν † δεῖ [ἦν μόλις ποτὲ] πρε»σβυτάτην τε οὖσαν καὶ ἀκόλουθον τῷ βαπτίσματι, καὶ διδάσκουσαν »ἡμᾶς πιστεύειν εἰς τὸ ὄνομα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου »πνεύματος, δηλαδὴ θεότητος καὶ δυνάμεως καὶ οὐσίας μιᾶς τοῦ πα»τρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος πιστευομένης, ὁμοτίμου »τε τῆς ἀξίας καὶ συναϊδίου τῆς βασιλείας, ἐν τρισὶ τελειοτάταις ὑπο»στάσεσιν, ἤγουν τρισὶ τελείοις προσώποις, ὡς μήτε τὴν Σαβελλίου »νόσον χώραν λαβεῖν συγχεομένων τῶν ὑποστάσεων εἴτ' οὖν τῶν »ἰδιοτήτων ἀναιρουμένων, μήτε μὴν τὴν Εὐνομιανῶν καὶ Ἀρειανῶν »καὶ Πνευματομάχων βλασφημίαν ἰσχύειν, τῆς οὐσίας ἢ τῆς φύσεως ἢ »τῆς θεότητος τεμνομένης καὶ τῇ ἀκτίστῳ καὶ ὁμοουσίῳ καὶ συναϊδίῳ »τριάδι μεταγενεστέρας τινὸς ἢ κτιστῆς ἢ ἑτεροουσίου φύσεως ἐπαγο»μένης. καὶ τὸν τῆς ἐνανθρωπήσεως δὲ τοῦ κυρίου λόγον ἀδιάστροφον »σώζομεν, οὔτε ἄψυχον οὔτε ἄνουν ἢ ἀτελῆ τὴν τῆς σαρκὸς οἰκονο-

9/10 vgl. Act. 13, 10? — **22**–S. 293, 1 unt. S. 294, 23–26

B⁴ V F HN (n) + GS (s) = r AL (y) W

3 *ἐπιδείκνυμεν* B⁴VW am Rand Aᶜ *ostendimus* Cass. > Fry | *τὸν*² > VF | **5** *εἴτε*³] *καὶ* B, *sive* Cass. | *βασιλείους* B⁴V *βασιλείας* F *βασιλικὰς* ryW | **10** *δεῖ* [*ἦν μόλις ποτὲ*] Christ.] *δεῖ* B⁴ *ἦν μόλις ποτὲ* VFryW (*δεῖ* übergeschrieben Wr); Val. behält *ἦν μόλις ποτὲ*: »subaudiendum verbum *σώζομεν*« Z. 23, unmöglich; alte Corruptel, *δεῖ* ist vielleicht auch Verbesserungsversuch; vgl. Cass.: *complacere confidimus quam scimus antiquissimam existere* | **10/11** *πρεσβυτάτην* zweimal am Ende und Anfang der Seite B⁴ | **11** *τε* Vˢ > n | **12** *τοῦ υἱοῦ* am Rand B⁴ | **13** *δηλαδὴ* — **14** *πνεύματος* am Rand Aᶜ | *καὶ*¹] *τε καὶ* Aᶜ | **14** *καὶ*² > B⁴ | **15** *τῆς τε* ∽ VF | *τῆς βασιλείας* — **16** *ἤγουν τρισὶ* > s | **15/16** *τρισὶ τελειοτάταις ὑποστάσεσιν ἤγουν* > n | **15** *τελειοτάταισ* VF *τελειοτάταισ ταῖσ* B⁴W *perfectissimis* Cass. *τελείαισ* y | **17** *ἤτ' οὖν* V *ἤτουν* FG | **18** *τὴν*] *τῶν* nA | **19** vor *βλασφημίαν* + *τὴν* H | **20** *ἀκτίστῳ*] *ἀδιστάκτω* s, *increatae* Cass. | **21/22** *ὑπαγομένησ* VF

»μίαν παραδεχόμενοι, ὅλον δὲ εἰδότες τέλειον μὲν πρὸ αἰώνων ὄντα
»θεὸν λόγον, τέλειον δὲ ἄνθρωπον ἐπ᾽ ἐσχάτων τῶν ἡμερῶν διὰ τὴν
»ἡμετέραν σωτηρίαν γενόμενον.

»Τὰ μὲν οὖν κατὰ τὴν πίστιν τὴν παρ᾽ ἡμῶν ἀνυποστόλως κη- 13
»ρυττομένην ὡς ἐν κεφαλαίῳ τοιαῦτα· περὶ ὧν καὶ ἐπὶ πλεῖον ψυχα-
»γωγηθῆναι δυνήσεσθε, τῷ τε ἐν Ἀντιοχείᾳ τόμῳ παρὰ τῆς ἐκεῖ συνελ-
»θούσης συνόδου γεγενημένῳ καταξιώσαντες ἐντυχεῖν καὶ τῷ πέ-
»ρυσιν ἐν Κωνσταντινουπόλει παρὰ τῆς οἰκουμενικῆς ἐκτεθέντι συνό-
»δου, ἐν οἷς πλατύτερον τὴν πίστιν ὡμολογήσαμεν καὶ τῶν ἔναγχος
»καινοτομηθεισῶν αἱρέσεων ἀναθεματισμὸν ἔγγραφον πεποιήκαμεν.

»Περὶ δὲ τῶν οἰκονομιῶν τῶν κατὰ μέρος ἐν ταῖς ἐκκλησίαις 14
»παλαιός τε, ὡς ἴστε, θεσμὸς κεκράτηκε καὶ τῶν ἐν Νικαίᾳ ἁγίων
»πατέρων ὅρος, καθ᾽ ἑκάστην ἐπαρχίαν τοὺς τῆς ἐπαρχίας καί, εἴπερ
»ἐκεῖνοι βούλοιντο, σὺν αὐτοῖς τοὺς ὁμόρους πρὸς τὸ συμφέρον ποι-
»εῖσθαι τὰς χειροτονίας· οἷς ἀκολούθως τάς τε λοιπὰς ἐκκλησίας παρ᾽ 15
»ἡμῖν οἰκονομεῖσθαι γινώσκετε καὶ τῶν ἐπισημοτάτων ἐκκλησιῶν
»ἀναδεδεῖχθαι τοὺς ἱερεῖς. ὅθεν τῆς μὲν ἐν Κωνσταντινουπόλει νεο-
»παγοῦς, ὡς ἂν εἴποι τις, ἐκκλησίας, ἣν ὥσπερ ἐκ στόματος λέον-
»τος τῆς τῶν αἱρετικῶν βλασφημίας ὑπόγυον ἐξηρπάσαμεν διὰ τῶν
»οἰκτιρμῶν τοῦ θεοῦ, τὸν αἰδεσιμώτατον καὶ θεοφιλέστατον Νε-
»κτάριον ἐπίσκοπον κεχειροτονήκαμεν ἐπὶ τῆς οἰκουμενικῆς συνόδου
»μετὰ κοινῆς ὁμονοίας, ὑπ᾽ ὄψεσι καὶ τοῦ θεοφιλεστάτου βασιλέως
»Θεοδοσίου παντός τε τοῦ κλήρου καὶ πάσης ἐπιψηφιζομένης τῆς
»πόλεως. τῆς δὲ πρεσβυτάτης καὶ ὄντως ἀποστολικῆς ἐκκλησίας τῆς 16
»ἐν Ἀντιοχείᾳ τῆς Συρίας, ἐν ᾗ πρώτῃ τὸ τίμιον τῶν Χριστιανῶν
»ἐχρημάτισεν ὄνομα, τὸν αἰδεσιμώτατον καὶ θεοφιλέστατον ἐπίσκοπον
»Φλαβιανὸν οἵ τε τῆς ἐπαρχίας καὶ τῆς ἀνατολικῆς διοικήσεως συν-

1 vgl. I Kor. 2, 7. Hebr. 1, 2 — **6—10** vgl. Mansi III 512 f. 557 f (Canon 5 von Constantinopel v. J. 381 S. 560) — **12** Can. Apostol. 34 (Mansi I 36) — **12—15** Can. Nicaen. 4 Mansi II 893; vgl. Can. Sardic. 6 ebd. III 9 — **18/19** vgl. II Tim. 4, 17 — **19/20** Röm. 12, 1 — **25/26** Act. 11, 26

B⁴ V F HN (n) + GS (s) = r AL (y) W

1 *πρὸ*] *πρὸ τῶν* V | *ὄντα πρὸ αἰώνων* ∾ ry, Cass. wie im Text | **2** *θεὸν*] *θεοῦ* FA, *deum* Cass. Cod. L | **4** *τὴν πίστιν τὴν παρ᾽ ἡμῶν*] *τὴν παρ᾽ ἡμῶν* und am Rand *πίστιν* B⁴ | *τὴν*² > s | **5** *περὶ ὧν* — **6** *τῷ τε* > s | **7** *γε-γενημένῳ* > B⁴, *factum* Cass. | **9** *ἔναγχος*: *ἀρτίως ἢ πρὸ βραχέως* am Rand Ac | **12** *ἁγίων ἐν νἵκαίᾳ* A | **19** *ὑπόγυον*: *νεωστί* am Rand AN | **21** *ἐπὶ* — *συνόδου* am Rand Ac | **22** *βασιλέως* > L | **23** *τοῦ* übergeschrieben Ac | **27** nach *ἐπαρχίας* + *ἅπαντεσ* expungiert A

»δραμόντες κανονικῶς ἐχειροτόνησαν, πάσης συμψήφου τῆς ἐκκλησίας »ὥσπερ διὰ μιᾶς φωνῆς τὸν ἄνδρα τιμησάσης· ἥνπερ ἔνθεσμον χειροτονίαν ἐδέξατο καὶ τὸ τῆς συνόδου κοινόν. τῆς δέ γε μητρὸς ἁπα- 17
»σῶν τῶν ἐκκλησιῶν τῆς ἐν Ἱεροσολύμοις τὸν αἰδεσιμώτατον καὶ
5 »θεοφιλέστατον Κύριλλον ἐπίσκοπον εἶναι γνωρίζομεν, κανονικῶς τε
»παρὰ τῶν τῆς ἐπαρχίας χειροτονηθέντα πάλαι καὶ πλεῖστα πρὸς
»τοὺς Ἀρειανοὺς ἐν διαφόροις χρόνοις ἀθλήσαντα.

»Οἷς ὡς ἐνθέσμως καὶ κανονικῶς παρ' ἡμῖν κεκρατηκόσι καὶ τὴν
»ὑμετέραν συγχαίρειν παρακαλοῦμεν εὐλάβειαν, τῆς πνευματικῆς μεσι-
10 »τευούσης ἀγάπης καὶ τοῦ κυριακοῦ φόβου πᾶσαν μὲν καταστέλλοντος
»ἀνθρωπίνην προσπάθειαν, τὴν δὲ τῶν ἐκκλησιῶν οἰκοδομὴν προτι-
»μοτέραν ποιοῦντος τῆς πρὸς τὸν καθ' ἕνα συνηθείας ἢ χάριτος.
»οὕτω γὰρ τοῦ τε τῆς πίστεως συμφωνηθέντος λόγου καὶ τῆς Χρι- 18
»στιανικῆς κυρωθείσης ἐν ἡμῖν ἀγάπης, παυσόμεθα λέγοντες τὸ παρὰ
15 »τῶν ἀποστόλων κατεγνωσμένον· »ἐγὼ μέν εἰμι Παύλου, ἐγὼ δὲ
»Ἀπολλώ, ἐγὼ δὲ Κηφᾶ«, πάντες δὲ Χριστοῦ φανέντες, ὃς ἐν
»ἡμῖν οὐ μεμέρισται, θεοῦ καταξιοῦντος, ἄσχιστον τὸ σῶμα τῆς
»ἐκκλησίας τηρήσομεν καὶ τῷ βήματι τοῦ κυρίου μετὰ παρρησίας
»παραστησόμεθα.«

20 Ταῦτα κατά τε τῆς Ἀρείου καὶ Ἀετίου καὶ Εὐνομίου μανίας, καὶ 19
μέντοι καὶ κατὰ Σαβελλίου καὶ Φωτεινοῦ καὶ Μαρκέλλου, Παύλου τε
τοῦ Σαμοσατέως καὶ Μακεδονίου γεγράφασιν. ὡσαύτως δὲ καὶ τὴν
Ἀπολιναρίου καινοτομίαν προφανῶς ἀπεκήρυξαν εἰρηκότες· »καὶ τὸν
»τῆς ἐνανθρωπήσεως δὲ τοῦ κυρίου λόγον ἀδιάστροφον σώζομεν, οὔτε
25 »ἄψυχον οὔτε ἄνουν ἢ ἀτελῆ τὴν τῆς σαρκὸς οἰκονομίαν παραδεχό-
μενοι«.

11 vgl. I Kor. 14, 12 — **15/16** I Kor. 1, 12 — **17** I Kor. 1, 13 — **17/18** vgl. I Thess. 5, 23 — **18/19** Röm. 14, 10 — **23—26** ob. S. 292, 22—S. 293, 1

B⁴ V F HN (n) + GS (s) = r AL (y) W

1 ἐχειροτόνησαν — ἐκκλησίας > s | **2** τιμησάσης] τιμήσαντες F | **7** χρόνοις B⁴ *temporibus* Cass. τόποις VFryW, schwer zu entscheiden, da Cyrillus auch außer Jerusalem gewirkt hat, s. ob. S. 157, 21 f | **10** καταστέλλοντος] καταγελῶντος V, *per quem . . removetur* Cass. | **12** ποιοῦντος B⁴W ποιούσης VFry | συνηθείας B⁴FrW συμπαθείας Vy, nicht übersetzt von Cass. | **16** ἀπολλώ B⁴VS ἀπολλῶ die übr. HSS | **17** θεοῦ] θεοῦ γὰρ B⁴ | **20** καὶ Ἀετίου = Cass. > n | **21** κατὰ > B⁴, *contra* Cass. | **22** γεγράφασιν B⁴VW γεγραφήκασιν Fry | **23** ἀπολλιναρίου B⁴ | **25/26** παραδεχόμενοι A

Καὶ Δάμασος δὲ ὁ πανεύφημος, ταύτην μαθὼν ἀναφυεῖσαν τὴν αἵρεσιν, οὐκ Ἀπολινάριον μόνον ἀλλὰ καὶ Τιμόθεον τὸν ἐκείνου γε φοιτητὴν καθελὼν ἀπεκήρυξε· καὶ τοῦτο τοῖς τὴν Ἑῴαν ἰθύνουσιν ἐπισκόποις διὰ γραμμάτων δεδήλωκεν, ἅπερ ἐνθεῖναι τῇ συγγραφῇ νενόμικα χρήσιμον.

»Ἐπιστολὴ Δαμάσου ἐπισκόπου Ῥώμης.

»Ὅτι τῇ ἀποστολικῇ καθέδρᾳ τὴν ὀφειλομένην αἰδῶ ἡ ἀγάπη »ὑμῶν ἀπονέμει, ἑαυτοῖς τὸ πλεῖστον παρέχεσθε, υἱοὶ τιμιώτατοι. »καὶ γὰρ εἰ τὰ μάλιστα ἐν τῇ ἁγίᾳ ἐκκλησίᾳ, ἐν ᾗ ὁ ἅγιος ἀπόστολος »καθεζόμενος ἐδίδαξε πῶς προσήκει ἡμᾶς τοὺς οἴακας ἰθύνειν οὓς »ἀνεδεξάμεθα, ὅμως ὁμολογοῦμεν ἑαυτοὺς ἐλάττονας εἶναι τῆς τιμῆς. »ἀλλὰ διὰ τοῦτο οἵῳ δή ποτε τρόπῳ σπουδάζομεν εἴ πως δυνηθεί- »ημεν πρὸς τὴν δόξαν τῆς μακαριότητος αὐτοῦ παραγενέσθαι.

»Γινώσκετε τοίνυν ὅτι τὸν πάλαι Τιμόθεον τὸν βέβηλον, τὸν μαθη- »τὴν τοῦ Ἀπολιναρίου τοῦ αἱρετικοῦ, μετὰ τοῦ ἀσεβοῦς αὐτοῦ δόγματος »καθείλομεν, καὶ οὐδαμῶς πιστεύομεν αὐτοῦ τὰ λείψανα λόγῳ τινὶ

14 *βέβηλον*] vgl. I Tim. 1, 9. 4, 7. 6, 20. II Tim. 2, 16. Hebr. 12, 16

* **1**—S. 297, 9 Niceph. H. E. XII 17 — **7**—S. 297, 9 Cass. IX 15

B⁴ V F HN (n) + GS (s) = r AL (y) W

1 *δὲ*] *δὴ* L | **2** *ἀπολλινάριον* B⁴ | *γε* > B⁴ | **4** *ἐδήλωσεν* n *ἐμήνυσεν* L | **6** *Ἐπιστολὴ — Ῥώμης* am Rand V > A | *ἐπισκόπου*] *πάπα* L | **7** *ī* am Rand Fny | **8** *ἑαυτοῖς τὸ πλεῖστον παρέχεσθε* B⁴VW *ἑαυτοῖς τὸ πλεῖστον παρέχετε* Fry *vobis plurimum . . . praestitistis* Cass.; Val. verlangt für den Urtext *nobis*, unrichtig | **9** *καὶ γὰρ εἰ τὰ μάλιστα ἐν* B⁴Vry *καὶ τὰ μάλιστα ἐν* F *καὶ τὰ μάλιστα (τῇ ἁγίᾳ ἐκκλησίᾳ* mit *ἑαυτοῖς* coordiniert und Punkt nach *ἀνεδεξάμεθα*) W; vgl. Cass.: *nam licet ecclesiae in qua*; zahlreiche Wiederherstellungsversuche des lat. Textes, z. B.: »tametsi . . . primae partes (= *τὰ μάλιστα*) ⟨deferuntur⟩« Merenda und so ungefähr Rade *Damasus* S. 136, sehr zweifelhaft, vgl. *καὶ γὰρ εἰ τὰ μάλιστα* ob. S. 290, 13. Da *τὰ μάλιστα* nur in Beziehung mit *ἐδίδαξε* verständlich scheint, so könnte man vermuten: »etsi enim maxime, in sancta ecclesia in qua sedimus , sanctus apostolus sedens docuit quomodo« | **11** *ἔλαττον* n | **14** *τοίνυν* > s, *igitur* Cass | *τὸν πάλαι Π. quia dudum Timotheum* Cass., *πάλαι τὸν* Camerarius; aber *τὸν πάλαι* wohl spöttische Anspielung auf den Ehrennamen *Τιμόθεος*, der ihm jetzt längst aberkannt ist | *βέβηλον*] *profanum* + *ineruditum* Cass.; vgl. II Tim. 2, 23 (*ineruditas quaestiones*) | **15** *τοῦ*¹ B⁴VW > Fry | *ἀπολλιναρίου* B⁴ | **16** *καθείλαμεν* FG

»τοῦ λοιποῦ ἰσχύειν. εἰ δ' ἔτι ἐκεῖνος ὁ ὄφις ὁ παλαιός, ἅπαξ καὶ 3
»δεύτερον καταδηχθείς, πρὸς ἰδίαν τιμωρίαν ἀναζῇ, ὅστις ἐκτὸς τῆς
»ἐκκλησίας ὑπάρχει, ὃς σφῆλαι τοῖς ἑαυτοῦ θανατηφόροις φαρμάκοις
»τινὰς ἀπίστους διαπειράζων οὐ παύεται, ταύτην ὥσπερ φθοράν τινα
»ἐκκλίνατε. ὅμως ὑμεῖς μεμνημένοι τῆς ἀποστολικῆς πίστεως, ταύτης
»μάλιστα ἥτις ἐν Νικαίᾳ παρὰ τῶν πατέρων ἐγγράφως ἐξετέθη,
»βεβαίῳ βαθμῷ ἰσχυρῶς τῇ πίστει ἀμετακίνητοι διαμείνατε· καὶ μὴ
»ματαιολογίας καὶ ἠφανισμένας ζητήσεις κατὰ ταύτης ὑπομείνητε
»ἀκούειν τοὺς κληρικοὺς ἢ τοὺς λαϊκοὺς ὑμῶν. ἤδη γὰρ ἅπαξ τύπον 4
»ἐδώκαμεν, ἵνα ὁ γινώσκων ἑαυτὸν Χριστιανὸν ἐκεῖνο φυλάττοι ὅπερ
»παρὰ τῶν ἀποστόλων παρεδόθη, λέγοντος τοῦ ἁγίου Παύλου· »εἴ
»τις ὑμᾶς εὐαγγελίζεται παρ' ὃ παρελάβετε, ἀνάθεμα ἔστω«.
»ὁ γὰρ Χριστὸς ὁ υἱὸς τοῦ θεοῦ ὁ κύριος ἡμῶν τῷ γένει τῶν
»ἀνθρώπων διὰ τοῦ ἰδίου πάθους πληρεστάτην ἀπέδωκε τὴν
»σωτηρίαν, ἵνα ὅλον τὸν ἄνθρωπον ταῖς ἁμαρτίαις ἐνεχόμενον
»πάσης ἁμαρτίας ἐλευθερώσῃ. τοῦτον εἴ τις ἤτοι ἀνθρωπότητος ἢ 5
»θεότητος ἔλαττον ἐσχηκέναι εἴποι, πνεύματος διαβόλου πεπληρωμένος
»τῆς γεέννης υἱὸν ἑαυτὸν ἀποδείκνυσι.

1/2 vgl. Apok. 12, 9. 20, 2 u. 10 — **3/4** vgl. II Tim. 2, 16—18 — **7** vgl. I Kor. 15, 58. Kol. 1, 23. II Tim. 2, 19 — **8** vgl. II Tim. 2, 23. I Tim. 1, 4 u. 6. 6, 4 — **9/10** unten S. 297, 13 f? — **11/12** Gal. 1, 9 — **17** vgl. Hermas, Mand. 11, 3 — **18** Matth. 23, 15

B⁴ V F HN (n) + GS (s) = r AL (y) W

2 *καταδηχθείς* VFnyW *καταδειχθείς* G *καταδικὰς δειχθείς* S *percussus* Cass. *καταβληθείς*, *β* aus *δ* corr., B⁴, vgl. *ἐβλήθη* (*proiectus est*) Apok. 12, 9 | *ὅστις*] *ὃς* B⁴ *quique* Cass., vgl. S. 297, 6 | **3** *φαρμάκοις θανατηφόροις* ∾ L | **4** *τινὰς ἀπίστους*] *τινὰς* s, vgl. *quosdam infidelium* (so Cod. L, *fidelium* Ausgaben) *tentare non cessat* (*σφῆλαι* vorher nicht übersetzt) Cass.; man erwartet nach II Tim. 2, 18 (*quorundam fidem*) *τὴν τινων πίστιν*? doch *ἀπίστους* als proleptisch erklärlich | *ταύτην sic Π = hanc tanquam . . . corruptionem* Cass. | **5** *ὑμεῖς* B⁴VnW Cass. *ἡμεῖς* FsL > A | **7** *βεβαίῳ βαθμῷ*] *βεβαίω σταθμῷ* VS, *firmo gradu* Cass., vgl. *firmum fundamentum = στερεὸς θεμέλιος* II Tim. 2, 19 | *ἰσχυρῶς τῇ πίστει ἀμετακίνητοι*] *stabiles in fide et immutabiles* Cass. *stabiles* (ἑδραῖοι) *et immobiles* Kol. 1, 23, vgl. I Kor. 15, 58 | **8** *ἠφανισμένας*] *exterminabiles* Cass.; vielleicht *ἠφαν.* auch schlechte Übersetzung; ob lat. *devitandas*? vgl. *devita* II Tim. 2, 16 u. 23 *κατὰ ταύτης* B⁴ *κατὰ τούτου* V *μετὰ τούτου* FW *μετὰ τοῦτο* ryWc *ab isto* Cass. **9** *ἤδη*] *οὐδὲ* L | **14/15** *πληρεστάτην . . . σωτηρίαν, ρεστά* und *σωτηρ* auf Rasur, B⁴ | **15** *ἐνεχόμενον*] *ἐλεγχόμενον* V *γρ. ἐνεχόμενον* Vm, *obnoxium* Cass. | **16** *τοῦτο* F | *ἤτοι* VFsyW *ἢ* B⁴ > n Cass. | **17** *εἴποι* > s

»Τί τοίνυν πάλιν παρ᾽ ἐμοῦ ζητεῖτε τὴν καθαίρεσιν Τιμοθέου;
»ὃς καὶ ἐνταῦθα κρίσει τῆς ἀποστολικῆς καθέδρας, παρόντος καὶ
»Πέτρου τοῦ ἐπισκόπου τῆς Ἀλεξανδρέων πόλεως, καθηρέθη ἅμα τῷ
»διδασκάλῳ αὐτοῦ Ἀπολιναρίῳ, ὃς καὶ ἐν ἡμέρᾳ τῆς κρίσεως τὰς
»ὀφειλομένας τιμωρίας καὶ βασάνους ὑπομενεῖ. εἰ δέ τινας κουφοτέρους 6
»πείθει ἐκεῖνος, ὥς τινα ἐλπίδα ἔχων ὅστις τὴν ἀληθῆ ἐλπίδα τὴν
»εἰς Χριστὸν τῇ ὁμολογίᾳ μετέβαλε, μετὰ τούτου ὁμοίως ἀπολεῖται
»ὅστις δή ποτε βούλεται τῷ κανόνι τῆς ἐκκλησίας ἀντιπαλαῖσαι.
»ὁ θεὸς ὑμᾶς ὑγιαίνοντας διαφυλάττοι, υἱοὶ τιμιώτατοι.«

Καὶ ἄλλα δέ τινα συναθροισθέντες ἐν τῇ μεγάλῃ Ῥώμῃ γεγράφασι κατὰ διαφόρων αἱρέσεων, ἅπερ ἀναγκαῖον ᾠήθην ἐνθεῖναι τῇ συγγραφῇ.

»Ὁμολογία τῆς καθολικῆς πίστεως, ἣν ὁ πάπας Δάμασος ἀπέστειλε 11
»πρὸς τὸν ἐπίσκοπον Παυλῖνον ἐν τῇ Μακεδονίᾳ, ὃς ἐγένετο ἐν
»Θεσσαλονίκῃ.
»Ἐπειδὴ μετὰ τὴν ἐν Νικαίᾳ σύνοδον αὕτη ἡ πλάνη ἀνέκυψεν

2—4 vgl. Sozomen. VI 25, 6. Rufin. H. E. XI 20 — **12**—S. 302, 15 lateinisch S. Leonis opera III 400 f (= *Λ*). vgl. auch Maximin. c. Amb. 129 ed. Kauffmann S. 87, 41 f — **12**—S. 299, 16 *αὐτοῦ καὶ πάντα* Cod. Vindobon. Hist. gr. 7 f. 198b [von Theodoret unabhängige, mit *Λ* nahe verwandte Übersetzung] = J

* **10**—S. 302, 16 Niceph. H. E. XII 18. Cass. IX 16 — **12**—S. 302, 15 Cod. syriac. Br. Mus. add. 14, 529 f. 1v [auch add. 14, 533 f. 186r] = *Σ*

B[4] [bis **11** *συγγραφῇ*] B [von **12** an] V F HN (n) + GS (s) = r AL (y) W

2 *δσ* B[4]VW Cass. > Fry | **4** *ἀπολλιναρίῳ* B[4] | *τῆς* > B[4] | **6** *ὅστισ* VFryW *qui* Cass. > B[4] | **7** *μετὰ τούτου* — **8** *ἀντιπαλαῖσαι*] *sciant se cum isto similiter perituros, cum quo ecclesiasticae regulae resultabunt* Cass. | **8** *ὅστισ δή ποτε βούλεται* B[4]V am Rand A[c] > FryW | *ἀντιπαλαῖσαι* B[4]V *ἀντιπαλαίσασ* FryW | **10** *δέ* > F | **11** *ὠήθημεν θῆναι* F | **12** *τα* am Rand HSS | *Ὁμολογία* — **14** *Θεσσαλονίκῃ* = Cass.] am Rand VA | *ὁ πάπας* = Cass. *Λ*] *ὁ μακαριώτατοσ πάπασ* J *ἐπίσκοποσ Σ* > V | *ἀπέστειλεν Δάμασος* ~ V | **13** *πρὸς* — **14** *Θεσσαλονίκῃ Π* Cass. und, *ἐν τῇ Μακεδονίᾳ* >, *Σ πρὸσ παυλῖνον τὸν ἀντιοχείασ ἐπίσκοπον* J *ad Paulinum Antiochenum episcopum Λ* | *τὸν* > Vy *Παυλῖνον ἐπίσκοπον* ~ VΣ Cass. | *ὃσ ΠΣ* Cass. *ὅτε* Val. *ὡς* Lietzmann *ἐγένετο*] *γέγονεν* B | **15** *ἐπειδὴ* — *ἀνέκυψεν Π* Cass. *Σ*, aber vor *ἐπειδὴ* vielleicht eine Auslassung in Theodorets Übersetzung; vgl. J: *μετὰ τὴν σύνοδον τὴν ἐν νικαίᾳ συνεκροτήθει σύνοδοσ ἐν τῇ ῥώμῃ παρὰ τῶν τῆσ καθολικῆσ πίστεωσ ἐπισκόπων· οἳ καὶ προσέθησαν περὶ τοῦ πνῦ τοῦ ἁγίου· ἐπειδὴ αὕτη ἡ πλάνη μετὰ ταῦτα ἀνεφάνη*, und so ungefähr (unsicherer Text und zahlreiche Varianten) in *Λ*

»ὥστε τολμᾶν τινας βεβήλῳ στόματι εἰπεῖν τὸ πνεῦμα τὸ ἅγιον »γεγενῆσθαι διὰ τοῦ υἱοῦ, ἀναθεματίζομεν τοὺς μὴ μετὰ πάσης »ἐλευθερίας κηρύττοντας σὺν τῷ πατρὶ καὶ τῷ υἱῷ τῆς μιᾶς καὶ »τῆς αὐτῆς οὐσίας τε καὶ ἐξουσίας ὑπάρχειν τὸ ἅγιον πνεῦμα.

»Ὁμοίως δὲ ἀναθεματίζομεν καὶ τοὺς τῇ τοῦ Σαβελλίου ἀκολου- 2
»θοῦντας πλάνῃ, τὸν αὐτὸν λέγοντας καὶ πατέρα εἶναι καὶ υἱόν.

»Ἀναθεματίζομεν Ἄρειον καὶ Εὐνόμιον, οἳ τῇ ἴσῃ δυσσεβείᾳ, εἰ »καὶ τοῖς ῥήμασι διαφέροντες, τὸν υἱὸν καὶ τὸ ἅγιον πνεῦμα κτίσμα »εἶναι διισχυρίζονται.

»Ἀναθεματίζομεν τοὺς Μακεδονιανούς, οἵτινες ἐκ τῆς τοῦ Ἀρείου »ῥίζης καταγόμενοι οὐχὶ τὴν ἀσέβειαν ἀλλὰ τὴν προσηγορίαν ἐνήλλαξαν.

»Ἀναθεματίζομεν Φωτεινόν, ὃς τὴν τοῦ Ἐβίωνος αἵρεσιν ἀνα- 3
»καινίζων τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν μόνον ἐκ τῆς Μαρίας »ὁμολόγει.

»Ἀναθεματίζομεν καὶ τοὺς δύο υἱοὺς εἶναι διισχυριζομένους, ἕνα »πρὸ τῶν αἰώνων καὶ ἄλλον μετὰ τὴν τῆς σαρκὸς ἐκ τῆς Μαρίας »ἀνάληψιν.

»Ἀναθεματίζομεν κἀκείνους οἵτινες ἀντὶ λογικῆς ψυχῆς διισχυρί- »ζονται ὅτι ὁ τοῦ θεοῦ λόγος ἐστράφη ἐν τῇ ἀνθρωπίνῃ σαρκί. »αὐτὸς γὰρ ὁ υἱὸς ὁ τοῦ θεοῦ λόγος οὐχὶ ἀντὶ τῆς λογικῆς καὶ νοερᾶς 4
»ψυχῆς ἐν τῷ ἑαυτοῦ σώματι γέγονεν, ἀλλὰ τὴν ἡμετέραν, τουτέστι »λογικὴν καὶ νοεράν, ἄνευ τῆς ἁμαρτίας ψυχὴν ἀνέλαβέ τε καὶ ἔσωσεν.

B V F HN(n) + GS(s) = r AL(y) W

1 *τινασ* B Cass. *ΣΛ τινα* VFryW, vgl. *οἵτινεσ* J | **3** *σὺν τῷ* — **4** *πνεῦμα* *Π* Cass. *Σ αὐτὸ μετὰ τοῦ πρσ καὶ τοῦ υἱοῦ μιᾶσ ἐξουσίασ ὑπάρχον καὶ οὐσίασ* J = *Λ* | **5** *ὁμοίωσ δὲ* BryW Cass. *Σ ὁμοίωσ* VF > J*Λ* | *τοῦ* nur in B **6** *εἶναι καὶ υἱόν* = J] *καὶ υἱὸν εἶναι* V *εἶναι τὸν υἱόν* F | **7** *οἳ*] *οἳ δὲ* F | **8** *διαφέροντεσ* BF *διαφέρονται* VryW, vgl. *licet verbis discrepent* Cass. *licet sermone dissimili Λ εἰ καὶ τῶ λόγω ἀνόμοιοι* J | **10** *τοῦ* BV > FryW | **12** *φωτινόν* BS | *αἰβίωροσ* B | **15** *υἱοὺσ εἶναι* BW Cass. J *εἶναι υἱοὺσ* ry *filios Λ υἱοὺσ*, und *εἶναι* nach *διισχυριζομένους* ∼, VF | **16** *τὴν* > F | *ἐκ τῆς Μαρίας* = *Σ*] *ἐκ μαρίασ* B *ἐκ τῆσ παρθένου* J *ex virgine* Cass. *Λ* | **18** *ἀντὶ λογικῆσ ψυχῆσ Π* Cass. *Σ ἀντὶ ἀνθρωπίνησ λογικῆσ καὶ νοερᾶσ ψυχῆσ* J *pro hominis anima rationabili et intelligibili Λ* | **20** *αὐτὸσ γὰρ* — *οὐχὶ* = Cass. *Σ*] *ὁπότε αὐτόσ ἐστιν ὁ υἱὸσ ὁ τοῦ θῦ λόγοσ· καὶ οὐχὶ* J = *cum ipse filius sit verbum dei et non Λ* *ὁ υἱὸσ* B Cass. *ΣJΛ οὗτοσ* VFryW | *ὁ τοῦ θεοῦ λόγοσ* = Cass. *ΣJΛ*] *λόγοσ* B **21** *ψυχῆσ* vor **20** *καὶ νοερᾶσ* ∼ B Cass., vor *λογικῆσ* ∼ *ΣΛ* und (mit *ἀνθρωπίνησ* + vor *λογικῆσ*) J | **22** *τε* nur in B

»Ἀναθεματίζομεν καὶ τοὺς λέγοντας τὸν λόγον τοῦ θεοῦ τῇ 5
»ἐκτάσει καὶ τῇ συστολῇ ἀπὸ τοῦ πατρὸς κεχωρίσθαι, καὶ ἀνυπόστατον
»αὐτὸν ἢ μέλλειν τελευτᾶν βλασφημοῦντας.

»Τοὺς δὲ ἀπὸ ἐκκλησιῶν εἰς ἑτέρας ἐκκλησίας μετελθόντας ἄχρι
»τοσούτου ἀπὸ τῆς ἡμετέρας κοινωνίας ἀλλοτρίους ἔχομεν, ἄχρις οὗ
»πρὸς αὐτὰς ἐπανέλθωσι τὰς πόλεις ἐν αἷς πρῶτον ἐχειροτονήθησαν.
»ἐὰν δέ τις, ἄλλου ἀπὸ τόπου εἰς τόπον μετελθόντος, ἐν τόπῳ τοῦ 6
»ζῶντος ἐχειροτονήθη, ἄχρι τοσούτου σχολάσῃ ἀπὸ τοῦ ἱερατικοῦ
»ἀξιώματος ὁ τὴν ἰδίαν πόλιν καταλείψας ἄχρις οὗ ὁ διαδεξάμενος
»αὐτὸν ἀναπαύσηται ἐν κυρίῳ.

»Εἴ τις μὴ εἴπῃ ἀεὶ τὸν πατέρα καὶ ἀεὶ τὸν υἱὸν καὶ ἀεὶ τὸ
»πνεῦμα τὸ ἅγιον εἶναι, ἀνάθεμα ἔστω.

»Εἴ τις μὴ εἴπῃ τὸν υἱὸν γεννηθέντα ἐκ τοῦ πατρός, τουτέστιν 7
»ἐκ τῆς οὐσίας τῆς θείας αὐτοῦ, ἀνάθεμα ἔστω.

»Εἴ τις μὴ εἴπῃ ἀληθινὸν θεὸν τὸν υἱὸν τοῦ θεοῦ, ὡς ἀληθινὸν
»θεὸν τὸν πατέρα αὐτοῦ, καὶ πάντα δύνασθαι καὶ πάντα εἰδέναι, καὶ
»τῷ πατρὶ ἴσον, ἀνάθεμα ἔστω.

»Εἴ τις εἴπῃ ὅτι ἐν σαρκὶ διάγων ὁ υἱὸς τοῦ θεοῦ, ὅτε ἦν ἐν τῇ
»γῇ, ἐν τοῖς οὐρανοῖς καὶ σὺν τῷ πατρὶ οὐκ ἦν, ἀνάθεμα ἔστω.

B V F HN (n) + GS (s) = r AL (y) W

1 *καὶ* BryW Cass. *Σ* > VFJ*Λ* | *λόγον* = *Σ* Cass.] *λόγον* + *τὸν υἱὸν* J = *Λ* | **2** *ἐκστάσει* VF, *ζήτει εἰ γρ. ἐκσ* am Rand Ac | *κεχωρεῖσθαι* B | **3** *αὐτὸν* B Cass. *Σ* *αὐτὸν εἶναι* VFryW > J*Λ* | *ἢ* = *Σ* *aut* Cass. Cod. L] *καὶ* J = *Λ* | **4** *Τοὺς δὲ* — **10** *ἐν κυρίῳ* nach **16** *αὐτοῦ καὶ πάντα* ∾ J; man bemerke, wie wenig diese Bestimmung (gegen Meletius) mitten unter den Anathematismen am Platze scheint: nachträglicher Zusatz? | nach *ἀπὸ* + *τῶν* B | *εἰς* = J*Σ* *ad* Cass. *Λ*] *ἐπὶ τὰσ* B | *ἑτέρασ Π Σ* Cass. > J*Λ* | **5** *κοινωνίας* = Cass. *ΣJΛ*] *ἐκκλησίασ* V | **5** u. **9** *ἄχρι οὗ* B | **7** *ἐὰν δέ* — **8** *ἐχειροτονήθη Π Σ* Cass. Cod. L *εἰ δὲ ἄλλοσ εἰσ τὸν τοῦ μεταστάντοσ τόπον ἐκείνου ζῶντοσ ἔστι κατασταθείσ* J *quodsi alius, alio transmigrante, in locum viventis ordinatus est* *Λ* | **8** *σχολάσῃ* Bn *vacet* Cass. *Λ* *σχολαζέτω* J *σχολάσειεν* VF *σχολάσει* syW | *τοῦ ἀρχιερατικοῦ* VW *sacerdotii* Cass. *Λ* *τῆσ ἱερωσύνησ* J > H | **9** *ἀξιώματοσ* VryWFm, vgl. *τὸ ἀξίωμα* J, *dignitate* Cass. *Λ* *τάγματοσ* BF *Σ* | **10** *αὐτὸν*] *αὐτὸσ* V > B, vgl. *eius (successor)* Cass. *Λ* = J | **11** *ἀεὶ τὸν πρ̄α* BVFrW Cass. *ΣΛ* *πάντοτε τὸν πρ̄α* J *τὸν πρ̄α ἀεὶ* y | **12** *τὸ ἅγιον πν̄α* n | **13** *εἴποι* Bs, **13**, **18** u. S. 300, 1 *εἴπει* A | **15** *ἀληθινὸν*[1] — *θεοῦ* = Cass. *Σ*] *ἀληθεινὸν τὸν υἱὸν τοῦ θ̄υ* B *verbum dei filium dei deum* (Variante: *verbum deum filium*) *Λ* *τὸν λόγον τοῦ θ̄υ υἱὸν θ̄υ* J | **15**/**16** *ἀληθινὸν θεὸν* BAWm *deum* (Variante *deum verbum*, statt »verum«) *Λ* *ἀληθινὸν* VFrL Cass. *Σ* > J | **18** *διάγων* BVFW*Σ* *degens* Cass. *constitutus* *Λ* > ry | **19** *καὶ Π* Cass. > *ΣΛ*

»Εἴ τις εἴπῃ ὅτι ἐν τῷ πάθει τοῦ σταυροῦ τὴν ὀδύνην ὑπέμεινεν 8
»ὁ υἱὸς τοῦ θεοῦ θεός, καὶ οὐχὶ ἡ σὰρξ σὺν τῇ ψυχῇ ἥνπερ ἐνεδύσατο
»μορφὴν δούλου ἥνπερ ἑαυτῷ ἀνέλαβεν, ὡς εἴρηκεν ἡ ἁγία γραφή,
»ἀνάθεμα ἔστω.

»Εἴ τις μὴ εἴπῃ ὅτι ἐν τῇ σαρκὶ ἥνπερ ἀνέλαβε καθέζεται ἐν τῇ 9
»δεξιᾷ τοῦ πατρός, ἐν ᾗ καὶ ἐλεύσεται κρῖναι ζῶντας καὶ νεκρούς,
»ἀνάθεμα ἔστω.

»Εἴ τις μὴ εἴπῃ τὸ πνεῦμα τὸ ἅγιον ἐκ τοῦ πατρὸς εἶναι ἀληθῶς
»καὶ κυρίως, ὡς καὶ τὸν υἱὸν ἐκ τῆς θείας οὐσίας καὶ θεὸν θεοῦ
»λόγον, ἀνάθεμα ἔστω.

»Εἴ τις μὴ εἴπῃ πάντα δύνασθαι τὸ πνεῦμα τὸ ἅγιον καὶ πάντα

1—4 vgl. Theodoret. Dialog. III 243 PG 83, 296 CD. Epist. 144 ebd. 1373 C. Gelas. papae Tractatus III [Thiel, Epist. Rom. pontif. S. 556] — **3** Phil. 2, 7

B V F HN (n) + GS (s) = r AL (y) W

2 *θεός, καὶ οὐχὶ ἡ σὰρξ σὺν τῇ ψυχῇ* schreibe ich] *deus et non caro cum anima* Cass. *Λ* Gelas. *καὶ θεὸς καὶ οὐχὶ ἡ σὰρξ μετὰ τῆς ψυχῆς* Theodoret. Dialog. *καὶ οὐχὶ ἡ σὰρξ σὺν τῇ ψυχῇ* B *καὶ θεὸσ λόγοσ καὶ οὐχὶ ἡ σὰρξ σὺν τῇ ψυχῇ* VFW und, *καὶ*[1] > und *θεὸς λόγος* vor *ὁ υἱὸς τοῦ θεοῦ* ∽, *Σ θεότητι καὶ οὐχὶ σαρκὶ καὶ ψυχῇ λογικῇ* ry; vgl. Theodoret. Epist. 144: *ὑπέμεινεν ἡ θεότης, καὶ οὐχὶ τὸ σῶμα μετὰ τῆς ψυχῆς* | **2/3** *ἥνπερ ἐνεδύσατο μορφὴν δούλου ἥνπερ ἑαυτῷ ἀνέλαβεν* B*Σ quam induerat formam* (*forma* Cod. Lucen.) *servi quam sibi acceperat Λ quam induta est servi formam quam sibimet assumpsit* Gelas. *ἥνπερ ἐνεδύσατο ἡ μορφὴ τοῦ* (*τοῦ* > FW) *δούλου ἥνπερ ἑαυτῷ ἀνέλαβεν* VFW *qua induta est forma servi quam sibimet assumpsit* Cass. *ἣν ἐνεδύσατο ἡ τοῦ δούλου μορφὴ ἣν ἑαυτῷ ἔλαβε* Theodoret. Dialog. *ἥνπερ ἀνέλαβεν ἐν τῇ τοῦ δούλου μορφῇ* ry; vgl. Theodoret. Epist.: *ἡ τοῦ δούλου μορφή, ἣν τελείαν ἀνέλαβεν* | **4** nach *ἔστω* + *εἴ τισ μὴ εἴπῃ τὸν τοῦ* (*τοῦ* > W) *θεοῦ λόγον παθόντα σαρκὶ καὶ ἐσταυρωμένον σαρκὶ καὶ θανάτου γευσάμενον σαρκὶ* (*καὶ θαν. γ. σαρκὶ* > L) *γεγονότα τε πρωτότοκον ἐκ τῶν νεκρῶν καθ' ὃ ζωή ἐστι καὶ ζωοποιὸσ ὡσ θεὸσ* (*ὁ υἱὸσ* statt *ὡσ θεὸσ* n) *ἀνάθεμα ἔστω* ryW; diese (antinestorianische) Interpolation findet sich nicht bei BVF Cass. *ΣΛ*; ein Scholion in AS weist auf die Identität mit dem zwölften Anathematismus des Cyrillus hin: *σχόλιον· ταῦτα ἐπὶ λέξεωσ καὶ τὸ ιβ̄ κεφάλαιον περιέχει τοῦ ἁγίου κυρίλλου καὶ τίνοσ ἕνεκεν πρὸσ αὐτὸν διεμάχου θεοδώρητε εἰδὼσ τὰ τῶν πρ̄ω̄ν αὐτὸν εἰρηκέναι* am Rand AcS. Theodorets Angriffe gegen diesen Anath. z. B. PG 83, 1417 C 1433 D | **5** *τῇ*[1] > ry | *τῇ*[2] nur in B | **6** *ἐν ᾗ* > y, übergeschrieben Ac | *καὶ*[1] > F | **8** *εἶναι* > y, übergeschrieben Ac | **9/10** *θεὸν θεοῦ λόγον Π* Cass. *θεὸν ἐκ θεοῦ Σ deum verum Λ* »rectius. Graecus interpres legisse videtur *et deum verbum*« Val. | **11** *δύνασθαι* u. S. 301, 1 *εἰδέναι* ∽ V | *τὸ ἅγιον πνεῦμα* L

»εἰδέναι καὶ πανταχοῦ παρεῖναι, ὡς καὶ τὸν υἱὸν καὶ τὸν πατέρα, »ἀνάθεμα ἔστω.

»Εἴ τις εἴπῃ τὸ πνεῦμα τὸ ἅγιον ποίημα ἢ διὰ τοῦ υἱοῦ γεγε- **10** »νῆσθαι, ἀνάθεμα ἔστω.

»Εἴ τις μὴ εἴπῃ πάντα διὰ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος »τὸν πατέρα πεποιηκέναι, τουτέστι τὰ ὁρατὰ καὶ τὰ ἀόρατα, ἀνά- »θεμα ἔστω.

»Εἴ τις μὴ εἴπῃ τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύμα- **11** »τος μίαν θεότητα, ἐξουσίαν, θειότητα, δυναστείαν, μίαν δόξαν, »κυριότητα, μίαν βασιλείαν, μίαν θέλησιν καὶ ἀλήθειαν, ἀνάθεμα ἔστω.

»Εἴ τις τρία πρόσωπα μὴ εἴπῃ ἀληθινά, τοῦ πατρὸς καὶ τοῦ »υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος, ἴσα, ἀεὶ ζῶντα, τὰ πάντα κατέχοντα »τὰ ὁρατὰ καὶ τὰ ἀόρατα, πάντα δυνάμενα, πάντα κρίνοντα, πάντα »ζωοποιοῦντα, πάντα δημιουργοῦντα, πάντα σώζοντα, ἀνάθεμα ἔστω.

»Εἴ τις μὴ εἴπῃ προσκυνητὸν τὸ πνεῦμα τὸ ἅγιον παρὰ πάσης **12** »τῆς κτίσεως, ὡς καὶ τὸν υἱὸν καὶ τὸν πατέρα, ἀνάθεμα ἔστω.

»Εἴ τις περὶ τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καλῶς φρονήσει, περὶ δὲ »τοῦ ἁγίου πνεύματος οὐκ ὀρθῶς ἔχει, αἱρετικός ἐστιν ὅτι πάντες οἱ »αἱρετικοί, περὶ τοῦ υἱοῦ τοῦ θεοῦ καὶ περὶ τοῦ ἁγίου πνεύματος »κακῶς φρονοῦντες, ἐν τῇ τῶν Ἰουδαίων καὶ τῶν ἐθνικῶν ἀπιστίᾳ »τυγχάνειν ἐλέγχονται.

»Εἴ τις δὲ μερίσῃ θεὸν τὸν πατέρα λέγων καὶ θεὸν τὸν υἱὸν καὶ **13** »θεὸν τὸ πνεῦμα τὸ ἅγιον, καὶ διισχυρίσαιτο θεοὺς λέγεσθαι καὶ οὐχὶ

6 u. **13** Kol. 1, 16

B V F HN (n) + GS (s) = r AL (y) W

3 *εἴ τισ* — **4** *ἔστω* am Rand Ac > N | **5** *τοῦ υἱοῦ* BVFW Cass. *ΣΛ τοῦ υἱοῦ + τοῦ σαρκωθέντοσ* ry | **9** *θειότητα* BVFNsW übergeschrieben Ac *divinitatem* Cass. *maiestatem Λ = Σ* > Hy | **12** *ἴσα* VFW auf Rasur Ac *aequales* Cass. *ΣΛ εἰσ* BrL | *κατέχοντα* — **13** *πάντα*³ > B | **13** *τὰ ὁρατὰ καὶ τὰ ἀόρατα* ryW Cass. *ΣΛ* = Kol. *τὰ ἀόρατα καὶ τὰ ὁρατά* VF | **18** *οὐκ ὀρθῶς ἔχει* = Cass. *ΣΛ*] *οὐ καλῶσ ἔχει ἀνάθεμα ὅτι* n | **19** *τοῦ θεοῦ* VFryW Cass. *Λ* > B *Σ* | *περὶ*² = *de* Cass. *Λ* > B *Σ* | **20** *καὶ* By *καὶ τῇ* VFrW | **22** *δὲ* = Cass. *Σ* > B *Λ* | *μερίσῃ* B *diviserit* Cass. = *Σ partiatur Λ* (aber *patiatur* einige Codd., s. unten zu Z. 23 *καὶ διισχυρίσαιτο* > in *Λ*) *μερίσῃ* + *θεότητα* VFryW· | *λέγων* B Cass. *ΣΛ λέγων* + *ἀνὰ μέροσ* VFryW | *τὸν*²] *τὸ* B | **23** *τὸ πνᾶ τὸ ἅγιον* BVFW Cass. *Λ τὸ ἅγιον πνα* ry | *καὶ διϊσχυρίσαιτο* ry*Σ διϊσχυρίσαι τὸ* B *διϊσχυριζόμενοσ* VFW *affirmans* Cass., fehlt in *Λ*, s. Z. 22 die Lesart *patiatur* | *θεοὺσ* Bry Cass. *Λ τρεῖσ θεοὺσ* VFW *θεοὺσ πολλοὺσ Σ* | *οὐ* y

»θεὸν διὰ τὴν μίαν θεότητα καὶ δυναστείαν, ἥνπερ εἶναι πιστεύομεν »καὶ οἴδαμεν, τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος, »θεὸν ἕνα, ὑπεξελόμενος δὲ τὸν υἱὸν καὶ τὸ πνεῦμα τὸ ἅγιον, ὡς »μόνον ὑπονοήσει τὸν πατέρα θεὸν λέγεσθαι ἢ πιστεύεσθαι ἕνα θεόν, »ἀνάθεμα ἔστω.

»Τὸ γὰρ ὄνομα τῶν θεῶν καὶ τοῖς ἀγγέλοις καὶ τοῖς πᾶσιν ἁγίοις **14** »παρὰ τοῦ θεοῦ ἐτέθη καὶ ἐχαρίσθη· περὶ δὲ τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ »τοῦ ἁγίου πνεύματος, διὰ τὴν μίαν καὶ ἴσην θεότητα, οὐχὶ τῶν θεῶν »ὀνόματα ἀλλὰ τοῦ θεοῦ ἡμῶν ἐνδείκνυται καὶ σημαίνεται, ἵνα πιστεύω- »μεν ὅτι εἰς πατέρα καὶ υἱὸν καὶ ἅγιον πνεῦμα μόνον βαπτιζόμεθα, καὶ »οὐχὶ εἰς τὰ τῶν ἀρχαγγέλων καὶ ἀγγέλων ὀνόματα, ὡς αἱρετικοὶ ἢ »ὡς Ἰουδαῖοι ἢ ἐθνικοὶ παραφρονοῦντες. αὕτη τοίνυν ἡ τῶν Χριστια- **15** »νῶν σωτηρία ἐστὶν ὥστε πιστεύοντες τῇ τριάδι, τουτέστι τῷ πατρὶ καὶ »τῷ υἱῷ καὶ τῷ ἁγίῳ πνεύματι, καὶ βαπτιζόμενοι εἰς αὐτήν, μίαν θεό- »τητα καὶ δυναστείαν καὶ θειότητα καὶ οὐσίαν, εἰς αὐτὸν πιστεύομεν.«

Ταῦτα μὲν οὖν Γρατιανοῦ περιόντος ἐγένετο. ἐπειδὴ δὲ ἐκεῖνος **12**

16—S. 303, 5 vgl. Rufin. H. E. XI 13—14 [Georg. Mon. 563, 25] — **16**—S. 303, 11 vgl. Synops. 66, 1. Zonar. XIII 18, 1 f S. 84, 18 Socrat. V 11, 1—5. Sozomen. VII 13, 1—3

* **16**—S. 305, 11 Symeon. Vita Ambrosii 10—16

B V F HN (n) + GS (s) = r AL (y) W [bis **15**]

1 *θεὸν διὰ τὴν μίαν θεότητα* Bry Cass. *ΣΛ μίαν θεότητα ἐν τρισὶν ὑποστάσεσι* VFW | *δυναστείαν* Bry Cass. *Λ μίαν δυναστείαν* VFW*Σ* | **3** *θεὸν ἕνα* Bry Cass. *Σ* > VFW, und? (unsicherer Text) *Λ* | nach *ἕνα* + *ἐν τρισὶν ὑποστάσεσιν* ry, fehlt in Cass. *ΣΛ*; vgl. zu Z. 1. alter Randzusatz | *ὑπεξελόμενος δὲ*] *ὑφεξελόμενος δὲ* B *subtrahens vero* Cass. *subtrahens autem* einige Codd. *Λ subtrahens* andere Codd. *Λ* = *Σ ἢ πάλιν ὑφεξελόμενος* (*ὑπεξελόμενος* VHSW) VFryW | *τὸ ἅγιον πνεῦμα* n | **3/4** *ὡς μόνον ὑπονοήσει* VnyW = *Σ ὡς μόνον ὑπονοῆσαι* BFs *tanquam solum opinatus* Cass. *ita* (*ita* > einige Codd.) *solum existimet Λ* **4** *ἢ πιστεύεσθαι ἕνα θεόν* = *Λ*] *ἢ μὴ πιστεύεσθαι ἕνα θεόν* sy *ἢ πιστεύεσθαι Σ*; *λέγεσθαι ἢ — θεόν* nicht übersetzt von Cass. | **6** *πᾶσιν* = Cass. *ΣΛ* > B | *πᾶσιν τοῖς* ~ y | **7** *ἐτέθη καὶ* BVFW Cass. *ΣΛ* > ry | *περὶ*] *παρὰ* V | **9** *ἡμῶν Π* Cass. *nobis Λ* »scribendum est *ἡμῖν*« Val. | **9/10** *πιστεύομεν* B | **10** *μόνον* BVFsW Cass. *ΣΛ* > ny | **11** *καὶ ἀγγέλων* > W | *καὶ* B Cass. *et* (Variante *aut*) *Λ ἢ* VFry*Σ* | nach *ὡς* + *οἱ* ryW | **14** *βαπτιζόμενοι* — **15** *πιστεύομεν Π in ea baptizati, unam deitatem et potestatem et divinitatem et substantiam in eum esse credimus* Cass. Cod. L *βαπτ. εἰς αὐτὴν μίαν θεότητα καὶ μίαν δυναστείαν καὶ μίαν οὐσίαν εἰς αὐτὴν πιστεύομεν Σ*, unsicherer und unbrauchbarer Text in *Λ*; ob *οὐσίαν εἰς αὐτὴν* oder *οὐσίαν αὐτῆς*? vgl. *substantiam eiusdem* viele Codd. *Λ*, s. oben S. 301, 9 f | **16** *ιβ* am Rand HSS | *οὖν* > s Symeon | *ἐπειδὴ*] *ἐπεὶ* n

ἔν τε πολέμοις ἀριστεύων καὶ τὰς πόλεις σωφρόνως τε καὶ δικαίως ἰθύνων ἐξ ἐπιβουλῆς ἐτελεύτησε, παῖδας μὲν οὐ καταλιπὼν κληρονόμους τῆς βασιλείας, ἀδελφὸν δὲ κομιδῇ νέον ὁμώνυμον τοῦ πατρός, Μάξιμός τις τῆς Βαλεντινιανοῦ καταφρονήσας νεότητος ἥρπασε τὴν τῆς Ἑσπέρας ἡγεμονίαν.

Κατ' ἐκεῖνον δὲ τὸν χρόνον Ἰουστίνα, ἡ Βαλεντινιανοῦ μὲν τοῦ **13** μεγάλου γαμετή, τοῦ δὲ νέου μήτηρ, ἃ πάλαι τῆς Ἀρειανικῆς διδασκαλίας ἐδέξατο σπέρματα δῆλα πεποίηκε τῷ παιδί. τοῦ μὲν γὰρ ὁμόζυγος τὸ θερμὸν ἐπισταμένη τῆς πίστεως, λαθεῖν ἅπαντα τὸν χρόνον ἐσπούδασε· τοῦ δὲ παιδὸς τὸ τῶν φρενῶν ἁπαλὸν καὶ εὔεικτον θεωμένη προσενεγκεῖν τὴν ἐξαπάτην ἐθάρρησεν. ὁ δὲ τῆς μητρὸς **2** τὰς ὑποθήκας ὀνησιφόρους ὑπολαβὼν (εἰς γὰρ τὸ τῆς φύσεως δέλεαρ ἀποβλέπων τὸ θανατηφόρον ἄγκιστρον οὐχ ἑώρα), Ἀμβροσίῳ πρώτῳ τοὺς περὶ τούτων προσενήνοχε λόγους, ἡγούμενος, εἰ τοῦτον μεταπείσοι, τῶν ἄλλων ῥᾳδίως ἂν περιέσεσθαι καὶ οὐδένα ἀντίπαλον ἔσεσθαι. ὁ δὲ τῆς τε τοῦ πατρὸς ἀνεμίμνησκεν εὐσεβείας καὶ τὸν **3** κλῆρον παρεκάλει φυλάττειν ὃν παρέλαβεν ἄσυλον· ἐδίδασκε δὲ καὶ τὴν τῶν δογμάτων διαφοράν, καὶ ὅπως τὰ μὲν τῇ τοῦ κυρίου διδασκαλίᾳ καὶ τοῖς τῶν ἀποστόλων συμβαίνει κηρύγμασι, τὰ δὲ ἄντικρύς ἐστιν ἐναντία καὶ τῇ πνευματικῇ νομοθεσίᾳ μαχόμενα. ὁ δὲ νέος, **4** οἷα δὴ νέος καὶ παρὰ μητρὸς ἠπατημένης ἡγούμενος, οὐ μόνον οὐ προσίετο τὰ λεγόμενα, ἀλλὰ καὶ θυμοῦ πλήρης ἐγίνετο καὶ λόχοις ὁπλιτῶν τε καὶ πελταστῶν τοὺς ἐκκλησιαστικοὺς περιβόλους ἐκύκλου.

6—11 vgl. Rufin. H. E. XI 15 [Georg. Mon. 564, 10—17] — **22**—S. 304, 8 vgl. Paulini Vita Ambrosii 13 [griechisch Papadopoulos-Kerameus Ἀνάλεκτα Ἱεροσολ. σταχυολ. I 41]. Ambros. Epist. 20, 2 u. 8. Epist. 21, 14 PL 16

* **6—23** Niceph. H. E. XII 19 — **6**—S. 318, 4 Vaticanus syriac. 145 f. 69v (= Σ)

B V F HN (n) + GS (s) = r AL (y)

3 *νέον* Bry Symeon *νέον ὄντα* VF | **4** *τισ* B *δέ τισ* VFry *δὴ* Symeon *τὴν βαλ. καταφρονήσασ νεότητα* VF | **4** u. **6** *οὐαλεντινιανοῦ* BV Symeon | **6** *ιγ* am Rand HSS | *καιρὸν* VF | *ἰουστῖνα* VF | *μὲν* BVFy Symeon > r | **9** *ὁμόζυγοσ* B *ὁμοζύγου* VFry Symeon; vgl. S. 75, 16; 189, 19 | **11** *προενεγκεῖν* Val., s. aber Z. 14 | **12** *ὑποθήκασ* BVFny Symeon *συνθήκασ* s | **13** *ἀποβλέπων — ἄγκιστρον* = Symeon Nic. Σ > B | *οὐκ* B | **15/16** *καὶ οὐδένα ἀντίπαλον ἔσεσθαι* BΣ > VFry, vgl. Symeon: *αὐτὸσ δὲ οἷον ἀντίπαλον τὸν ἄνδρα ἐδόκει εἶναι* | **16** *τε* > ry, übergeschrieben Ac | **20** *ἐστιν* BVFr Symeon > y | **21** *δὴ* VFry Symeon > B | *θηγόμενοσ* = Σ] *θελγόμενοσ* S Symeon | *οὐ*2 > L | **22** *ἐγένετο* s, *ἐγίνετο* Symeon | *καὶ λόχοις — 23 ἐκκλησιαστικοὺσ* = Symeon > s | **23** *κύκλου* G *κυκλῶν* S

ἐπειδὴ δὲ τὸν μέγιστον ἐκεῖνον ἀριστέα οὐδὲν ἐδεδίξατο τῶν ὑπ' 5
αὐτοῦ γενομένων (μορμολύκεια γὰρ ὑπέλαβε ταῦτα, μειρακυλλίοις
ὑπό τινων προσφερόμενα), τότε δὴ χαλεπήνας προφανῶς αὐτὸν
ἐκέλευσε τῶν ἱερῶν ἔξω βῆναι προθύρων. ὁ δέ· »ἑκὼν εἶναι τοῦτο«, 6
ἔφη, »οὐ δράσω, οὐδὲ προδώσω τοῖς λύκοις τὸν τῶν προβάτων
σηκόν, οὐδὲ τοῖς βλασφημοῦσι τὸν θεῖον παραδώσω νεών· ἀλλ' εἰ
σοι κτεῖναι δοκεῖ, ἔνδον ἐπένεγκέ μοι τὸ ξίφος ἢ τὴν αἰχμήν· ἀσπα-
σίως γὰρ δέξομαι τὴν τοιαύτην σφαγήν«.

Χρόνου δὲ συχνοῦ τριβομένου, μεμάθηκε μὲν ὁ Μάξιμος τὰ κατὰ 14
τοῦ μεγαλοφώνου κήρυκος τῆς ἀληθείας τολμώμενα, ἐπέστειλε δὲ τῷ
Βαλεντινιανῷ, τὸν κατὰ τῆς εὐσεβείας πόλεμον καταλῦσαι παρεγγυῶν
καὶ παραινῶν μὴ προέσθαι τὴν πατρῴαν εὐσέβειαν· προστέθεικε δὲ
καὶ τοῦ πολέμου τὴν ἀπειλὴν εἰ μὴ πείθοιτο, καὶ μέντοι καὶ τοῖς
λόγοις τὸ ἔργον ἐπέθηκε. τὴν γὰρ στρατιὰν ἀγείρας ἐπὶ τὴν Μεδι-
όλανον ὥρμησεν ἔνθα ἐκεῖνος διῆγεν. ὁ δὲ μαθὼν τὴν ἔφοδον εἰς
Ἰλλυρίους ᾤχετο φεύγων, τῇ πείρᾳ μαθὼν τίνων ἐκ τῆς μητρῴας
ἀπώνατο συμβουλῆς.

Πυθόμενος δὲ Θεοδόσιος ὁ πανεύφημος βασιλεὺς τά τε παρὰ τοῦ 15
βασιλέως πραχθέντα καὶ τὰ παρὰ τοῦ τυράννου γραφέντα, ἔγραψε
τῷ πεφευγότι νέῳ μὴ χρῆναι θαυμάζειν, εἰ τῷ μὲν βασιλεῖ τὸ δέος,
τῷ δὲ τυράννῳ τὸ κράτος συνέζευκται· τῇ γὰρ εὐσεβείᾳ πεπολέμηκε
μὲν ὁ βασιλεύς, ὁ δὲ τύραννος ἐπεκούρησε. καὶ ὁ μὲν ταύτην προ- 2

9—17 vgl. Rufin. H. E. XI 16 S. 1022, 4 [Georg. Mon. 564, 20] — **10—12** vgl. Mansi III 673 — **15/16** vgl. Socrat. V 11, 12. Sozomen. VII 13, 11 — **18**—S. 305, 11 vgl. Zonar. XIII 18, 4 S. 85, 7. Georg. Mon. 565, 11—566, 20. Suidas *Οὐαλεντινιανός*

* **3—8** Cass. IX 20 — **9**—S. 305, 2 Cass. IX 21 — **9**—S. 305, 11 Niceph. H. E. XII 20—21

B V F HN (n) + GS (s) = r AL (y)

1 *ἐδεδείξατο* B | **2** *μορμολυκία* B | **4** *ἐκέλευε* L | *προθύρων* VFry Symeon *θυρῶν* B, vgl. S. 308, 2; 311, 2 | *ἑκὼν εἶναι τοῦτο ἔφη* B *ἑκὼν μὲν ἔφη τοῦτο* VFry Symeon | **5** *τῶν* Vs | **9** *ιδ* am Rand HSS | *μὲν* > VG | **10** *μεγαλοφώνου κήρυκος* = Symeon Cass. Σ] *μεγαλο////κήρυκοσ* V | **11** *οὐαλεντινιανῷ* BV Symeon | **12** *προέσθαι* = Symeon] *προΐεσθαι* B, vgl. S. 243, 12 | *προστέθηκεν* B | **13/14** *τοῖσ λόγοισ τὸ ἔργον* B *τὸ ἔργον τοῖσ λόγοισ* VFry Symeon, vgl. *verba operibus adimpleret* Cass. | **14/15** *μεδιολάνων* s | **16** *ἰλλυριοὺσ* Vy | *ᾤχετο* = Symeon] *ἵκετο* n | **18** *ιε* am Rand HSS | **19** *γραφέντα*] *πραχθέντα* L | **20** *βασιλεῖ μὲν* ∾ A | **21** *πεπολεμήκει* A

ἐμενος ἀποδιδράσκει γυμνός, ὁ δὲ ταύτῃ καθωπλισμένος τοῦ γεγυμνωμένου κρατεῖ· τῇ γὰρ εὐσεβείᾳ καὶ ὁ ταύτης σύνεστι νομοθέτης. ταῦτα μὲν οὖν ἑκὰς ὢν ἐπέστειλεν. ἐπειδὴ δὲ τὴν φυγὴν μεμαθηκὼς **3** εἰς ἐπικουρίαν ἀφίκετο καὶ τὴν μὲν οἰκείαν καταλελοιπότα βασιλείαν εἰς δὲ τὴν αὐτοῦ παραγενόμενον εἶδε, πρῶτον μὲν τῇ ψυχῇ τὴν θεραπείαν προσήνεγκε καὶ τὴν ἐπιγενομένην τῆς ἀσεβείας ἐξήλασε νόσον καὶ εἰς τὴν πατρῴαν εὐσέβειαν ἐπανήγαγεν· εἶτα θαρρεῖν παρεγγυήσας καὶ κατὰ τοῦ τυράννου στρατεύσας, ἀναιμωτὶ μὲν τῷ νέῳ τὴν βασιλείαν παρέδωκε. τὸν δὲ τύραννον ἔκτεινεν. ἀδικεῖν γὰρ ὑπέλαβεν **4** καὶ τὰς πρὸς Γρατιανὸν γεγενημένας παραβαίνειν συνθήκας, εἰ μὴ ποινὴν τοὺς ἀπεκταγκότας εἰσπράξαιτο τῆς σφαγῆς.

Μετὰ δὲ τὴν ἐκεῖθεν ἐπάνοδον ἀφίκετο μὲν Ἀμφιλόχιος ὁ θαυ- **16** μάσιος, οὗ πολλάκις ἐμνήσθην, ἀντιβολῶν τοὺς τῶν Ἀρειανῶν ἐκ τῶν πόλεων ἐξελαθῆναι συλλόγους· ὁ δὲ βασιλεὺς ἀπηνεστέραν ὑπο- λαβὼν τὴν αἴτησιν οὐκ ἐδέξατο. ὁ δὲ σοφώτατος Ἀμφιλόχιος παραυ- **2** τίκα σιγήσας μνήμης ἀξίαν ἐξηύρηκεν μηχανήν. εἴσω γὰρ αὖθις τῶν βασιλείων γενόμενος καὶ παρεστῶτα τῷ βασιλεῖ τὸν υἱὸν Ἀρκάδιον θεασάμενος (νεωστὶ δὲ οὗτος κεχειροτόνητο βασιλεύς), αὐτὸν μὲν ἠσπάσατο συνήθως τὸν βασιλέα, ἀγέραστον δὲ κατέλιπε τὸν υἱόν. ὁ δὲ βασιλεύς, ἐπιλησθῆναι νομίσας τὸν Ἀμφιλόχιον, προσελθεῖν καὶ **3** φιλῆσαι προσέταξε τὸν υἱόν· ὁ δὲ ἀποχρῆν ἔφη τὴν αὐτῷ παρ' αὐτοῦ προσενεχθεῖσαν τιμήν. ὁ δὲ δυσχεράνας οἰκείαν ἐκάλει παροινίαν τὴν τοῦ παιδὸς ἀτιμίαν. τηνικαῦτα λοιπὸν ὁ σοφώτατος Ἀμφιλόχιος ἐκκαλύπτει τὸν τοῦ γεγενημένου σκοπὸν καὶ βοῶν ἔφη· »ὁρᾷς, ὦ βασιλεῦ, ὅπως οὐ φέρεις τὴν τοῦ παιδὸς ἀτιμίαν, ἀλλὰ τοῖς εἰς τοῦτον

7—11 vgl. Rufin. H. E. XI 17. unt. S. 324, 14/15 — **13** ob. S. 230, 6; 270, 9; 287, 23 — **17**—S. 306, 6 vgl. Sozomen. VII 6, 4—7. Vita Amphilochii PG 39, 25. Symeon 7—8 PG 116, 965 D. Zonar. XIII 19, 10 S. 91, 11

* **12**—S. 306, 6 Niceph. H. E. XII 9. Cass. IX 25 — **13**—S. 306, 6 Georg. Mon. 576, 3. Cedren. I 555, 15. Synops. 64, 18. Synax. 249, 10 u. 149, 48.

B V F HN (n) + GS (s) = r AL (y)

2 *συνέστη* V | **3** *ἑκὰς ὢν* = Σ] *ἑκάστω* B, *πόρρω ὢν* Symeon | *ἀπέστειλεν* F | *ἐπειδὴ*] *ἐπεὶ* n | **10** *παραβαίνειν* = Symeon Σ > B | **11** *ἀπεκτανκότας* BFs *ἀπεκτακότας* N *ἀπεκτονότας* HL Symeon | *σφαγῆς* = Symeon Σ] *φυγῆς* V | **12** *ις* am Rand HSS | **14** *ἐξελασθῆναι* B Synops. | **16** *ἄξιον* VF | *ἐξηύρηκεν* B *ἐξεύρηκε* VF *ἐξεῦρε* ry Georg. Synax. | **18** *νεόστι* B | **19** *κατέλιπε* = Georg. Cass.] *κατέλειπεν* B | **21** *ἀποχρῆν* Sy *ἀποχρὴν* VF *ἀπόχρην* BG Georg. Cod. P *ἀπόχρη* Synops. Georg. übr. Codd. (jedoch Cod. E *ἀποχρῆ*) *ἀποχρῆναι* n

παροινοῦσι χαλεπαίνεις πικρῶς. πίστευσον δὴ οὖν καὶ τὸν τῶν ὅλων 4
θεὸν τοὺς τὸν υἱὸν αὐτοῦ τὸν μονογενῆ βλασφημοῦντας βδελύττεσθαι,
καὶ ὡς ἀχαρίστους περὶ τὸν σωτῆρα καὶ εὐεργέτην γεγενημένους
μισεῖν«. οὕτω συνεὶς ὁ βασιλεὺς καὶ τά τε πεπραγμένα καὶ τὰ εἰρη- 5
μένα θαυμάσας, νόμον εὐθὺς ἔγραψε τοὺς τῶν αἱρετικῶν συλλόγους
κωλύοντα.

Ἀλλὰ γὰρ οὐ ῥᾴδιον πάσας διαφυγεῖν τοῦ κοινοῦ τῶν ἀνθρώ- [ιζ′]
πων πολεμίου τὰς ἄρκυς. πολλάκις γάρ τις διαδρὰς τῆς ἀσελγείας 6
τὸ πάθος τῇ τῆς πλεονεξίας περιπείρεται πάγῃ· εἰ δὲ καὶ ταύτης
κρείττων φανείη, ἑτέρωθεν ἀναφύεται τοῦ φθόνου τὸ βάραθρον· κἂν
τοῦτο δὲ πάλιν ὑπερπηδήσῃ, τοῦ θυμοῦ τὸ δίκτυον εὑρήσει προκεί-
μενον· καὶ ἄλλας δὲ μυρίας τοῖς ἀνθρώποις τίθησι ποδοστράβας,
ἀγρεύων εἰς ὄλεθρον. καὶ τὰ μὲν πάθη τοῦ σώματος ὑπουργοῦντα 7
ἔχει ταῖς κατὰ τῆς ψυχῆς τεκταινομέναις ὑπ᾽ αὐτοῦ μηχαναῖς· μόνος
δὲ ὁ νοῦς ἐγρηγορὼς περιγίγνεται τῇ περὶ τὰ θεῖα ῥοπῇ τῶν μηχα-
νημάτων διαλύων τὴν ῥύμην. τῆς ἀνθρωπείας δὴ οὖν φύσεως καὶ ὁ
θαυμάσιος οὗτος μετασχὼν βασιλεὺς καὶ τῶν παθημάτων μετέλαχε,
καὶ τῷ δικαίῳ θυμῷ ἀμετρία προσγινομένη ὠμόν τι καὶ παράνομον
εἰργάσατο πάθος. ἐρῶ δὲ καὶ τοῦτο τῆς τῶν ἐντευξομένων εἵνεκα
ὠφελείας· οὐ γὰρ μόνον κατηγορίαν ἔχει τοῦ θαυμαστοῦ βασιλέως,
ἀλλὰ καὶ εὐφημίαν μνήμης ἀξιωτάτην.

Θεσσαλονίκη πόλις ἐστὶ μεγίστη καὶ πολυάνθρωπος, εἰς μὲν τὸ 17
Μακεδόνων ἔθνος τελοῦσα, ἡγουμένη δὲ καὶ Θετταλίας καὶ Ἀχαΐας

5/6 vgl. Maximin. c. Amb. S. 77, 29 f [Kauffmann]. Cod. Theod. XVI 4, 2. 5, 15. 5, 11 u. 12 — **8 f** vgl. I Tim. 6, 9—10. Theodoret. Gr. aff. cur. S. 99, 13/14; 146, 21 f [Raeder] — **22**—S. 307, 12 vgl. Sozomen. VII 25, 3—6. Rufin. H. E. XI 18. Malal. S. 347, 16. Synops. 65, 15. Zonar. XIII 18, 9 S. 85, 16

* **7**—S. 313, 20 Niceph. H. E. XII 40—41. Cass. IX 30 — **7**—S. 317, 5 Symeon. Vita Ambrosii 18—32

B V F HN (n) + GS (s) = r AL (y)

2 *βδελλίττεσθαι* B | **3** *τὸν* nur in B | **4** *τε* VrA^{c} > BFy | *καὶ τὰ*^{2}B *τά τε* VFry, vgl. S. 304, 19; 320, 22 | **5** *θαυμάσας*] *ἀκούσας* V *γρ. θαυμάσας* V^{m} | **7** ιζ am Rand HSS | *διαφυγεῖν* = Symeon] *διαφεύγειν* B | **10** *κρεῖττον* B | **12** *τίθησι τοῖς ἀνθρώποις* ~ V | *ποδοστρόβας* B | **14** *ψυχῆς* übergeschrieben A^{c} | **15** *ἐγρηγορότως* B, *vigilans* Cass. = Σ | **17** *οὗτος μετασχὼν*] *μεταλαχὼν* L | **18** *προσγινομένη* BV *προσγενομένη* Fry Symeon, vgl. Cass.: *furori immensam permiscens crudelitatem* | **19** *ἕνεκα* BH | **19/20** *ὠφελείας εἵνεκα* ~ y | **20** nach *ἔχει* + *τὸ ὑπὸ* A | **22** kein neues Capitel in HSS | nach *ἐστὶ* + *μνήμης ἀξία* expungiert L

καὶ μέντοι καὶ ἄλλων παμπόλλων ἐθνῶν ὅσα τῶν Ἰλλυρίων τὸν ὕπαρχον ἡγούμενον ἔχει. ἐν ταύτῃ στάσεως γενομένης τινὸς κατελεύσθησάν τε καὶ κατεσύρησαν τῶν ἀρχόντων τινές. ὁ δὲ βασιλεὺς **2** ἐξαφθεὶς ὑπὸ τῶν ἀγγελθέντων οὐκ ἤνεγκε τοῦ θυμοῦ τὴν ὁρμὴν οὐδὲ τῷ χαλινῷ τοῦ λογισμοῦ τὴν τούτου ῥύμην ἐκώλυσεν, ἀλλὰ τούτῳ τὴν ψῆφον ἐξενεγκεῖν τῆς τιμωρίας ἐπέτρεψε. ταύτην δὲ τὴν **3** ἐξουσίαν ἐκεῖνος λαβών, οἷα δὴ αὐτόνομός τε καὶ τύραννος τὸν δεσμὸν ἀπορρήξας καὶ τοῦ λογισμοῦ διαφυγὼν τὸν ζυγόν, ἄδικα ξίφη κατὰ πάντων ἐγύμνωσε καὶ τοὺς ἀθώους μετὰ τῶν ὑπευθύνων κατέκτεινεν. ἑπτὰ γάρ, ὥς φασιν, ἀνθρώπων ἀνῃρέθησαν χιλιάδες, οὐ κρίσεως ἠγησαμένης καὶ τῶν τὰ δεινὰ ἐκεῖνα τετολμηκότων κατακριθέντων, ἀλλ' ὡς ἐν ἀμήτῳ πάντων ὁμοῦ δίκην ἀσταχύων κατατμηθέντων.

Ταύτην μαθὼν τὴν ὀδυρμῶν γέμουσαν συμφορὰν Ἀμβρόσιος **18** ἐκεῖνος, οὗ πολλάκις ἐμνήσθην, ἀφικόμενον εἰς τὴν Μεδιό- **2**

12 vgl. Micha 7, 1 — **14** ob. S. 218, 19 f; 270, 12; 303, 13 f

* **2**—S. 313, 19 Georg. Mon. 577, 5 — **2**—S. 317, 8 Cedren. I 556, 11. Michael Syr. VII 8, 307

B V F HN (n) + GS (s) = r AL (y)

2 *τινὸς* vor *γενομένης* ∽ B > Symeon Cass. | **4** *ὁρμὴν*] *ῥωπὴν* B *ῥύμην* Georg., der aber **5** *οὐδὲ — ἐκώλυσεν* ausläßt | **6** *ἐξενεγκεῖν* = Georg.] *ἐνεγκεῖν* V | **10** *ἀνῶν* B Nic. *hominum* Cass. = Σ > VFry Symeon Georg. | **12** *ἐν* > F | *σταχύων* B, vgl. *ἀσταχύων* Theod. Rel. Hist. 17 PG 83, 1421 C; *ἀστάχυας* Gr. aff. cur. S. 167, 7 [Raeder] | **13** *ιῃ* am Rand HSS außer B | **14** statt *ἐκεῖνος οὗ πολλάκις ἐμνήσθην* hier die folgende lange Interpolation in B [Einige gleichgiltige Schreibfehler verbessere ich nicht. Da das Flickwerk von Bibelworten wimmelt, vermerke ich bloß die wichtigsten Stellen]:

ἐξ ἐπιστολῆς Ἀχολίου τοῦ ἐπισκόπου τῆς Θεσσαλονικαίων· ἐγὼ δὲ καὶ ταύτην τὴν ἐπιστολὴν ἐνθήσω τῇ συγγραφῇ. ἔχει γὰρ οὕτως·

»Ὁ πάλαι τὸν ἠρεμοῦντα ἐν εὐπρεπείᾳ ἄνθρωπον ἐν τῷ παραδείσῳ φθόνῳ ιη'
»τῆς ἑαυτοῦ κακίας ἐκβαλὼν διάβολος, καὶ νῦν ἀθρωως [sic] ὀργὴν τινὰ παρα-
»σκευάσας [παρεσκευάσας B] πάλῃ πολεμικῇ καὶ φθονώδη [sic] τὴν εὐπρεπῆ πόλιν
»Θεσσαλονίκην εἰς σύγχυσιν αἰσχύνης ἤγαγεν. καὶ τὴν [τὴν übergeschrieben B] *σώ-*
»φρονα ἐν ταύτῃ ἐκπορνεῦσαι ἐν στάσει ἐβιάσατο, καὶ τοὺς τρυφεροὺς αὐτῆς
»πόδας ἐποίησεν πορευθῆναι ὁδὸν τραχεῖαν· καὶ ἀνεκαλύφθη ἡ τρυφερὰ Σωσάννα,
»καὶ τοὺς ἐντίμους θησαυροὺς τῆς πραότητος αὐτῆς ἀπειρημένοι τινὲς καὶ ξένοι
»ὑπανοίξαντες ἀπεσύλησαν, καὶ ἡ πάντας παρακαλοῦσα νῦν ἀπαράκλητός ἐστιν, ἡ
»πᾶσι συμπαθὴς νῦν ἀσυμπαθὴς καθέστηκεν τῷ τραύματι πληγεῖσα. ἀπειρημένοι
»γάρ τινες καθῄρησαν αὐτῆς τὸν τῆς ἐπιεικίας φραγμόν· ἐτρύγησαν γὰρ αὐτὴν
»πάντες οἱ τὴν στάσεως ἐκπορευόμενοι ὁδόν, καὶ τὴν εὐπειθῆ δούλην πρὸς θείους

7/8 vgl. Baruch 4, 26 — **8/9** vgl. Susanna 31/32 — **12/13** vgl. Psal. 79, 13

λανον τὸν βασιλέα καὶ συνήθως εἰς τὸν θεῖον εἰσελθεῖν βουληθέντα νεὼν ὑπαντήσας ἔξω τῶν προθύρων, ἐπιβῆναι τῶν ἱερῶν

1 f vgl. Sozomen. VII 25, 1—2. Malal. S. 347, 22. Synops. 65, 22. Zonar. XIII 18, 13 S. 86, 9 [über die Wahrheit der Tatsachen s. Ambros. Epist. 51]

B V F HN (n) + GS (s) = r AL (y)

2 *ναὸν* s

»καὶ εὐσεβεῖς δεσπότας ὡς ἀνυπότακτον καὶ τυραννίδα διαβαλεῖν ἐπετήδευσαν· καὶ »ἥτις ἐκ μαζῶν πραΰτητος τοῖς ἰδίοις τέκνοις ἐχορήγει γάλα, νῦν ῥοιζηδὸν αἵματος »καὶ θλίψεως καθορᾷ ἀποστάζοντα ἐκ μαζῶν. τὴν ἐπ' αὐτοφώρῳ φωραθεῖσαν »[ἐπαντοφώρῳ φωραθεῖσαν B] ἀκατάκριτον φυλάξαι σπούδασον.

»Ἀπειρημένοι γάρ τινες κατηραμένοι ὄργανα τοῦ διαβόλου τοὺς ταύτης πλοκάμους διαρρήξαντες φαλακρώματα ὀνειδισμῶν ἐπὶ τῆς κεφαλῆς αὐτῆς ἐπήγαγον. ἡ ποτὲ ὡραία τῷ κάλλει καὶ χαροποιοὺς [ohne Accent B] ἔχουσα τοὺς ὀφθαλμοὺς ὡς ἡ »Ῥαχήλ, νῦν ἀμβλυωπεῖ ὡς ἡ Λία ἐκ τῆς θλίψεως, ἡ εὐπαρρησίαστος αἰσχύνεται νῦν, »ἡ εὔλαλος [ohne Accent B] ἐν χαρᾷ ἐξ αἰσχύνης βεβώβωται, ἡ τοὺς ξένους σκέ- »πουσα νῦν ὑπὸ ξένων γεγύμνωται. εἰ δὲ νῦν κλαίει Ῥαχὴλ τὰ τέκνα πάντα ὁρῶσα »ἀνῃρημένα, εἰς αὐτὴν ἐλέχθη· »πῶς ἐγένετο πόρνη πόλις πιστὴ Σιῶν;« ἀλλ' »ἰδοὺ μήκοθεν [sic] ὡς ἡ Χαναναία πρὸς σὲ βοᾷ, πάτερ, ὡς ἡ αἱμορροοῦσα προσπίπτει »τῷ σωτῆρι, τοῦ κρασπέδου τῆς προσβείας ἅψασθαι θέλουσα· καὶ τίς ὁ ταύτης ἀν- »τιλήπτωρ, εἰ μὴ ἡ σὴ ἁγιότης; ὁδήγησον τὰς θείας ἀκοὰς τῶν δεσποτῶν εἰς οἰ- »κτειρμούς· τοὺς εὐσεβεῖς παρακάλεσον, τοὺς ἐλεήμονας ἱκέτευσον, τοὺς τῇ σφρα- »γίδι Χριστοῦ τὴν ἐκ δύσεως βροντὴν † δὲ ὡς τυραννίδος κατασβέσαντας, ἵν' ἐλεή- »σωσιν ἣν ἔσωσαν ἐκ βαρβάρων, τὴν καταποντιζομένην νῦν σὺν τοῖς ἐπιβάταις »σώσωσιν. μὴ ὁ τὴν στάσιν ποιήσας διάβολος εἴπῃ ὅτι ἴσχυσα· καὶ γὰρ λαὸν ἀπει- »θήσαντα καὶ παραπικράναντα ὁ θεὸς οὐ παρεῖδεν. νικησάτωσαν ἐν τῷ ἀγαθῷ »τὸ κακόν· ἐπινευσάτωσαν τῇ ῥωπῇ [sic] τῆς εὐσεβείας αὐτῶν· μὴ τὴν πολύτεκνον »ἀτεκνώσουσιν [sic], μὴ τὴν ἔντιμον ἀτιμάσωσιν, μὴ τὴν φιλοδέσποτον καταπονή- »σωσιν. ἡ ῥάβδος τῶν οἰκτειρμῶν σου προφθασάτω, ἵνα διαρραγέντος τοῦ σάκκου »τῆς θλίψεως αὐτῆς μετὰ παρ(ρη σίας ψάλλῃ λέγουσα· »ἤκουσεν κύριος καὶ »ἠλέησέν με, κύριος ἐγενήθη βοηθός μου«. καὶ πᾶσαν τὴν ὀφειλὴν τῆς »ἀδικίας αὐτῆς οἱ οἰκτείρμονες συγχωρήσωσιν, ἵνα καὶ εἰς τὴν αὐτῶν θειότητα »φθάσῃ τὸ εἰρημένον· »μακάριοι οἱ ἐλεήμονες ὅτι αὐτοὶ ἐλεηθήσονται«. »καὶ δηλωθεὶς ὅτι ἀγαθὸς ποιμὴν ὑπάρχεις καὶ τὸν [τῶν B] ὑπὲρ τῆς λογικῆςποί- »μνης τοῦ Χριστοῦ κίνδυνον ἀναδεξάμενος, τὰ μηκοθεν [sic] ἐσκορπισμένα πρόβατα »συναγάγῃς [συναγαγεὶς B], ἅγιε πάτερ.«

Ὁ δὲ θεῖος Ἀμβρόσιος δεξάμενος τὴν ἐπιστολὴν ταύτην καὶ μαθὼν ἐξ αὐτῆς τὰ γεγενημένα ἐν τῇ Θεσσαλονικαίων πόλει,

3 vgl. Joh. 8, 4 f — — **6** vgl. Ezech. 7, 18. Jes. 15, 2. Amos 8, 10 — **6—8** Gen. 29, 17. 49, 12. I Kön. 12, 24i B (A 14, 4) — **10/11** Jerem. 38, 15 — **11** Jes. 1, 21 — **12/13** Matth. 15, 22. 9, 20 — **13/14** Psal. 3, 4 u. ö. — **14/15** vgl. I Kön. 8, 50 — **18** Psal. 12, 5 — **18/19** Jes. 65, 2. Psal. 5, 11 u. ö. — **19/20** vgl. Röm. 12, 21 — **22—24** Psal. 29, 11—13 — **24** vgl. Matth. 18, 32 — **26** Matth. 5, 7 — **28/29** vgl. Joh. 11, 52

προπυλαίων τοιάδε λέγων ἐκώλυσεν· »οὐκ οἶσθα ὡς ἔοικεν, ὦ βασιλεῦ, τῆς εἰργασμένης μιαιφονίας τὸ μέγεθος, οὐδὲ μετὰ τὴν τοῦ θυμοῦ παῦλαν ὁ λογισμὸς ἐπέγνω τὸ τολμηθέν· οὐκ ἐᾷ γὰρ ἴσως τῆς βασιλείας ἡ δυναστεία ἐπιγνῶναι τὴν ἁμαρτίαν, ἀλλ' ἐπι-
προσθεῖ ἡ ἐξουσία τῷ λογισμῷ. χρὴ μέντοι εἰδέναι τὴν φύσιν καὶ 3
τὸ ταύτης θνητόν τε καὶ διαρρέον καὶ τὸν πρόγονον χοῦν ἐξ οὗ γεγόναμεν καὶ εἰς ὃν ἀπορρέομεν, καὶ μὴ τῷ ἄνθει τῆς ἁλουργίδος ἀποβουκολούμενον ἀγνοεῖν τοῦ καλυπτομένου σώματος τὴν ἀσθένειαν. ὁμοφυῶν ἄρχεις, ὦ βασιλεῦ, καὶ μὲν δὴ καὶ ὁμοδούλων· εἷς γὰρ 4
ἁπάντων δεσπότης καὶ βασιλεὺς ὁ τῶν ὅλων δημιουργός. ποίοις τοίνυν ὀφθαλμοῖς ὄψει τὸν τοῦ κοινοῦ δεσπότου νεών; ποίοις δὲ ποσὶ τὸ δάπεδον ἐκεῖνο πατήσεις τὸ ἅγιον; πῶς δὲ τὰς χεῖρας ἐκτενεῖς ἀποσταζούσας ἔτι τοῦ ἀδίκου φόνου τὸ αἷμα; πῶς δὲ τοιαύταις ὑποδέξῃ χερσὶ τοῦ δεσπότου τὸ πανάγιον σῶμα; πῶς δὲ τῷ στόματι
προσοίσεις τὸ αἷμα τὸ τίμιον, τοσοῦτο διὰ τῶν τοῦ θυμοῦ λόγων ἐκχέαντι παράνομον αἷμα; ἄπιθι τοίνυν, καὶ μὴ πειρῶ τοῖς δευτέροις τὴν προτέραν αὔξειν παρανομίαν καὶ δέχου τὸν δεσμόν, ᾧ ὁ θεὸς ὁ τῶν ὅλων δεσπότης ἄνωθεν γίγνεται σύμψηφος· ἰατρικὸς δὲ οὗτος καὶ πρόξενος ὑγείας.«

Τούτοις εἴξας ὁ βασιλεὺς τοῖς λόγοις (τοῖς γὰρ θείοις λογίοις 5
ἐντεθραμμένος ἤδει σαφῶς τίνα μὲν τῶν ἱερέων, τίνα δὲ τῶν βασιλέων ἴδια), στένων καὶ δακρύων ἐπανῆλθεν εἰς τὰ βασίλεια. χρόνου δὲ συχνοῦ διελθόντος (ὀκτὼ γὰρ ἀναλώθησαν μῆνες), κατέλαβεν ἡ τοῦ σωτῆρος ἡμῶν γενέθλιος ἑορτή· ὁ δὲ βασιλεὺς ἐν τοῖς βασιλείοις

6/7 vgl. Gen. 3, 19

* **24**—S. 313, 7 Theophan. 72, 29. Cramer II 98, 10. Exc. Bar. f. 222v

B V F HN (n) + GS (s) = r AL (y)

2 *ἠργασμένης* B | *μετὰ* > A | **4** *δυναστεία* = Georg. Symeon Nic. Cass. Σ] *δύναμις* n, vgl. 314, 2 | **6** *τε* = Symeon > B | *καὶ τὸν* — **7** *ἀπορρέομεν* Bm | **9** vor *ὁμοφυῶν* + *καὶ* V | *μὲν δὴ καὶ* = Symeon > V Cass. | **11** *ὄψῃ* B | *τὸν* Fm | **12** *πατήσῃς* B | **15** *τίμιον* = Georg. Symeon Nic. Cass.] *ἅγιον* BΣ, *τίμιον* Bm | *τοσοῦτο* BVF *τοσοῦτον* ry Georg. | *τῶν* — *λόγων* B *verborum* Cass. Σ *τὸν* — *λόγον* VFry Georg. > Symeon | **16** *ἐκχέαντι παράνομον* BVF Georg. Codd. (außer P *παρανόμως*) *ἐκχέας παρανόμως* ry und, mit anderer Wortfolge, Symeon, *iniuste sit sanguis effusus* Cass.; *παρὰ νόμον* schreibt de Boor, aber vgl. S. 306, 18 u. 307, 8 | **17** *ᾧ*] *ὃ* B | *ὁ* > V Georg. | **18** *τῶν ὅλων ὁ* ∾ L | *ἄνωθεν* = Georg. Symeon > n Cass. | **19** *ὑγείας* Ny | **20** *τοῖς λόγοις ὁ βασιλεὺς* ∾ B, Georg. Symeon wie im Text | **22** *στένων* > F | **23** *ἀνηλώθησαν* VFNS

ὀλοφυρόμενος καθῆστο, τὴν τῶν δακρύων ἀναλίσκων λιβάδα. τοῦτο 6
θεασάμενος Ῥουφῖνος (μάγιστρος δὲ τηνικαῦτα ἦν καὶ πολλῆς μετεῖχε
παρρησίας ἅτε δὴ συνηθέστερος ὤν), προσελθὼν ἤρετο τῶν δακρύων
τὸ αἴτιον. ὁ δὲ πικρὸν ἀνοιμώξας καὶ σφοδρότερον προχέας τὸ 7
δάκρυον· »σὺ μέν«, ἔφη, »ὦ Ῥουφῖνε, παίζεις· τῶν γὰρ ἐμῶν οὐκ
ἐπαισθάνῃ κακῶν. ἐγὼ δὲ στένω καὶ ὀλοφύρομαι τὴν ἐμαυτοῦ συμ-
φοράν, λογιζόμενος ὡς τοῖς μὲν οἰκέταις καὶ τοῖς προσαίταις ἄνετος
ὁ θεῖος νεὼς καὶ εἰσίασιν ἀδεῶς καὶ τὸν οἰκεῖον ἀντιβολοῦσι δεσπό-
την, ἐμοὶ δὲ καὶ οὗτος ἄβατος καὶ πρὸς τούτῳ μοι ὁ οὐρανὸς ἀπο-
κέκλεισται. μέμνημαι γὰρ τῆς δεσποτικῆς φωνῆς ἣ διαρρήδην φησίν· 8
»ὃν ἂν δήσητε ἐπὶ τῆς γῆς ἔσται δεδεμένος ἐν τοῖς οὐρανοῖς«.
ὁ δέ· »δραμοῦμαι«, ἔφη, »εἴ σοι δοκεῖ, καὶ τὸν ἀρχιερέα πείσω λιπα-
ρήσας λῦσαί σοι τὰ δεσμά«. »οὐ πείσεται«, ἔφη ὁ βασιλεύς. »οἶδα
γὰρ ἐγὼ τῆς Ἀμβροσίου ψήφου τὸ δίκαιον, οὐδὲ αἰδεσθεὶς τῆς βασι-
λείας τὴν ἐξουσίαν τὸν θεῖον παραβήσεται νόμον«.

Ἐπειδὴ δὲ πλείοσι χρησάμενος ὁ Ῥουφῖνος λόγοις πείθειν ὑπέ- 9
σχετο τὸν Ἀμβρόσιον, ἀπελθεῖν αὐτὸν ὁ βασιλεὺς κατὰ τάχος ἐκέ-
λευσεν· καὶ αὐτὸς δὲ ὑπὸ τῆς ἐλπίδος βουκοληθεὶς ἠκολούθησε μετὰ
βραχύ, ταῖς ὑποσχέσεσι τοῦ Ῥουφίνου πιστεύσας. αὐτίκα δὲ τὸν 10
Ῥουφῖνον ἰδὼν ὁ θεῖος Ἀμβρόσιος· »τὴν τῶν κυνῶν«, ἔφη, »ἀναί-
δειαν, ὦ Ῥουφῖνε, ζηλοῖς. τοσαύτης γὰρ μιαφονίας γενόμενος σύμ-
βουλος τὴν αἰδῶ τῶν μετώπων ἀπέξυσας, καὶ οὔτε ἐρυθριᾷς οὔτε
δέδιας, τοσοῦτον κατὰ τῆς θείας λυττήσας εἰκόνος«. ἐπειδὴ δὲ ὁ 11
Ῥουφῖνος ἠντιβόλει καὶ τὸν βασιλέα ἔλεγεν ἥξειν, ὑπὸ τοῦ θείου ζήλου

11 Matth. 18, 18

B V F HN (n) + GS (s) = r AL (y)

1 *ὀλοφυρόμενος* BVF Cass. Σ am Rand A^c > ry | *τὴν*] *καὶ τὴν* F | **2** *ῥουφίνος* immer B | *μετεῖχε*] *μετείληχε* VF | **4** *πικρὸν* BVFr Symeon *πικρῶς* y | *προσχέας* B | **5** *ὦ* B Symeon Σ > VFry Nic. Cass. | **7** nach *ἄνετος* + *ἐστι* L | **8** *εἴσισιν* B *εἰσίεσαν* F | **9** *πρὸ τούτων* L | **10** *φησίν*] *βοᾷ* VΣ | **11** *δεδεμένους* B | **13** *σοι τὰ δεσμά* VFsy *σου τὰ δεσμά* Bn *σε* (*σου* Cod. B) *τοῦ δεσμοῦ* Georg. *σε τῶν δεσμῶν* Symeon, *ut solvatur vinculum quod ligavit* Cass.; vgl. S. 311, 10. 14 und 339, 15 | **14** *τῆσ*^{1} zweimal am Ende und Anfang der Zeile B | **17** *ὁ βασιλεὺς* = Symeon Cass. > V Georg. Σ | **19** *τοῦ*] *ταῖσ* B | *πιστεύσας* = Symeon Cass. Σ] *πεισθείσ* n | *δὲ* Bry Σ > VF Cass., *γοῦν* Symeon | **20/21** *ἔφη ἀναίδειαν* (*ἀναίδιαν* B) B Symeon *εἶπεν ἀναίδειαν* Georg. *ἀναίδειαν ἔφη* VFry | **21** *ὦ* B Georg. Symeon Cass. Σ > VFry | *τοσαύτης* = Georg. Cass.] *τοιαύτησ* B | **23** *τοσοῦτο* V | **24** *ἥξειν ἔλεγεν* ∾ B Symeon, Cass. wie im Text

πυρποληθεὶς Ἀμβρόσιος ὁ θεσπέσιος· »ἐγώ«, ἔφη, »ὦ Ῥουφῖνε, προλέγω ὡς κωλύσω τῶν ἱερῶν αὐτὸν ἐπιβῆναι προθύρων· εἰ δὲ εἰς τυραννίδα τὴν βασιλείαν μεθίστησι, δέξομαι κἀγὼ μεθ' ἡδονῆς τὴν σφαγήν«. τούτων ὁ Ῥουφῖνος ἀκούσας ἐμήνυσε διά τινος τῷ βασιλεῖ **12** τὸν τοῦ ἀρχιερέως σκοπὸν καὶ μένειν εἴσω τῶν βασιλείων παρήνεσεν.

Ὁ δὲ βασιλεὺς κατὰ μέσην τὴν ἀγορὰν ταῦτα μαθών· »ἄπειμι«, ἔφη, »καὶ τὰς δικαίας δέξομαι παροινίας«. ἐπειδὴ δὲ τοὺς ἱεροὺς περιβόλους **13** κατέλαβεν, εἰς μὲν τὸν θεῖον οὐκ εἰσελήλυθε νεών, πρὸς δὲ τὸν ἀρχιερέα παραγενόμενος (ἐν δὲ τῷ ἀσπαστικῷ οἴκῳ οὗτος καθῆστο) ἐλιπάρει λυθῆναί οἱ τὸν δεσμόν. ὁ δὲ τυραννικὴν ἐκάλει τὴν παρου- **14** σίαν, καὶ κατὰ θεοῦ μεμηνέναι τὸν Θεοδόσιον ἔλεγε καὶ τοὺς ἐκείνου νόμους πατεῖν. ὁ δὲ βασιλεύς· »οὐ θρασύνομαι«, ἔφη, »κατὰ τῶν κειμένων νόμων οὐδὲ παρανόμως ἐπιβῆναι τῶν ἱερῶν προθύρων ἐφίεμαι, ἀλλὰ σὲ λῦσαί με τῶν δεσμῶν ἀξιῶ καὶ τὴν τοῦ κοινοῦ δεσπότου φιλανθρωπίαν λογίσασθαι καὶ μὴ κλεῖσαί μοι θύραν ἣν πᾶσι τοῖς μεταμελείᾳ χρωμένοις ὁ δεσπότης ἀνέῳξεν«. ὁ δὲ ἀρχιε- **15** ρεύς· »ποίαν οὖν«, ἔφη, »μεταμέλειαν ἔδειξας μετὰ τοσαύτην παρανομίαν; ποίοις δὲ φαρμάκοις τὰ δυσίατα ἐθεράπευσας τραύματα;« ὁ δὲ βασιλεύς· »σὸν ἔργον«, ἔφη, »τὸ καὶ δεῖξαι καὶ κεράσαι τὰ φάρμακα, ἐμὸν δὲ τὸ δέξασθαι προσφερόμενα«. τότε ὁ θεῖος Ἀμβρόσιος· »ἐπειδὴ τῷ **16** θυμῷ«, ἔφη, »τὸ δικάζειν ἐπιτρέπεις καὶ οὐχ ὁ λογισμὸς τὴν γνῶσιν ἀλλ' ὁ θυμὸς ἐκφέρει, γράψον νόμον τοῦ θυμοῦ τὰς ψήφους ἀργὰς

22—S. 312, 11 vgl. Rufin. H. E. XI 18. Sozomen. VII 25, 7. Synops. 65, 28. Zonar. XIII 18, 14 S. 86, 11. Malal. 348, 2. Cod. Theod. IX 40, 13

B V F HN (n) + GS (s) = r AL (y)

1 ἐγώ BVFrSymeon ἐγὼ μὲν y ἀλλ' ἐγὼ Georg. *ego vero* Cass. | ἔφη > L | **2** ἐπιβῆναι] προβῆναι A | **5** ἀρχιεπισκόπου n | **7** δέξομαι VFry Georg. Symeon ἐκδέξομαι B εἰσδέξομαι Georg. Codd. ABV *suscipio* Cass. | **9** δὲ nach ἀσπαστικῷ ~ n | καθῆστο = Symeon Nic.] κεκάθηστο B | **10** λυθῆναι οι (sic) τὸν δεσμόν B λυθῆναι τὸν δεσμόν Fs λ. τῶν δεσμῶν V λ. τῶν δεσμῶν ny τοῦ δεσμοῦ λ. Georg. τῶν δεσμῶν ἀπολυθῆναι Symeon *ut eius vincula resolveret* Cass., den Singular bezeugt Σ | **11** θεοῦ BV Georg. Symeon τοῦ θεοῦ Fry | **14** με τῶν δεσμῶν B με (einige Codd. μοι) τῶν δεσμῶν Georg. Codd. *te solvere mea vincula* Cass. μοι τῶν δεσμῶν Ny μοι τὸν δεσμὸν VFHs Symeon Σ | **16** ὁ δεσπότης ἀνέῳξεν > L | **17** ποίαν οὖν ἔφη B Symeon Cass. καὶ ποίαν φησίν Georg. ἔφη ποίαν οὖν VFry | μετὰ = Georg. Symeon] μετὰ τὴν B | **17/18** παρανομίαν] παροινίαν L | **19** φησί n | **20** προσφερόμενα B Georg. τὰ προσφερόμενα VFry | nach Ἀμβρόσιος + εἶπεν B + λέγει Georg., Cass. Symeon wie im Text | **20/21** τῷ θυμῷ > L | **21** ἔφη > B Georg. | ἐπιτραπεὶσ F

ποιοῦντα καὶ περιττάς. καὶ τριάκοντα ἡμέρας αἱ φονικαὶ καὶ δημευτικαὶ μενέτωσαν γνώσεις ἐν γράμμασιν, τὴν τοῦ λογισμοῦ προσδεχόμεναι κρίσιν. διελθουσῶν δὲ τῶνδε τῶν ἡμερῶν, οἱ τὰ ἐγνωσμένα 17
γεγραφότες τὰ προστεταγμένα δεικνύτωσαν. καὶ τηνικαῦτα τοῦ θυμοῦ
πεπαυμένου, καθ' ἑαυτὸν δικάζων ὁ λογισμὸς ἐξετάσει τὰ ἐγνωσμένα
καὶ ὄψεται εἴτε ἄδικα εἴτε δίκαια εἴη. καὶ εἰ μὲν εὑροι ἄδικα, δῆλον 18
ὅτι διαρρήξει τὰ γεγραμμένα· εἰ δέ γε δίκαια, βεβαιώσει, καὶ ὁ τῶν
ἡμερῶν ἀριθμὸς οὐ λυμανεῖται τοῖς ὀρθῶς ἐγνωσμένοις«. ταύτην
ὁ βασιλεὺς δεξάμενος τὴν εἰσήγησιν καὶ ἄριστα ἔχειν ὑπολαβών, εὐθὺς
γραφῆναί τε τὸν νόμον ἐκέλευσε καὶ τοῖς τῆς οἰκείας χειρὸς ἐβεβαίωσε γράμμασι· τούτου δὲ γενομένου, διέλυσε τὸν δεσμὸν ὁ θεῖος
Ἀμβρόσιος.

Οὕτως ὁ πιστότατος βασιλεὺς εἴσω γενέσθαι θαρρήσας τοῦ θείου 19
νεώ, οὐχ ἑστὼς τὸν δεσπότην ἱκέτευεν οὐδὲ τὰ γόνατα κλίνας, ἀλλὰ
πρηνὴς ἐπὶ τοῦ δαπέδου κείμενος τὴν Δαυϊτικὴν ἀφῆκε φωνήν·
»ἐκολλήθη τῷ ἐδάφει ἡ ψυχή μου, ζῆσόν με κατὰ τὸν λόγον σου«,
καὶ ταῖς χερσὶν ἀποτίλλων τὰς τρίχας καὶ τὸ μέτωπον τύπτων καὶ
ταῖς τῶν δακρύων σταγόσι τοὔδαφος καταρραίνων συγγνώμης ἠντιβόλει τυχεῖν. ἐπειδὴ δὲ ὁ καιρὸς ἐκάλει τῇ ἱερᾷ τραπέζῃ τὰ δῶρα 20
προσενεγκεῖν, ἀναστὰς μετὰ τῶν ἴσων δακρύων τῶν ἀνακτόρων
ἐπέβη· προσενέγκων δὲ ὥσπερ εἰώθει, ἔνδον παρὰ τὰς κιγκλίδας
μεμένηκεν. ἀλλὰ πάλιν ὁ μέγας Ἀμβρόσιος οὐκ ἐσίγησεν, ἀλλ' ἐξεπαίδευσε τὴν τῶν τόπων διαφοράν. καὶ πρῶτον μὲν ἤρετο εἴ τινος 21
δέοιτο· τοῦ δὲ βασιλέως εἰρηκότος ὡς προσμένει τὴν τῶν θείων
μυστηρίων μετάληψιν, ἐδήλωσεν ὑπουργῷ τῷ τῶν διακόνων ἡγου-

16 Psal. 118, 25 — **18** vgl. Ambr. De obitu Theodosii 34 — **22**—S. 313, 13 vgl. Sozomen. VII 25, 9

* **20—23** Leo Grammaticus 104, 3?

B V F HN(n)+GS(s)=r AL(y)

1 *φονικαὶ* BV Georg. Symeon *φονευτικαὶ* Fry, vgl. *τὰς ψήφους τὰς φονικὰς* Zonar. | **2** *ἐν γράμμασιν* B Georg. Symeon *in litteris* Cass. Σ *ἐγγεγραμμέναι* VFry *γεγραμμέναι* Nic. | **3** *τῶνδε* > ry, *quibus* Cass. | **6** *εὕροι* = Symeon > B, *ratio probaverit* Cass. | **7** *δίκαια βεβαιώσει*] *βέβαια δικαιώσει* s *δίκαια καὶ βεβαιώσει* B, *καὶ* fehlt auch bei Cass. Σ | **10** *τε* > VG | **14** *οὐκ ἑστῶσ* B *ἱκέτευεν* B Georg. Σ *ἱκέτευσεν* VFry Symeon Cass. | *γόνα* B | **15** vor *φωνήν* noch einmal *τὴν* B | **18** *τὸ ἔδαφοσ* B | *καταρραίνων* ny *καταραίνων* BVFs | **21** *κινκλίδασ* Bs | **22/23** *ἐπαίδευσε* B, *edocuit* Cass. | **24** *προσμένειν* VFNGA *προσμένοι* Symeon

μένῳ χρησάμενος ὅτι· »τὰ ἔνδον, ὦ βασιλεῦ, μόνοις ἐστὶν ἱερεῦσι βατά, τοῖς δὲ ἄλλοις ἅπασιν ἄδυτά τε καὶ ἄψαυστα. ἔξιθι τοίνυν καὶ τοῖς ἄλλοις κοινώνει τῆς στάσεως· ἀλουργὶς γὰρ βασιλέας, οὐχ ἱερέας ποιεῖ«. καὶ ταύτην δὲ ὁ πιστότατος βασιλεὺς ἀσμένως δεξάμενος τὴν εἰσή- 22
γησιν, ἀντεδήλωσεν ὡς οὐ θρασύτητι χρώμενος ἔνδον τῶν κιγκλίδων μεμένηκεν, ἀλλ' ἐν Κωνσταντινουπόλει τοῦτο εἶναι ἔθος μαθών· »χάριν δὲ ὀφείλω«, ἔφη, »καὶ τῆσδε τῆς ἰατρείας«. τοσαύτῃ καὶ τηλι- 23
καύτῃ καὶ ὁ ἀρχιερεὺς καὶ ὁ βασιλεὺς διέλαμπον ἀρετῇ· ἀμφοτέρων γὰρ ἔγωγε ἄγαμαι, τοῦ μὲν τὴν παρρησίαν, τοῦ δὲ τὴν εὐπείθειαν, καὶ τοῦ μὲν τὴν τοῦ ζήλου θερμότητα, τοῦ δὲ τὴν τῆς πίστεως καθαρότητα.

Τοὺς δὲ δὴ τῆς εὐσεβείας ὅρους, οὓς παρὰ τοῦ μεγάλου ἀρχιερέως 24
μεμάθηκε, καὶ εἰς τὴν Κωνσταντινούπολιν ἐπανελθὼν διετήρησεν. ἑορτῆς γὰρ αὐτὸν πάλιν θείας εἰς τὸν θεῖον ἀγαγούσης νεών, τῇ ἱερᾷ τραπέζῃ τὰ δῶρα προσενεγκὼν εὐθὺς ἐξελήλυθε· τοῦ δὲ τῆς ἐκ-
κλησίας προέδρου (Νεκτάριος δὲ τηνικαῦτα ἦν) δεδηλωκότος· »τί δή ποτε μὴ μεμένηκας ἔνδον;« δυσχεράνας· »μόγις«, ἔφη, »βασιλέως καὶ ἱερέως ἐδιδάχθην διαφοράν, μόγις γὰρ εὗρον ἀληθείας διδάσκαλον. Ἀμβρόσιον γὰρ οἶδα μόνον ἐπίσκοπον ἀξίως καλούμενον«. τοσοῦτον 25
ὀνίνησιν ἔλεγχος παρὰ ἀνδρὸς ἀρετῇ λάμποντος προσφερόμενος.

Εἶχε δὲ καὶ ἄλλην ἀφορμὴν ὠφελείας ὁ βασιλεύς. ἡ γὰρ τοῦ 19
γάμου τὸν ζυγὸν σὺν αὐτῷ δεξαμένη τῶν θείων αὐτὸν συνεχῶς

* **21**—S. 314, 21 Niceph. H. E. XII 42. Cass. IX 31

B V F HN (n) + GS (s) = r AL (y)

1 *βάσιμα* VF Symeon | **2** *ἄδυτά τε* = Georg. Symeon] *ἄβατά τε* B | *ἔξιθι* = Georg. Symeon] *ἔξελθε* B | **3** *γὰρ* > n | *οὐκ ιερέας* B | **4** *πιστὸς* y | **5** *κινκλίδων* BG | **6** *μεμένηκεν* VFry Symeon *μεμένικα* B, die erste Person bezeugen auch Georg. Nic. Cass. Σ, vgl. zu S. 240, 3 | *τοῦτο ἔθος εἶναι* B Cass. *ἔθος εἶναι τοῦτο* Georg. | **7** *ὀφείλω* = Georg. Σ] *ἔχω* B Nic. | **8** *ὁ βασιλεὺς καὶ ὁ ἀρχιερεὺς* ∽ n Symeon, Georg. Cass. Σ wie im Text | *ἀρετῇ διέλαμπον* ∽ s | **9** *τοῦ μὲν — εὐπείθειαν* = Symeon Cass. Σ > V | **12** *δὴ* > B | **14** *αὐτοῦ* A | *θεῖον* = Nic. Symeon] *πλησίον* B > Cass. Σ | *ἀγαγούσης*] *ἀγούσησ* B Symeon, *cum . . processisset* Cass. | **16** *τί*] *ὅτι* B | **17** *μὴ* Bry Symeon *οὐ* VF *δυσχεράνασ* BVFr Symeon *στενάξασ* y > Cass. | **17** u. **18** *μόλισ* n Nic. Symeon | **17** *ἔφη* > s | **18** *γὰρ* BVF Cass. Σ > ry Nic., vgl. *ἐπεὶ καὶ μόλις* Symeon | **19** *γὰρ* VFry Georg. Cass. > B Symeon | **20** *ὀνίνησιν* VFry Cedren. Σ *ὄνησιν* Symeon *ὄνησεν ὁ* B *profuit* Cass. | **21** *ιθ* am Rand HSS | **22** *σὺν αὐτῷ*] *μετ' αὐτοῦ* n | *αὐτὸν*] *αὐτῶ* n

ἀνεμίμνησκε νόμων, ἑαυτὴν τούτους πρῶτον ἀκριβῶς ἐκπαιδεύσασα. οὐ γὰρ ἐπῆρεν αὐτὴν τῆς βασιλείας ἡ δυναστεία, ἀλλὰ τὸν θεῖον πλέον ἐπύρσευσε πόθον· τῆς γὰρ εὐεργεσίας τὸ μέγεθος μεῖζον τὸ **2** περὶ τὸν εὐεργέτην εἰργάζετο φίλτρον. αὐτίκα γοῦν καὶ τῶν τὸ σῶμα πεπηρωμένων καὶ ἅπαντα τὰ μέλη λελωβημένων παντοδαπὴν ἐποιεῖτο φροντίδα, οὐκ οἰκέταις οὐδὲ δορυφόροις ὑπουργοῖς κεχρημένη, ἀλλ᾽ αὐτουργὸς γιγνομένη καὶ εἰς τὰς τούτων καταγωγὰς ἀφικνουμένη καὶ ἑκάστῳ τὴν χρείαν πορίζουσα. οὕτω καὶ τῶν ἐκκλησιῶν **3** τοὺς ξενῶνας περινοστοῦσα τοὺς κλινοπετεῖς δι᾽ ἑαυτῆς ἐνοσήλευεν, αὐτὴ καὶ χύτρας ἅπτομένη καὶ ζωμοῦ γευομένη καὶ τρύβλιον προσφέρουσα καὶ ἄρτον κλῶσα καὶ ψωμοὺς ὀρέγουσα καὶ κύλικα ἀποκλύζουσα καὶ τὰ ἄλλα πάντα ἐργαζομένη ὅσα οἰκετῶν καὶ θεραπαινίδων ἔργα νενόμισται. καὶ τοῖς τὴν αὐτουργίαν ἐπέχειν πειρωμένοις ἐπέ- **4** λεγεν ὡς· »τὸ μὲν χρυσίον διανέμειν τῇ βασιλείᾳ προσήκει, ἐγὼ δὲ ὑπὲρ αὐτῆς γε τῆς βασιλείας τὴν αὐτουργίαν τῷ δεδωκότι προσφέρω«. καὶ τῷ δὲ ὁμόζυγι συνεχῶς εἰώθει λέγειν· »ἀεί σε, ὦ ἄνερ, προσήκει λογίζεσθαι τί μὲν ἦσθα πάλαι, τί δὲ γέγονας νῦν· ταῦτα γὰρ διηνεκῶς **5** ἐνθυμούμενος οὐκ ἔσῃ περὶ τὸν εὐεργέτην ἀχάριστος, ἀλλ᾽ ἣν ἐδέξω βασιλείαν κυβερνήσεις ἐννόμως, καὶ ταύτῃ θεραπεύσεις τὸν δεδωκότα«. τοιούτοις ἀεὶ κεχρημένη λόγοις οἷόν τινα καλλίστην ἀρδείαν καὶ πρόσφορον τοῖς τῆς ἀρετῆς τοῦ ἀνδρὸς προσέφερε σπέρμασι.

Προτέρα μέντοι τοῦ ὁμόζυγος ἐτελεύτησε· καὶ συνέβη μετὰ χρόνον **6** [κ′]

7/8 vgl. Gregor. Nyss. Or. funeb. de Placilla PG 46, 889 D

* **22**—S. 315, 17 Niceph. H. E. XII 43 — **22**—S. 317, 5 Cass. IX 32

B V F HN (n) + GS (s) = r AL (y)

1 *ἐκπαιδεύουσα* B *erudiens* Cass., *ἐκπονήσασα* Symeon *ἐκπαιδευθεῖσα* Nic. **3** *ἐνεπύρσευσε* F | **4** *εὐεργέτην* = Nic. Symeon Cedren. Cass. Σ] *δεσπότην* A | *εἰργάζετο* = Symeon Cedren. Cass. Σ] *εἰργάσατο* B | **5** *πεπηρωμένων — λελωβημένων* = Symeon Σ *claudorum atque debilium* Cass.] *λελεπρωμένων* B, unseren Text lasen auch Cedren. Nic. | **7/8** *καὶ εἰς — ἀφικνουμένη* > L | **8** *καὶ*[1] Bry Symeon Cass. > VF | *οὕτω* — **9** *περινοστοῦσα* = Symeon Cass. Σ > B | **9** *δι᾽ ἑαυτῆς* > V, *suis manibus* Cass. | **10** *αὕτη* By > Cass. | **10** *καὶ ζωμοῦ γευομένη* = Symeon Cass. Σ > B | **13** *ἐπέχειν* Bn Nic. *prohibere* Cass. Σ *ἔχειν* VFsy | **14** *τῇ βασιλείᾳ* = Nic. Cass. Σ] *τῇ βασιλεῖ* B | **15** *αὐτουργίαν* = Σ *hoc opus* Cass.] *λειτουργείαν* B | *τῷ δεδωκότι τὴν αὐτουργίαν* ∾ L | **16** *καὶ* = Σ > BS, *nam* Cass. | *δὲ*] *δὴ* VF, *δὲ* nach *ὁμόζυγι* ∾ Hy Cedren. Σ | *ὁμοζύγω* n | **20** *ἀρδείαν* = Symeon Σ] *ἀνδρείαν* B | **22** *κ̄* am Rand BVFr | *ὁμόζυγος* VFL *ὁμοζύγου* r *συζύγου* Symeon *ἀνδρὸς* BA Cedren.

τινὰ τῆς τελευτῆς τοιόνδε τι γενέσθαι, ὃ τὴν τοῦ βασιλέως περὶ αὐτὴν φιλοστοργίαν ἐγύμνωσεν.

Ὑπὸ τῶν συχνῶν πολέμων ἀναγκαζόμενος ὁ βασιλεὺς εἰσφοράν **20**
τινα ξένην ταῖς πόλεσιν ἐπιτέθεικεν. ἡ δὲ Ἀντιόχου πόλις τὸ καινὸν
5 τέλος οὐκ ἤνεγκεν, ἀλλ᾽ ὁρῶν ὁ δῆμος τοὺς εἰσπραττομένους κρεμαννυμένους, ἄλλα τε ἔδρασεν ἃ ποιεῖν φιλεῖ ὄχλος πρόφασιν εἰς ἀταξίαν λαμβάνων, καὶ τὴν χαλκῆν εἰκόνα τῆς πανευφήμου Πλακίλλης (τοῦτο γὰρ ἦν ὄνομα τῇ βασιλίδι) κατήνεγκέ τε καὶ ἐπὶ πολὺ τῆς πόλεως κατέσυρε μέρος. ταῦτα πυθόμενος ὁ βασιλεὺς καὶ χαλεπήνας, ὥσπερ **2**
10 εἰκὸς ἦν, τά τε τῆς πόλεως ἀφείλετο προνόμια καὶ τῇ γειτονευούσῃ πόλει τὴν ἡγεμονίαν δέδωκε, ταύτῃ μάλιστα νομίζων ἀνιάσειν· ἐξηλοτύπει γὰρ ἡ Λαοδίκεια τὴν Ἀντιόχειαν ἄνωθεν. μετὰ δὲ ταῦτα καὶ ἐμπρήσειν ἠπείλει καὶ καταλύσειν καὶ εἰς κώμην τὸ ἄστυ μετασκευάσειν. οἱ δέ γε ἄρχοντες καὶ ἀνεῖλόν τινας παρ᾽ αὐτὸ συλλαβόντες
15 τὸ τόλμημα, πρὶν γνῶναι τὸν βασιλέα τὴν τραγῳδίαν. ταῦτα δὲ **3**
πάντα ὁ βασιλεὺς προσέταττε μέν, οὐκ ἐγίνετο δέ, τοῦ νόμου κωλύοντος ὃν Ἀμβρόσιος ὁ μέγας τεθῆναι παρῄνεσεν. ἐπειδὴ δὲ ἀφίκοντο **4**
οἱ τὰς ἀπειλὰς ἐκείνας κομίζοντες, Ἑλλέβηχός τε στρατηγὸς τηνικαῦτα ὢν καὶ Καισάριος τῶν βασιλείων ἡγούμενος (μάγιστρον δὲ οἱ Ῥωμαῖοι
20 καλοῦσι τὸν ταύτην ἔχοντα τὴν ἀρχήν), ἐν δέει μὲν ἦσαν ἅπαντες τὰς ἀπειλὰς πεφρικότες.

3—9 vgl. Sozomen. VII 23, 1. Zonar. XIII 18, 30 S. 89, 4. Libanius 19, 25. 22, 4. 20, 4. Zosim. IV 41 — **10/11** vgl. Joh. Chrys. Ad pop. Ant. Hom. 17 PG 49, 176 Z. 18. Libanius 20, 6 — **12**—S. 316, 3 vgl. Joh. Chrys. ebd. 172 — **18**—S. 316, 28 Theodoret. Relig. Histor. 13 PG 82, 1404 B ff

* **3**—S. 317, 3 Joh. von Nikiu 83, Notices et extraits des man. de la Bibl. nat. t. 24 S. 451 — **17**—S. 317, 8 Niceph. H. E. XII 44

B V F HN (n) + GS (s) = r AL (y)

1 *τι* = Symeon Cass. > B | *γενέσθαι* = Symeon] *γίγνεσθαι* B | *τοῦ* > L **3** *π* am Rand y | *ὁ βασιλεὺς ἀναγκαζόμενος* ∾ B, *βιαζόμενος ὁ βασιλεὺς* Cedren.; Symeon wie im Text | **4** *ἐπιτέθηκεν* B | *ἀντιοχούπολις* B | **6** *ὁ ὄχλος* Ns | **7** *τῆς* — **8** *βασιλίδι*] *τῆσ βασιλίδοσ* s | **11** *δέδωκε* = Symeon Cedren.] *ἔδωκεν* B | **13** *ἐμπρήσιν ἠπίλει καὶ κατάλυσιν* B | **13/14** *μετασκευάσαι* V | **14** *γε* = Cedren. > B Symeon | **16** *πάντα ὁ*] *ἅπαντα* B *ταῦτα ὁ* s | *μὲν προσέταττεν* ∾ B | *ἐγίνετο* = Cedren. *ἐποίει* Symeon *fiebant* Cass.] *ἐγένετο* BΣ | **17** *ἐπειδὴ*] *ἐπεὶ* n | **18** *ἐκείνας* = Symeon Cedren. Σ] *ἐκείνου* n, *imperatoris* Cass. | *ἐλλέβηχός τε* F und, *η* in *ι* corr., V *ἀλλέβηχός τε* B *ἐλεβῆχοσ τὲ* nA *ἐλέβιχός* (*-κός* G) *τε* s *ἐλεύβηχός τε* L *Hellebichus* Cass. *Ἑλλέβιχος* Libanius Chrysost. | **19** *καίσαροσ* B

Οἱ δὲ τὴν ὑπώρειαν οἰκοῦντες τῆς ἀρετῆς ἀθληταὶ (πολλοὶ δὲ ἦσαν τηνικαῦτα καὶ ἄριστοι) πολλὰς καὶ παραινέσεις καὶ παρακλήσεις τοῖς ἀνδράσιν ἐκείνοις προσήνεγκαν. Μακεδόνιος δὲ ὁ θειότατος, 5
οὐδὲν μὲν τῶν κατὰ τὸν βίον ἐπιστάμενος καὶ τῶν θείων δὲ λογίων
5 πάμπαν ἄπειρος ὤν, ἐν δὲ ταῖς τῶν ὀρέων κορυφαῖς διαιτώμενος καὶ νύκτωρ καὶ μεθ' ἡμέραν τῷ σωτῆρι τῶν ὅλων καθαρὰς προσφέρων εὐχάς, οὐ τοῦ βασιλέως καταπλαγεὶς τὴν ὀργὴν οὔτε μὴν τῶν ἀποσταλέντων τὴν ἐξουσίαν εἰς νοῦν λαβών, ἐν μέσῳ τῷ ἄστει τῆς χλανίδος θατέρου λαβόμενος ἀμφοτέρους ἐκ τῶν ἵππων καταβῆναι
10 κελεύει. οἱ δὲ μικρὸν γερόντιον εὐτελῆ ῥάκια περιβεβλημένον ἰδόντες, τὸ πρῶτον μὲν ἐχαλέπηναν· ἐπειδὴ δέ τινες τῶν ἡγουμένων τὴν τοῦ ἀνδρὸς ἐδήλωσαν ἀρετήν, κατεπήδησάν τε ἀπὸ τῶν ἵππων καὶ τῶν ἐκείνου γονάτων ἐπιλαβόμενοι συγγνώμην ἐξήτουν.

Ὁ δὲ τῆς θείας σοφίας ἐμφορηθεὶς τοιοῖσδε πρὸς αὐτοὺς ἐχρή- 6
15 σατο λόγοις· »εἶπατε, ὦ φίλοι ἄνδρες, τῷ βασιλεῖ· οὐ βασιλεὺς εἶ μόνον, ἀλλὰ καὶ ἄνθρωπος. μὴ τοίνυν μόνην ὅρα τὴν βασιλείαν, ἀλλὰ καὶ τὴν φύσιν λογίζου· ἄνθρωπος γὰρ ὢν ὁμοφυῶν βασιλεύεις· κατ' 7
εἰκόνα δὲ θείαν καὶ ὁμοίωσιν ἡ τῶν ἀνθρώπων δεδημιούργηται φύσις. μὴ τοίνυν ὠμῶς οὕτω καὶ ἀπηνῶς τοῦ θεοῦ τὴν εἰκόνα
20 κατασφαγῆναι κελεύσῃς· παροξύνεις γὰρ τὸν δημιουργὸν τὴν ἐκείνου κολάζων εἰκόνα. σκόπησον γὰρ ὡς καὶ σὺ χαλκῆς ἕνεκα δυσχεραίνων εἰκόνος ταῦτα ποιεῖς· ὅσον δὲ τῆς ἀψύχου διαφέρει ἡ ἔμψυχός τε καὶ ζῶσα καὶ λογική, δῆλον ἅπασι τοῖς γε νοῦν ἔχουσι. πρὸς δὲ 8
τούτοις λογισάσθω κἀκεῖνο, ὡς ἡμῖν μὲν ῥᾴδιον ἀντὶ τῆς μιᾶς εἰκό-
25 νος πολλὰς δημιουργῆσαι χαλκᾶς, αὐτῷ δὲ πάμπαν ἀδύνατον μίαν γοῦν τῶν ἀναιρεθέντων δημιουργῆσαι τρίχα.«

Ταῦτα ἀκούσαντες οἱ θαυμαστοὶ ἄνδρες ἐκεῖνοι διεπόρθμευσαν 9
τὰ εἰρημένα τῷ βασιλεῖ καὶ τὴν τοῦ θυμοῦ κατέσβεσαν φλόγα. καὶ ἀντὶ τῶν ἀπειλῶν ἐκείνων ἀπολογίαν ἔγραψε καὶ τῆς ὀργῆς τὴν

8/9 vgl. Joh. Chrys. Ad pop. Ant. Hom. 17 PG 49, 173 Z. 34 — **17/18** vgl. Gen. 1, 26—27 — **19—26** vgl. Joh. Chrys. ebd. 173 Z. 22 — **27/28** vgl. Joh. Chrys. ebd. 174 Z. 56

B V F HN (n) + GS (s) = r AL (y)

1 *ὑπουρίαν* F *ὕπουριν* B | **3** *δὲ*] *τε* B, *autem* Cass. | **4** *θεῖον* B | *δὲ* > L | **5** *ὀρέων* B Nic. *ὀρῶν* VFry, vgl. ob. S. 248, 15 u. Gr. aff. cur. S. 256, 20 [Raeder] | **7** *ὀργὴν*] *ὁρμὴν* H | *μὴν* nur in BV | **10** *μικρὸν* = Symeon Cedren. Cass. > B (am Zeilenende) u. Σ | *ῥάκια* A *ῥάκη* n | **11** *ἐπειδὴ*] *ἐπεὶ* n **13** *ἐξήτουν* ny | **21** *δυσχεραίνων* A m | **24** *κἀκεῖνο* BV Nic. Symeon Cedren. Cass. Σ *κἀκεῖνα* Fry | **26** *γοῦν* = Nic. Symeon Cedren. *vel* (*unum*) Cass. > B

αἰτίαν ἐδήλωσεν. »οὐκ ἔδει γάρ«, ἔφη, »ἐμοῦ πλημμελήσαντος, γυναῖκα πάσης εὐφημίας ἀξιωτάτην τοσαύτην μετὰ τελευτὴν δέξασθαι παροινίαν, κατ' ἐμοῦ δὲ ἐχρῆν τὸν θυμὸν τοὺς ἀγανακτοῦντας ὁπλίσαι«. προστέθεικε δὲ ὡς ἀλύει καὶ ἀνιᾶται, τινὰς ὑπὸ τῶν ἀρχόντων
5 ἀνηρῆσθαι μαθών. ἐγὼ δὲ ταῦτα διεξῆλθον, καὶ τοῦ πανευφήμου μονάζοντος τὴν παρρησίαν οὐχ ἡγησάμενος δίκαιον παραδοῦναι λήθῃ καὶ τὸν νόμον ἐκεῖνον δεικνὺς ὀνησιφόρον, ὃν ὁ μέγας Ἀμβρόσιος γραφῆναι παρήνεσεν.

Ὁ δὲ πιστότατος βασιλεὺς κατὰ τῆς Ἑλληνικῆς πλάνης μετέθηκε **21**
10 τὴν σπουδὴν καὶ νόμους ἔγραψε τὰ τῶν εἰδώλων τεμένη καταλυθῆναι κελεύων. Κωνσταντῖνος μὲν γὰρ ὁ μέγας, ὁ πάσης ἀξιώτατος εὐφημίας, πρῶτος εὐσεβείᾳ τὴν βασιλείαν κοσμήσας καὶ τὴν οἰκουμένην ἔτι μεμηνυῖαν ὁρῶν, τὸ μὲν τοῖς δαίμοσι θύειν παντάπασιν ἀπηγόρευσε, τοὺς δὲ τούτων ναοὺς οὐ κατέλυσεν ἀλλ' ἀβάτους εἶναι
15 προσέταξε. καὶ μέντοι καὶ οἱ τούτου παῖδες τοῖς πατρῴοις ἠκο- **2**
λούθησαν ἴχνεσιν. Ἰουλιανὸς δὲ ἀνενεώσατο τὴν ἀσέβειαν καὶ τῆς παλαιᾶς ἐξαπάτης ἐξῆψε τὴν φλόγα. Ἰοβιανὸς δὲ τὴν βασιλείαν παραλαβὼν πάλιν τὴν τῶν εἰδώλων ἐκώλυσε θεραπείαν. καὶ Βαλεν- **3**
τινιανὸς δὲ ὁ μέγας τοιοῖσδε κεχρημένος νόμοις ἴθυνε τὴν Εὐρώπην.
20 ὁ δὲ Βάλης πᾶσι μὲν τοῖς ἄλλοις ἐπέτρεψε θρησκεύειν ἢ βούλονται καὶ τὰ θρησκευόμενα θεραπεύειν, μόνοις δὲ πολεμῶν διετέλει τοῖς τῶν ἀποστολικῶν ὑπερμαχοῦσι δογμάτων. πάντα γοῦν τὸν τῆς **4**
ἐκείνου βασιλείας χρόνον, καὶ τὸ ἐπιβώμιον ἥπτετο πῦρ, καὶ σπονδὰς καὶ θυσίας τοῖς εἰδώλοις προσέφερον, καὶ τὰς δημοθοινίας κατὰ τὴν
25 ἀγορὰν ἐπετέλουν· καὶ οἱ τοῦ Διονύσου τὰ ὄργια τετελεσμένοι μετὰ

1—4 vgl. Joh. Chrys. Homil. 21 PG 49, 214 Z. 45 — **10/11** vgl. Sozomen. VII 20, 1—2. Cod. Theod. XVI 10, 10—12 — **10—17** vgl. Synops. 63, 7 — **14/15** vgl. Chronic. Pasch. a. 379 S. 561, 10. Leo Grammaticus 102, 8 — **20f** vgl. ob. S. 262, 11 f

* **9**—S. 318, 3 Symeon. Vita Ambrosii 16—17 — **9**—S. 318, 4 Niceph. H. E. XII 25. Cass. IX 33

B V F HN (n) + GS (s) = r AL (y)

1 ἔφη] ἔτι V | **3/4** ὁπλίσαι = Symeon Cedren. Cass. Σ] ἀπειλῆσαι VF | **6** οὐκ ηγησάμενος B | λήθῃ παραδοῦναι ∾ n | **9** κ̄α̅ am Rand HSS | κατὰ] καὶ B | **13** ἔτι μεμηνυῖαν = Symeon Σ] ἐμμεμηνυῖαν B | ὁρῶν = Symeon Σ] εὑρών n Nic., vgl. zu 318, 16 | **16** ἀνεώσατο B | **17** ἰωβιανὸς A ἰουβιανὸς s | **18/19** οὐαλεντινιανὸς BV | **20** οὐάλης Vs | ἢ] εἰ F > B | βούλονται = Symeon] βούλοιντο nS, *sicut vellent* Cass.

τῶν αἰγίδων ἔτρεχον, τοὺς κύνας διασπῶντες καὶ μεμηνότες καὶ βακχεύοντες καὶ τὰ ἄλλα δρῶντες ἃ τὴν τοῦ διδασκάλου πονηρίαν δηλοῖ. ταῦτα πάντα Θεοδόσιος εὑρὼν ὁ πιστότατος βασιλεὺς πρόρριζά τε ἀνέσπασε καὶ λήθῃ παρέδωκε.

Πρῶτος μέντοι τῶν ἄλλων ἀρχιερέων Μάρκελλος ὁ πάντα [κβ′] ἄριστος, ὅπλῳ τῷ νόμῳ χρησάμενος, τῆς ἐγκεχειρισμένης πόλεως τὰ τεμένη κατέλυσε, τῇ πρὸς τὸν θεὸν παρρησίᾳ μᾶλλον ἢ τῇ πολυχειρίᾳ χρησάμενος. ἐγὼ δὲ καὶ τοῦτο διηγήσομαι μνήμης ὂν ἀξιώτατον. ἐτετελευτήκει μὲν Ἰωάννης ὁ τῆς Ἀπαμέων ἐπίσκοπος, οὗ καὶ πρόσθεν ἐμνήσθην, ἐκεχειροτόνητο δὲ ἀντ᾽ ἐκείνου Μάρκελλος ὁ θεῖος, ζέων τῷ πνεύματι κατὰ τὴν τοῦ ἀποστόλου νομοθεσίαν. ἀφίκετο δὲ εἰς τὴν Ἀπάμειαν τῆς Ἑῴας ὁ ὕπαρχος, δύο χιλιάρχους σὺν τοῖς ὑπηκόοις λαβών. καὶ τὸ μὲν πλῆθος διὰ τὸ τῶν στρατιωτῶν ἡσύχασε δέος. τὸ δὲ τοῦ Διὸς τέμενος, μέγιστόν τε ὂν καὶ πολλῷ κόσμῳ πεποικιλμένον, καταλῦσαι μὲν ἐπειράθη, στεγανὴν δὲ ἄγαν καὶ στερεμνίαν τὴν οἰκοδομίαν ἰδών, ἀδύνατον ἀνθρώποις ὑπέλαβε διαλῦσαι τῶν λίθων τὴν ἁρμονίαν· μέγιστοί τε γὰρ ἦσαν καὶ ἀλλήλοις ἄγαν συνηρμοσμένοι καὶ μέντοι καὶ σιδήρῳ καὶ μολίβδῳ προσδεδεμένοι. ταύτην τοῦ ὑπάρχου τὴν δειλίαν ὁ θεῖος Μάρκελλος ἰδών, ἐκεῖνον μὲν εἰς τὰς ἄλλας προὔπεμψε πόλεις, αὐτὸς δὲ τὸν θεὸν ἠντιβόλει πόρον δοῦναι τῇ λύσει.

Ἦκεν οὖν τις αὐτόματος ἔωθεν, οὔτε οἰκοδόμος, οὔτε λιθοτόμος, οὔτ᾽ ἄλλην τινὰ ἐπιστάμενος τέχνην, ἀλλὰ λίθους φέρειν ἐπὶ τῶν ὤμων καὶ ξύλα εἰθισμένος. οὗτος προσελθὼν ὑπέσχετο ῥᾷστα τὸν

3/4 vgl. Rufin. H. E. XI 19 S. 1023, 21. Zosim. IV 37, 3 — **5**—S. 320, 13 vgl. Synax. 891, 8—20. Act. SS. Aug. III 152f — **10** ob. S. 282, 18f — **11** Röm. 12, 11 — **14/15** vgl. Liban. Epist. 1053

* **5**—S. 320, 13 Niceph. H. E. XII 27. Cass. IX 34. Michael Syr. VII 8 S. 315 — **14**—S. 320, 6 Chronicon civile et eccles. anon. auctoris ed. Rahmani 1904, caput 57 (= Σ)

B V F HN (n) + GS (s) = r AL (y)

2 *πονηρίαν* BVFr Symeon Cass. Σ *πανήγυριν* y | **3/4** *πρόριζά τε* BFs | **5** *κβ* am Rand HSS | **7** *κατέλυσε*] *κατέτρεψεν* L | **9** *ἐτελευτήκει* BG *τετελεύτηκε* V | **10** *ἐχειροτόνητο* B *κεχειροτόνητο* V | **12** *ἀπάμιαν* B | *ὁ* > B | *χιλιάρχοσ* A | **14** *καὶ* — **15** *πεποικιλμένον* > B, am Rand L, Cass. wie im Text | **16** *ἄγαν* VFr *nimis* Cass. *ἅμα* By | *στερέμνιον* Hs | *ἰδών*] *εὑρών* n, *videns* Cass., s. zu 317, 13 | **18** *ἄγαν*] *ἅμα* VL > Cass. | **19** *τὴν* vor *τοῦ* ~ B

νεὼν καταλύσειν, δυοῖν δὲ τεχνίταιν ἀπήτει μισθόν. ἐπειδὴ δὲ τοῦτον ὑπέσχετο δώσειν ὁ θεῖος ἀρχιερεύς, τοιόνδε τι ὁ ἀνὴρ ἐκεῖνος ἐμηχανήσατο. στοὰν ἐκ τῶν τεττάρων πλευρῶν ὁ νεὼς εἶχεν ἐφ' ὕψους 9
κείμενος αὐτῷ συνηρμοσμένην· οἱ δὲ κίονες μέγιστοί τε ἦσαν καὶ
ἰσόμετροι τῷ νεῷ, ἑκάστου δὲ ὁ κύκλος ἑξκαίδεκα πήχεων ἦν. ἡ δὲ 10
τοῦ λίθου φύσις στερροτάτη τις ἦν καὶ οὐ ῥᾳδίως τοῖς τῶν λιθοτόμων ὀργάνοις ὑπείκουσα. τούτων ἕκαστον ἐν κύκλῳ διορύττων ἐκεῖνος καὶ ξύλοις ἐλαΐνοις ὑπερείδων τὰ ὑπερκείμενα, ἐφ' ἕτερον αὖθις μετέβαινεν. οὕτω δὲ τρεῖς τῶν κιόνων ὀρύξας τὴν φλόγα
τοῖς ξύλοις προσήνεγκεν. ἀλλ' οὐκ εἴα κατὰ φύσιν ὑπὸ τοῦ πυρὸς 11
τὰ ξύλα δαπανᾶσθαι δαίμων τις μέλας φαινόμενος καὶ κωλύων τῆς φλογὸς τὴν ἐνέργειαν. ἐπειδὴ δὲ πολλάκις τοῦτο δράσαντες ἀνόνητον ἑώρων τὴν μηχανήν, ἐμήνυσαν τοῦτο τῷ ποιμένι μετὰ τὴν μεσημβρίαν καθεύδοντι.

Ὁ δὲ παραυτίκα εἰς τὸν θεῖον δραμὼν νεὼν καὶ εἰς ἄγγος ὕδωρ 12
κομισθῆναι προστάξας, ἔθηκε μὲν τὸ ὕδωρ ὑπὸ τὸ θεῖον θυσιαστήριον, αὐτὸς δὲ εἰς τὸ ἔδαφος τὸ μέτωπον θεὶς τὸν φιλάνθρωπον ἠντιβόλει δεσπότην μὴ ἐπὶ πλεῖστον ἐνδοῦναι τῇ τυραννίδι τοῦ δαίμονος, ἀλλὰ καὶ τὴν ἀσθένειαν τὴν ἐκείνου γυμνῶσαι καὶ τὴν οἰκείαν
δύναμιν ἐπιδεῖξαι, ἵνα μὴ πρόφασις ἐντεῦθεν τοῖς ἀπίστοις μείζονος γένηται βλάβης. ταῦτα εἰπὼν καὶ ὅσα τούτοις παρόμοια καὶ ἐπιθεὶς 13
τοῦ σταυροῦ τὸν τύπον τῷ ὕδατι, Ἐκοιτιόν τινα διακονίας ἠξιωμένον, πίστει καὶ ζήλῳ πεφραγμένον, λαβεῖν τε τὸ ὕδωρ ἐκέλευσε καὶ διὰ τάχους δραμεῖν καὶ μετὰ πίστεως διαρρᾶναι καὶ τὴν φλόγα
προσενεγκεῖν. οὕτω τούτου γενομένου, ἀπέδρα μὲν ὁ δαίμων οὐκ ἐνεγκὼν τὴν τοῦ ὕδατος προσβολήν, τὸ δὲ πῦρ, ὡς ἐλαίῳ τῷ ἀντι-

B V F HN (n) + GS (s) = r AL (y)

1 τεχνίταιν VF Nic. τεχνιτοῖν By τεχνιτῶν r | ἐπειδὴ] ἐπεὶ V | **4** κείμενος BFry Σ *templo in altitudine constituto* Cass. Cod. L κειμένην V | **5** τοῦ νεώ y | πήχαιων B | ἡ δὲ — **6** τις ἦν = Cass. Σ > V | **7** τοῦτον y | ἐν κύκλῳ] τὸν κίκλον V, *per circuitum* Cass. | **8** ἑτέραν Fry | **11** φαινόμενος μέλας A | φαινόμενος] φερόμενος B, *apparuit* Cass. | **11/12** τῆς φλογὸς] τοῦ πυρὸς n, *flammam* Cass. | **12** ἐπειδὴ] ἐπεὶ VFn | τοῦτο πολλάκις ∾ B, *frequenter hoc* Cass. | **13** τὴν² nur in B | **17** τοὐδαφος VNs τὸ ὕδωρ H **18** ἐπιδοῦναι A ἐνδοῦναι Am | **20** τοῖς ἀπίστοις] τίσ B, *infidelibus* Cass. = Σ | **21** ὅσα πρὸσ τούτοισ ὅμοια B; man erwartet ὅσα τούτοις προσόμοια, s. Register *s. v.* | **22** τῷ] ἐν τῷ s | ἐκοίτιον BVF ἐκύτιον ry *Equitium* Cass. *Aqustios* Michael | **24** διαρᾶναι BFL διᾶραι V γρ. διαρρᾶναι Vm | **25** τοῦτο V | ἀπέδρα μὲν] ἀπέδρασεν L | **26** τοῦ ὕδατος τὴν ∾ B | ὡς > B, *velut* Cass.

πάλῳ χρησάμενον ὕδατι, ἐπελάβετό τε τῶν ξύλων καὶ ταῦτα ἐν ἀκαρεῖ κατανάλωσεν. οἱ δὲ κίονες, φρούδου τοῦ ἐρείδοντος γενομένου, **14** αὐτοί τε κατέπεσον καὶ ἄλλους εἵλκυσαν δυοκαίδεκα. καὶ τοῦ νεὼ δὲ τὸ τοῖς κίοσι συνημμένον κατηνέχθη πλευρὸν ὑπὸ τῆς ἐκείνων βίας συνελκυσθέν. ὁ δὲ κτύπος εἰς ἅπαν τὸ ἄστυ διαδραμὼν (πολὺς γὰρ ἦν) πάντας εἰς θέαν συνήγειρεν. ἐπειδὴ δὲ καὶ τοῦ ἀντιπάλου **15** δαίμονος ἔμαθον τὴν φυγήν, εἰς ὑμνῳδίαν τοῦ θεοῦ τῶν ὅλων τὴν γλῶτταν ἐκίνησαν. οὕτω καὶ τἆλλα τεμένη κατέλυσεν ὁ θεῖος ἐκεῖνος ἀρχιερεύς.

Πολλὰ δὲ καὶ ἄλλα περὶ τοῦδε τοῦ ἀνδρὸς καὶ λίαν ἀξιάγαστα **16** διηγήματα ἔχων (καὶ γὰρ τοῖς νικηφόροις ἐπέστελλε μάρτυσι καὶ ἀντιγράφων ἐτύγχανε καὶ τέλος καὶ αὐτὸς τὸν τῶν μαρτύρων ἀνεδήσατο στέφανον), ἀναδύομαι ταῦτα νῦν ἱστορεῖν, ἵνα μὴ λίαν μηκύνων ἀποκνήσω τοὺς ἐντευξομένους τῇ συγγραφῇ. ἐφ' ἑτέραν τοίνυν διήγησιν τρέψομαι.

Ἀθανάσιον ἐκεῖνον τὸν πολυθρύλητον ὁ θαυμάσιος διεδέξατο **22** [κγ'] Πέτρος, τὸν δὲ Πέτρον Τιμόθεος, Τιμόθεον δὲ Θεόφιλος, ἀνὴρ πυκνός τε τὰς φρένας καὶ ἀνδρεῖος τὸ φρόνημα. οὗτος τὴν Ἀλεξάνδρου πόλιν τῆς εἰδωλικῆς ἠλευθέρωσε πλάνης. οὐ γὰρ μόνον ἐκ βάθρων ἀνέσπασε τὰ τῶν εἰδώλων τεμένη, ἀλλὰ καὶ τὰ τῶν ἐξαπατώντων ἱερέων τοῖς ἐξηπατημένοις ὑπέδειξε μηχανήματα. τά τε γὰρ ἐκ χαλ- **2** κοῦ καὶ τὰ ἐκ ξύλων κενὰ ἔνδοθεν κατασκευάζοντες ξόανα καὶ τοῖς τοίχοις τὰ τούτων προσαρμόζοντες νῶτα, πόρους τινὰς ἀφανεῖς ἐν τοῖς τοίχοις ἠφίεσαν. εἶτα διὰ τῶν ἀδύτων ἀνιόντες καὶ εἴσω τῶν ξοάνων γιγνόμενοι, ἅπερ ἐβούλοντο διὰ τούτων ἐκέλευον· φενακι- ζόμενοι δὲ οἱ ἐπαΐοντες ἔδρων τὸ κελευόμενον. ταῦτα ὁ σοφώτατος **3** καταλύων ἀρχιερεὺς τοῖς ἐξαπατηθεῖσιν ὑπέδειξε δήμοις.

8—13 vgl. Sozomen. VII 15, 12—14 — **21—24** vgl. Rufin. H. E. XI 23 S. 1027, 1—3

* **20**—S. 321, 15 Niceph. H. E. XII 26. Cass. IX 28

B V F HN(n) + GS(s) = r AL(y)

2 ἀκαρεῖ B | κατανάλωσεν Br κατηνέλωσεν VFy | **4** συνημμένον] συνηγμένον B, *quod cohaerebat* Cass. | **5** εἰς ἅπαν] εἰσάγαν B, *totam* Cass. | **11** ἔχω B | **12** καὶ αὐτὸς nach μαρτύρων ∽ B | τὸν Bs | **13** ταῦτα > V **14** ἀποκνέσω B | **16** κγ am Rand HSS | **22** καὶ[1] τε καὶ V | **23** τὰ τούτων — **24** τοῖς τοίχοις > n

Εἰς δὲ τὸν τοῦ Σαράπιδος νεὼν ἀναβάς (τῶν δὲ πανταχοῦ γῆς καθὰ φασί τινες μέγιστός τε οὗτος καὶ κάλλιστος), εἶδε τὸ ξόανον παμμέγεθες καὶ τῷ μεγέθει τοὺς θεατὰς δεδιττόμενον. πρὸς δὲ τῷ μεγέθει καὶ λόγος κατεῖχεν ἀπατηλός, ὡς εἴ τις τούτῳ πελάσοι, κλονηθήσεται μὲν ἡ γῆ, πανωλεθρία δὲ ἅπαντας καταλήψεται. ἀλλὰ τούτους 4
μὲν τοὺς λόγους γραϊδίων μεθυόντων νομίσας εἶναι ληρήματα, τοῦ δὲ μεγέθους ὡς ἀψύχου καταφρονήσας, ἐκέλευσέ τινι πέλεκυν ἔχοντι παῖσαι προθύμως τὸν Σάραπιν. ἐκείνου δὲ παίσαντος, ἐβόησαν μὲν ἅπαντες τὸ θρυλούμενον δείσαντες· ὁ δὲ Σάραπις δεξάμενος τὴν πληγὴν οὔτε ἤλγησε (ξύλινος γὰρ ἦν), οὔτε φωνὴν ἀφῆκεν, ἄψυχος ὤν. ἐπειδὴ δὲ τὴν κεφαλὴν ἀφῃρέθη, μύες ἀγεληδὸν ἐξέδραμον ἔν- 5
δοθεν· μυῶν γὰρ οἰκητήριον ἦν ὁ Αἰγυπτίων θεός. εἰς μικρὰ δὲ 6
αὐτὸν διελόντες τὰ μὲν παρέδοσαν τῷ πυρί, τὴν δὲ κεφαλὴν διὰ παντὸς τοῦ ἄστεως ἔσυρον, τῶν προσκυνούντων ὁρώντων καὶ τοῦ παρ' αὐτῶν προσκυνηθέντος τὴν ἀσθένειαν κωμῳδούντων. οὕτω δὴ τὰ πανταχοῦ γῆς καὶ θαλάττης τῶν δαιμόνων κατελύθη τεμένη.

Ἐν Ἀντιοχείᾳ δὲ Μελετίου τοῦ μεγάλου τὴν προεδρίαν Φλα- 23 [κδ']
βιανὸς διεδέξατο, ὁ σὺν Διοδώρῳ τοὺς πολλοὺς ἐκείνους ὑπὲρ τῆς τῶν προβάτων σωτηρίας ὑπομείνας ἀγῶνας. ἐβουλήθη μὲν γὰρ ὁ Παυλῖνος τὴν τῆς ἐκκλησίας ἡγεμονίαν λαβεῖν, ὁ δὲ τῶν ἱερέων ἀντεῖπε χορός, οὐ χρῆναι λέγων τὸν Μελετίου τὰς συμβουλὰς μὴ δεξάμενον μετὰ τὴν ἐκείνου τελευτὴν τὸν ἐκείνου θρόνον λαβεῖν· »ἀλλὰ τὸν πολλοῖς λαμπρυνόμενον πόνοις καὶ ἐπὶ πλεῖστον ὑπὲρ τῶν προβάτων προκινδυνεύσαντα, προσήκει γενέσθαι ποιμένα«.

Τοῦτο καὶ Ῥωμαίοις καὶ Αἰγυπτίοις δυσμένειαν πρὸς τὴν Ἑῴαν 2
μακροτάτην εἰργάσατο· οὐδὲ γὰρ τῷ Παυλίνου θανάτῳ συγκατελύθη

1/2 vgl. Sozomen. VII 15, 3 — **1—15** vgl. Rufin. H. E. XI 23 S. 1028, 10—23. Georg. Mon. (cod. Coisl. 305) in Mommsens Rufin. 1029, 26 — **17—26** vgl. Sozomen. VII 11. Socrat. V 9, 4 — **18/19** ob. S. 263, 8f — **21/22** ob. S. 281, 19f — **26**—S. 322, 2 vgl. Sozomen. VII 15, 1. Socrat. V 15, 1

* **17**—S. 324, 5 Niceph. H. E. XII 24. Cass. IX 44 — **19**—S. 324, 3 Michael Syr. VII 8 S. 321

B V F HN (n) + GS (s) = r AL (y)

2 *καταφασιν τινὰς* B | **5** *ἅπαντα* A, *cunctos* Cass. | **12** *σμικρὰ* SL | **13** *παρέδωσαν* BG | *τῷ* A^s | **14** *ἄστεος* Vry | **16** *τὰ* nach *θαλάττης* ∾ BH > N, vgl. Z. 1 | *δαιμόνων*] *εἰδώλων* n | **17** *κδ* am Rand HSS | **17/18** *Φλαβιανὸς* vor **17** *τὴν* ∾ B, Cass. wie im Text | **20** *παυλίνος* B u. immer | **23** *ὑπὲρ* nur in B | **24** *προσήκειν* Sirmond | **26** *σὺν κατελύθη* B

τὸ ἔχθος, ἀλλὰ καὶ μετ᾽ ἐκεῖνον Εὐαγρίου τὸν ἐκείνου παρειληφότος θρόνον διέμειναν τῷ μεγάλῳ Φλαβιανῷ χαλεπαίνοντες, καὶ ταῦτα τοῦ Εὐαγρίου παρὰ τὸν ἐκκλησιαστικὸν προβεβλημένου θεσμόν. μόνος 3 γὰρ αὐτὸν ὁ Παυλῖνος προὐβάλετο, πολλοὺς κανόνας κατὰ ταὐτὸν παραβάς. οὔτε γὰρ ἀνθ᾽ ἑαυτοῦ τῷ τελευτῶντι χειροτονεῖν ἐπιτρέπουσι, καὶ πάντας συγκαλεῖσθαι τῆς ἐπαρχίας τοὺς ἐπισκόπους κελεύουσι, καὶ αὖ πάλιν δίχα τριῶν ἐπισκόπων ἐπισκόπου χειροτονίαν ἀπαγορεύουσι γίγνεσθαι. ἀλλ᾽ ὅμως τούτων οὐδὲν εἰδέναι θελήσαντες 4 τὴν Εὐαγρίου μὲν κοινωνίαν ἠσπάζοντο, κατὰ Φλαβιανοῦ δὲ τὰς βασιλικὰς ἐκίνησαν ἀκοάς.

Ἐνοχληθεὶς γὰρ πολλάκις ἤγαγέ τε αὐτὸν εἰς τὴν Κωνσταντινούπολιν καὶ καταλαβεῖν τὴν Ῥώμην ἐκέλευσεν· ὁ δὲ Φλαβιανὸς χειμῶνά τε εἶναι φήσας καὶ ὑποσχόμενος τοῦ ἀέρος ὑπολάμποντος τὸ προστεταγμένον πληρώσειν ἐπανῆκεν εἰς τὴν πατρίδα. ἐπεὶ δὲ 5 οἱ τῆς Ῥώμης ἐπίσκοποι (οὐ γὰρ μόνον ὁ θαυμάσιος Δάμασος ἀλλὰ καὶ ὁ μετ᾽ ἐκεῖνον Σιρίκιος καὶ Ἀναστάσιος ὁ Σιρικίου διάδοχος) σφοδρότερον τοῦ εὐσεβοῦς βασιλέως καθήψαντο, τοὺς μὲν οἰκείους αὐτὸν φήσαντες καταλύειν τυράννους, τοὺς δὲ κατὰ τῶν Χριστοῦ νόμων θρασυνομένους ἐπὶ τῆς τυραννίδος ἐᾶν, πάλιν αὐτὸν μετα- πεμψάμενος ἀπαίρειν εἰς τὴν Ῥώμην ἠνάγκαζε. τότε Φλαβιανὸς ὁ 6 σοφώτατος τῇ ἀξιεπαίνῳ παρρησίᾳ χρησάμενος ἔφη· »εἰ μὲν τῆς πίστεως, ὦ βασιλεῦ, τῆς ἐμῆς ὡς οὐκ ὀρθῆς κατηγοροῦσί τινες ἢ τὸν βίον φασὶν ἱερωσύνης ἀνάξιον, καὶ αὐτοῖς χρήσομαι τοῖς κατηγόροις κριταῖς καὶ τὴν παρ᾽ ἐκείνων ἐκφερομένην ἀγαπήσω ψῆφον· εἰ δὲ περὶ θρόνου καὶ προεδρίας ζυγομαχοῦσιν, οὔτε δικάσομαι οὔτε τοῖς λαβεῖν βουλομένοις ἀντιμαχέσομαι, ἀλλ᾽ ἐκστήσομαι καὶ τῆς προεδρίας ἀφέξομαι. τοιγάρτοι δὸς ᾧ βούλει τὸν Ἀντιοχέων θρόνον, ὦ βασιλεῦ«. ταύ- 7 την αὐτοῦ καὶ τὴν ἀνδρείαν καὶ τὴν σοφίαν θαυμάσας ὁ βασιλεὺς τὴν

5—8 Can. 23 u. 19 Conc. Antioch., 4 Conc. Nic. [Mansi II 1317. 1316. 669]

B V F HN (n) + GS (s) = r AL (y)

4 vor *πολλοὺς* + *καὶ* V, *καὶ* fehlt bei Cass. | *καταυτὸν* BG | **5** *τῶ* As **7** *ἐπισκόπου*] *ἐπισκόπω* n | **8** *οὐδὲν ἰδεῖν ἐθελήσαντες* B, *nihil horum respicientes* Cass. | **11** *τε* > BL | **13** nach *ὑποσχόμενος* + *ὡσ* L | *ἀέροσ* BVFr *ἔαροσ* y Nic. (vgl. *ἦροσ* S. 324, 21), *tempore opportuno* Cass. »au mois de Nisan« Michael | *ὑπολάμποντος*] *ὑποθάλποντοσ* H | **14** *πληρώσειεν* y | *ἐπεὶ*] *ἐπειδὴ* V | **18** *τῶν*] *τῶν τοῦ* VNsL | **20** nach *ἀπαίρειν* + *αὐτὸν* Fry | **22** *ὡς* > B, *quasi* Cass. | **24** *ἀγαπήσω ψῆφον* BVF *sententiam gratanter excipio* Cass. *ὑποίσω ψῆφον* HS *ψῆφον δέξομαι* y *ψῆφον* NG | *δὲ*] *δὲ καὶ* VF, *vero* Cass. | **27** *ἀντιόχαῖον* (sic) B | **28** *καὶ*[1] > B Cass.

ἐνεγκοῦσαν καταλαβεῖν καὶ τὴν ἐγχειρισθεῖσαν ποιμαίνειν ἐκκλησίαν ἐκέλευσε.

Χρόνου δὲ συχνοῦ διελθόντος εἰς τὴν Ῥωμαίων ἀφικόμενος πόλιν 8
ὁ βασιλεὺς τὰς αὐτὰς πάλιν ὑπὸ τῶν ἐπισκόπων κατηγορίας ὑπέμεινεν,
ὡς τὴν Φλαβιανοῦ τυραννίδα μὴ καταλύων. ὁ δὲ λέγειν αὐτοὺς
ἐκέλευσε τῆς τυραννίδος τὸ εἶδος, αὐτὸς εἶναι Φλαβιανὸς λέγων καὶ
ἐκείνου σύνδικος προβεβλῆσθαι. ἐκείνων δὲ λεγόντων ὡς οὐ δύνανται 9
δικάζεσθαι βασιλεῖ, παρήνεσε λοιπὸν ὁμονοίᾳ τὰς ἐκκλησίας συνάψαι
καὶ διαλῦσαι τὴν ἔριν καὶ τὴν ἀνόνητον σβέσαι φιλονεικίαν· »Παν-
λῖνός τε γὰρ ἐτελεύτησε πάλαι καὶ Εὐάγριος οὐκ ἐννόμως προβέβληται,
καὶ τῆς Ἑῴας αἱ ἐκκλησίαι τῆς Φλαβιανοῦ προεδρίας ἀντέχονται.
πρὸς δὲ τῇ Ἑῴᾳ καὶ τὴν Ἀσιανὴν ἅπασαν καὶ τὴν Ποντικὴν καὶ 10
μέντοι καὶ τὴν Θρᾳκικὴν κοινωνούσας ἔχει καὶ συνημμένας· καὶ τὸ
Ἰλλυρικὸν δὲ ἅπαν ἐκεῖνον οἶδε τῶν κατὰ τὴν Ἀνατολὴν ἐπισκόπων
ἡγούμενον«. ταύταις εἰξαντες ταῖς παραινέσεσιν οἱ τῆς Ἑσπέρας 11
ἐπίσκοποι καταλύσειν ὑπέσχοντο τὴν δυσμένειαν καὶ τοὺς πεμφθησο-
μένους δέξασθαι πρεσβευτάς.

Τοῦτο μαθὼν ὁ θεῖος Φλαβιανὸς ἀπέστειλεν εἰς τὴν Ῥώμην καὶ
τῶν ἀξιεπαίνων ἐπισκόπων τινὰς καὶ τῶν Ἀντιοχείας πρεσβυτέρων
καὶ διακόνων· ἡγεῖτο δὲ πάντων Ἀκάκιος, ὁ Βεροίας μὲν τῆς ἐν
Συρίᾳ πόλεως τὴν ἐκκλησίαν ποιμαίνειν λαχών, πανταχοῦ δὲ γῆς καὶ
θαλάττης ἀδόμενος. οὗτος σὺν τοῖς ἄλλοις ἀφικόμενος εἰς τὴν Ῥώμην, 12

18—S. 324, 3 vgl. Sozomen. VIII 3, 3—4. Socrat. V 15, 4 f. Pallad. Dialog. de vita S. Joh. Chrys. 6 PG 47, 22 ob.

* **3**—S. 324, 2 Theophan. 73, 31 — **18**—S. 324, 5 Nicetas Thesaur. V 26 PG 139, 1383 B

B V F HN (n) + GS (s) = r AL (y)

1 *ποιμαίνειν*] *διοικεῖν* B *regere* Cass., vgl. Z. 21 u. S. 328, 12 und oft | **3** *συχνοῦ* > s | *Ῥωμαίων*] *ῥώμην* nA Nic. | *πόλιν*] *πάλιν* NA *αὖθις* Nic. > mit leerem Raum H, *Romam denuo veniens* Cass., der aber *πάλιν* nach *αὐτὰς* ausläßt | **4** *ὑπέμενεν* rA *patiebatur* Cass. | **7** *προβεβλῆσθαι*] *γεγενῆσθαι* n | **8** *δικάζεσθαι* B Nic. *δικάσασθαι* VFry | *τὰς ἐκκλησίας ὁμονοίᾳ* ~ V | **9,10** vor *Παυλῖνός τε* + *καὶ* B | **12** *τὴν ἑῴαν* BFL | *Ἀσιανὴν*] *ἀσίαν* B *Asia* Cass. **13** *κοινωνοῦσαν* u. *συνημμένην* B | **14** *οἶδε* > V, *novit* Cass. | **15** *ἡγούμενον* vor **14** *τῶν* ~ n | *ταῖς παραινέσεσιν εἰξαντες* ~ L | **17** *πρεσβεύσας* B **18** *ὁ θεῖος μαθὼν* ~ B, Cass. wie im Text | *ἀπέστειλεν* nach **20** *διακόνων* ~ B, Cass. wie im Text | **21** *τὴν ἐκκλησίαν* > ry | *δὲ* > B | **22** nach *οὗτος* + *οὖν* B, fehlt bei Cass.

τὴν μακρὰν καταλύσας δυσμένειαν δι' ἑπτακαίδεκα ἐτῶν, ταῖς ἐκκλησίαις ἐπρυτάνευσε τὴν εἰρήνην. τοῦτο δὲ γνόντες οἱ Αἰγύπτιοι τὴν ἀπέχθειαν σβέσαντες ἠσπάσαντο τὴν ὁμόνοιαν. ἡγεῖτο δὲ τηνικαῦτα τῆς μὲν Ῥωμαίων ἐκκλησίας Ἰννοκέντιος, διαδεξάμενος Ἀναστάσιον, ἀνὴρ ἀγχινοίᾳ καὶ συνέσει κοσμούμενος· τῆς δὲ Ἀλεξανδρέων Θεόφιλος, οὗ καὶ πρόσθεν ἐμνήσθην. τὴν μὲν οὖν τῶν ἐκκλησιῶν εἰρήνην **24** τοῦτον τὸν τρόπον ὁ πιστότατος ἐπρυτάνευσε βασιλεύς.

Πρὸ δὲ τῆς γεγενημένης εἰρήνης, τήν τε Βαλεντινιανοῦ τελευ- [κε'] τὴν καὶ τὴν Εὐγενίου τυραννίδα μαθὼν εἰς τὴν Εὐρώπην ἐστράτευσε. κατ' ἐκεῖνον δὲ τὸν χρόνον ἦν τις Ἰωάννης ἐν Αἰγύπτῳ τὴν ἀσκητικὴν ἀσπαζόμενος πολιτείαν. οὗτος πνευματικῆς μεταλαχὼν **2** χάριτος πολλὰ τοῖς πυνθανομένοις προὔλεγε τῶν ἐσομένων. πρὸς τοῦτον ὁ φιλόχριστος ἀπέστειλεν βασιλεύς, εἰ πολεμητέον τοῖς τυράννοις μαθεῖν ἐφιέμενος. καὶ ἐπὶ μὲν τοῦ προτέρου πολέμου τὴν ἀναμωτὶ γενομένην προηγόρευσε νίκην, ἐπὶ δὲ τοῦ δευτέρου μετὰ πολὺν φόνον νικήσειν τὸν βασιλέα προείρηκε.

Μετὰ τοιαύτης ἐλπίδος στρατεύσας ὁ βασιλεὺς πολλοὺς μὲν τῶν **3** ἐναντίων παραταττόμενος κατηκόντισε, πολλοὺς δὲ τῶν ἐπικουρούντων αὐτῷ βαρβάρων ἀπέβαλε. τῶν δὲ στρατηγῶν ὀλίγους εἶναι τοὺς συμπαραταττομένους φησάντων καὶ ἀνακωχήν τινα δοῦναι τῷ πολέμῳ συμβουλευσάντων, ὥστε τοῦ ἦρος ἀρχομένου στρατιὰν συναγεῖραι καὶ τῷ πλήθει περιγενέσθαι τῶν δυσμενῶν, οὐκ ἐδέξατο τὴν εἰσήγησιν ὁ πιστότατος βασιλεύς. οὐ γὰρ ἔφη χρῆναι τοσαύτην μὲν ἀσθένειαν **4** τοῦ σωτηρίου κατηγορῆσαι σταυροῦ, τοσαύτην δὲ προσμαρτυρῆσαι δύναμιν τῇ τοῦ Ἡρακλέους εἰκόνι· »ταύτης μὲν γὰρ ὁ σταυρὸς ἡγεῖται τῆς στρατιᾶς, τῆς δὲ τῶν ἀντιπάλων ἐκείνη«. τούτων οὕτω πιστῶς

6 ob. S. 320, 17 — **8—16** vgl. Rufin. H. E. XI 32 u. 19 [Georg. Mon. 589, 1. 590, 15]. Sozomen. VII 22, 7—8. Pallad. Hist. Lausiaca ed. Butler XXXV S. 100, 16. Hist. monach. in Aegypto ed. Preuschen I, 1 S. 4. Cedren. I S. 568, 12. Prosper Tiro Chronic. a. 394. Augustin. De cura pro mort. ger. 17. De civ. dei V 26 — **17—19** vgl. Rufin. H. E. XI 33 S. 1038, 6. Socrat. V 25, 11. Sozomen. VII 24, 4. Zosim. IV 58, 2—3. Philostorg. XI 2. Joh. Antioch. fr. 187

* **19**—S. 327, 12 Niceph. H. E. XII 39

B V F HN (n) + GS (s) = r AL (y)

2 *γνῶντες* BG | *οἱ* nur in B | **4** *ἰνοκέντιος* NL | **7** *ἐπρυτάνευσεν ὁ πιστότατος* ∾ VF | **8** *κε* am Rand HSS | *δὲ* BVF *δέ γε* ry | *οὐαλεντινιανοῦ* BV | **10** *καιρὸν* L | **14** *μαθεῖν* vor **13** *τοῖς* ∾ s | **15** *γενομένην* nur in B, vgl. S. 305, 8 | **20** *παραταττομένους* B | **25** *ἡρακλέως* BG

εἰρημένων καὶ τῆς ὑπολειφθείσης στρατιᾶς ὀλίγης τε οὔσης καὶ λίαν ἀθυμούσης, εὑρὼν οἰκίσκον εὐκτήριον ἐν τῇ τοῦ ὄρους ἀκρωνυχίᾳ ἐν ᾧ τὸ στρατόπεδον ἦν, πάννυχος διετέλεσε τὸν τῶν ὅλων δεσπότην ἀντιβολῶν.

Περὶ δὲ ἀλεκτρυόνων ᾠδὰς ἐνίκησε μὲν ὁ ὕπνος τὴν γνώμην. ἐπὶ δὲ τοῦ δαπέδου χοῦ κείμενος ὁρᾶν ἐδόκει δύο τινὰς λευχειμονοῦντας ἄνδρας ἐφ' ἵππων ὀχουμένους λευκῶν, οἳ θαρρεῖν τε ἐκέλευον καὶ τὸ δέος ἐξελάσαι καὶ ὑπὸ τὴν ἕω καθοπλίσαι καὶ τάξαι τὴν στρατιὰν εἰς παράταξιν· ἐπίκουροι γὰρ ἔλεγον ἀπεστάλθαι καὶ πρόμαχοι. καὶ ὁ μὲν Ἰωάννην ἑαυτὸν ἔλεγεν εἶναι τὸν εὐαγγελιστήν, ὁ δὲ Φίλιππον τὸν ἀπόστολον. ταύτην ἰδὼν τὴν ὄψιν ὁ βασιλεὺς οὐκ ἔληξε τῆς ἱκετείας, ἀλλὰ μετὰ πλείονος ταύτην προθυμίας προσέφερε. τοῦτο καὶ στρατιώτης τις θεασάμενος δεδήλωκε τῷ λοχαγῷ, ἐκεῖνος δὲ τοῦτον πρὸς τὸν χιλίαρχον ἤγαγεν, ὁ δὲ χιλίαρχος ἀνήγαγεν τῷ στρατηγῷ, ὁ δὲ στρατηγὸς καινόν τι μηνύειν ὑπολαβὼν ἀπήγγειλε ταῦτα τῷ βασιλεῖ. ὁ δέ· »οὐκ ἐμοῦ ἕνεκα«, ἔφη, »ταῦτα οὗτος τεθέαται· ἐγὼ γὰρ τοῖς τὴν νίκην ὑπεσχημένοις πεπίστευκα. ἀλλ' ἵνα μή τις ὑπολάβῃ με ὡς τῆς παρατάξεως ὀριγνώμενον πλάσαι τὴν ὄψιν, καὶ τούτῳ ταῦτα μεμήνυκεν ὁ τῆς ἐμῆς βασιλείας ἐπίκουρος, ἵνα μάρτυς ἀξιόχρεως γένηται τῆς ἐμῆς διηγήσεως· πρώτῳ γὰρ ἐμοὶ ταύτην ο κοινὸς δεσπότης τὴν ὄψιν ὑπέδειξεν. ἀποσκευασάμενοι δὴ οὖν τὸ δέος τοῖς προμάχοις καὶ πολεμάρχοις ἐπώμεθα, καὶ μηδεὶς τῷ πλήθει τῶν πολεμούντων σταθμάσθω τὴν νίκην, ἀλλὰ τῶν ἡγουμένων λογιζέσθω ἕκαστος τὴν δύναμιν«. ταῦτα καὶ τοῖς στρατιώταις

3/4 vgl. Rufin. H. E. XI 33 S. 1038, 11 [Georg. Mon. 591, 11]. Sozomen. VII 24, 4. Socrat. V 25, 12. Joh. Antioch. fr. 187. Oros. VII 35, 14 — **10** vgl. Sozomen. VII 24, 2

* **2—16** Cedren. I 567, 15 — **2—21** Cass. IX 45

B V F HN (n) + GS (s) = r AL (y)

1 *ὑποληφθείσης* BG | **2** *ἀκρονυχία* BNGA | **3** *πάννύχιον* sic B | **5** *μὲν* > L | *τὴν γνώμην ὁ ὕπνος* ~ B | **6** *χοῦ* nur in B, vgl. *ἐπὶ ψιλοῦ κείμενος τοῦ ἐδάφους* Nic., *ἐπὶ τοῦ ἐδάφους* Cedren. | **7** *ὀχουμένων* A | **10** *ἔλεγεν ἑαυτὸν* ~ FH | **13** *λοχαγωγῶ* BN | **14** *τοῦτον*] *αὐτὸν* s | *ἀνήγαγεν* B *ἀπήγαγε* VFry | **16** *ταῦτα ἔφη* ~ n | **16/17** *τεθέαται οὗτος* ~ B, *haec iste vidit* Cass. | **17** *ὑπεσχημένοις* VF Nic. *ὑποσχομένοις* ry *ὑπισχνουμένοις* B | **18** *ὡς* > B | *ὀριγνόμενον* B | *ὄψιν*] *νίκην* n, *quod ego vidi* Cass. **22** *πολεμάρχαις* NGL | **23** *σταθμάσθω*] *σταθμῶι* V | **24** *ἕκαστος λογιζέσθω* (*ω* aus *αι* corr.) ~ B

εἰπὼν καὶ ταύτῃ ἅπαντας προθυμίας ἐμπλήσας ἐκ τῆς τοῦ ὄρους κατήγαγε κορυφῆς. ὁ δὲ τύραννος, πόρρωθεν ἰδὼν τοὺς στρατιώτας πολεμησείοντας, καθώπλισε τὴν στρατιὰν καὶ εἰς παράταξιν ἔταξεν. αὐτὸς δὲ ἐπί τινος γηλόφου μείνας θανατᾶν τε ἔφη τὸν βασιλέα καὶ τῆς παρούσης ἀπαλλαξείοντα βιοτῆς παρατάττεσθαι· καὶ τοῖς στρατηγοῖς ἐκέλευσε ζῶντά οἱ τοῦτον καὶ πεπεδημένον προσαγαγεῖν. 10

Ἐπειδὴ δὲ αἱ φάλαγγες ἔστησαν, πολλαπλάσιον μὲν ἦν τῶν πολεμίων τὸ πλῆθος, εὐαρίθμητον δὲ κομιδῇ τὸ τῷ βασιλεῖ συντεταγμένον. ἀρξαμένων δὲ καὶ τούτων κἀκείνων ἀφιέναι τὰ βέλη, ἔδειξαν ἀληθεῖς τὰς ὑποσχέσεις οἱ πρόμαχοι. πνεῦμα γὰρ βίαιον ἀντιπρόσωπον 12 τῶν πολεμίων φερόμενον τοὺς μὲν ἐκείνων ὀϊστοὺς ἀπέστρεφε καὶ τὰ πελτὰ καὶ τὰ δόρατα καὶ πᾶν βέλος αὐτοῖς ἄχρηστον ἦν, καὶ οὔτε ὁπλίτης οὔτε τοξότης οὔτε πελταστὴς πημαίνειν τὴν τοῦ βασιλέως ἠδύνατο στρατιάν. καὶ μέντοι καὶ κόνις ὅτι μάλιστα πλείστη 13 κατὰ τῶν προσώπων φερομένη μύειν τὰ βλέφαρα καὶ ταῖς κόραις ἐπαμύνειν πολεμουμέναις ἠνάγκαζεν. οἱ δὲ τοῦ βασιλέως στρατιῶται, λώβην οὐδεμίαν ἐκ τῆς καταιγίδος ἐκείνης δεξάμενοι, θαρραλέως τοὺς πολεμίους κατέκτεινον. οἱ δὲ ταῦτα ὁρῶντες καὶ τὴν θείαν ἐπιγνόντες 14 ἐπικουρίαν, τὰ ὅπλα ῥίψαντες, φειδοῦς παρὰ τοῦ βασιλέως τυχεῖν ἠντιβόλουν. ὁ δὲ καὶ εἶξε καὶ οἴκτου μετέδωκεν, ἀγαγεῖν δὲ αὐτοὺς τὸν τύραννον κατὰ τάχος ἐκέλευσεν. οἱ δὲ θέοντες ἀνέβησαν εἰς τὸν λόφον οὗ καθήμενος ἐκεῖνος ἠγνόει τὰ δρώμενα. ὁ δὲ πνευστιῶντας 15 ἰδὼν καὶ τῷ ἄσθματι μηνύοντας τὴν σπουδήν, νίκης ἀγγέλους ὑπέλαβε,

10—18 vgl. Rufin. H. E. XI 33 S. 1039, 5. Sozomen. VII 24, 6—7. Socrat. V 25, 14. Augustin. De civ. dei V 26. Oros. VII 35, 17f. Claudian. De III cons. Honor. 93

B V F HN (n) + GS (s) = r AL (y)

1 *ταύτησ ἅπαντασ τῆσ προθυμίασ* V nur noch *τῆσ προθυμίασ* zu lesen F (durchlöchert) | **3** *πολεμησείοντασ* VF *πολεμήσοντασ* Bry, vgl. *πολεμησείοντα τὸν στρατόν* Nic. | **4** vor *αὐτὸς* + *καὶ* V | *γηλόφου* BV Nic. *γαιολόφου* NG *γεωλόφου* FHSy | *θανατᾶν* BVnS Nic. *θανατοῦν* Gy *θανατῶντα* F | *τε* > F | **5** *ἀπαλλαξείοντα* V *ἀπαλλακτιῶντα* F *ἀπαλλάξαντα* B *ἀπαλλάξειν* Nsy *ἀπαλλά* dann in leerem Raum von junger Hand *ξειν* H | **6** *οἱ* nur in B | **8** nach *βασιλεῖ* + *λίαν* VF | **9** *καὶ* > B | **10** *ἀληθῶσ* Vs | **11** *ὀϊστοὺς*] *ἰοὺσ* VF | **12** *πελτὰ* VFry *πάλτα* B, *παλτὰ* Gaisford, was richtiger scheint; vgl. aber *πελτῶν* (auch B) S. 179, 11 | **13** *πέλτασ τῆσ πημένην* B | *τοῦ* > B | **16** *ἐπαμύνειν*] *ἐπιμύειν* V | *ἠνάγκαζεν πολεμουμέναισ* ∾ B | **18** *ἀπέκτεινον* V *γρ. κατέκτεινον* Vm | *ἐπιγνόντεσ* — S. 327, 3 *παντὸσ* zerrissen in F | **19** *τυχεῖν* > Gy | **20** *ἠντιβόλουν* B Nic. *ἠντιβόλησαν* VFry | *δὲ*[2]] *τε* n | **23** *ἀγγελίαν* V

καὶ ἤρετο εἰ καὶ Θεοδόσιον πεπεδημένον ὡς προσετάχθησαν ἤγαγον. οἱ δέ· »οὐκ ἐκεῖνον«, ἔφησαν, »σοὶ προσάγομεν, ἀλλὰ σὲ πρὸς ἐκεῖνον ἀπάγομεν· τοῦτο γὰρ ὁ τοῦ παντὸς προσέταξε πρύτανις«. ταῦτα **16** λέγοντες ἐξανέστησάν τε ἐκ τοῦ δίφρου καὶ τὰ δεσμὰ ἐπιθέντες πεπεδημένον ἀπήγαγον καὶ προσήγαγον δορυάλωτον τὸν πρὸ βραχέως μεγαλαυχούμενον. ὁ δὲ βασιλεὺς τῶν τε εἰς Βαλεντινιανὸν πλημμεληθέντων ἀνέμνησε καὶ τῆς παρανόμου τυραννίδος καὶ τῶν κατὰ τῆς ἐννόμου βασιλείας πολέμων· ἐκωμῴδησε δὲ καὶ τὴν Ἡρακλέους **17** εἰκόνα καὶ τὸ μάταιον δι᾽ ἐκείνην γενόμενον θράσος. καὶ τότε δικαίαν καὶ ἔννομον ἐξήνεγκε τῆς κατ᾽ αὐτοῦ τιμωρίας τὴν ψῆφον. τοιοῦτος ἦν ἐκεῖνος καὶ ἐν εἰρήνῃ καὶ ἐν πολέμῳ, ἀεὶ μὲν τὴν θείαν ἐπικουρίαν αἰτῶν, ἀεὶ δὲ ταύτης μεταλαγχάνων.

Μετὰ τήνδε τὴν νίκην ἀρρωστήσας τοῖς υἱέσι τὴν βασιλείαν **25** [κς΄] διένειμε. καὶ τῷ μὲν πρεσβυτέρῳ τὴν οἰκείαν ἔδωκεν ἡγεμονίαν, τῷ δὲ νεωτέρῳ τῆς Εὐρώπης τὰ σκῆπτρα· τὴν εὐσέβειαν δὲ τελείαν καὶ τοῦτον ἔχειν κἀκεῖνον παρήνεσε. »διὰ ταύτης γάρ«, ἔφη, »καὶ **2** εἰρήνη φυλάττεται καὶ πόλεμος καταλύεται καὶ πολέμιοι τρέπονται καὶ ἀνίσταται τρόπαια καὶ νίκη βραβεύεται«. ἐκεῖνος μὲν οὖν ταῦτα τοῖς παισὶ παραινέσας ἐτελεύτησεν, ἀείμνηστον κλέος καταλιπών· οἱ δὲ τῆς βασιλείας διάδοχοι καὶ τῆς εὐσεβείας ἐγένοντο κληρονόμοι.

Ὀνώριος μὲν γὰρ ὁ τῆς Εὐρώπης τὴν βασιλείαν δεξάμενος τὰς **26** [κζ΄]

4/5 vgl. Rufin. H. E. XI 33 S. 1039, 10 [Georg. Mon. 592, 5] — **13—15** vgl. Rufin. H. E. XI 34 [Georg. Mon. 592, 12]. Socrat. V 26. Sozomen. VII 29, 3—4. VIII 1, 1 Philostorg. XI 2. Zonar. XIII 19, 26 S. 93, 15. Zosim. IV 59 — **21**—S. 328, 10 vgl. Joh. von Nikiu 84, Notices et extr. des man. de la Bibl. nat. t. 24 S. 454 (oder Copie?)

* **13—19** Cedren. I 563, 5 — **13**—S. 328, 10 Niceph. H. E. XIII 1 — **21**—S. 328, 10 Cass. X 2

B V F [bis **21** *Ὀνώριος*] HN (n) + GS (s) = r AL (y)

2 *ἔφασαν* B | **5** *δοριάλωτον* V *δωριάλωτον* B | *βραχέωσ* BFG *βραχέοσ* Vry | **6** *δὲ*] *τε* B | *βαλεντινιανῶν* B *οὐαλεντινιανὸν* V | **6/7** *πλημμεληθέντων*] *τολμηθέντων* B | **7** *ἀνεμίμνησκε* VF | **8** *δὲ*] *τε* n | *ἡρακλέωσ* B | **9** *θράσοσ* BV *θάρσοσ* Fry; vgl. *θράσοσ* Gr. aff. cur. S. 227, 12; 242, 14 [Raeder] | **10** *κατ᾽ αὐτοῦ* > B | **12** *μεταλαγχάνων*] *τυγχάνων* n | **13** $\overline{κς}$ am Rand HSS | *τήνδε* Bsy *δὲ* VFn | *υἱέσι* = Cedren.] *υἱοῖσ* B | **14/15** *τῷ δὲ νεωτέρῳ* Bn *τῷ νεωτέρῳ δὲ* VFsy Cedren. | **16** *καὶ τοῦτον ἔχειν*] *ἔχειν τοῦτον* VF | *τοῦτον — κἀκεῖνον*] *τούτω — κακείνω* B | **17** *εἰρήνῃ* B *ἡ εἰρήνη* VFry Cedren., der Artikel fehlt bei Nic. | **18** *ἀνίσταται* BVn *ἀνίστανται* Fsy Cedren. | *οὖν* nur in B | **18/19** *τοῖς παισὶ ταῦτα* ∾ B | **21** $\overline{κζ}$ am Rand HSS

ἐν Ῥώμῃ πάλαι γιγνομένας μονομαχίας κατέλυσεν, ἀφορμὴν τοιάνδε λαβών. Τηλεμάχιός τις ἦν τὸν ἀσκητικὸν ἀσπαζόμενος βίον. οὗτος 2
ἀπὸ τῆς Ἑῴας ἀπάρας καὶ τούτου χάριν τὴν Ῥώμην καταλαβών, τῆς μυσαρᾶς ἐκείνης ἐπιτελουμένης θέας εἰσελήλυθε καὶ αὐτὸς εἰς τὸ στάδιον, καὶ καταβὰς παύειν ἐπειρᾶτο τοὺς κατ᾽ ἀλλήλων κεχρημένους τοῖς ὅπλοις. τῆς δὲ μιαιφονίας οἱ θεαταὶ χαλεπήναντες καὶ τοῦ τοῖς 3
αἵμασιν ἐκείνοις ἐπιτερπομένου δαίμονος εἰσδεξάμενοι τὴν βακχείαν, κατέλυσαν τῆς εἰρήνης τὸν πρύτανιν. τοῦτο μαθὼν ὁ θαυμαστὸς βασιλεὺς τὸν μὲν τοῖς νικηφόροις συνηρίθμησε μάρτυσι, τὴν δὲ πονηρὰν ἐκείνην ἔπαυσε θεωρίαν.

Ἐν δὲ Κωνσταντινουπόλει Νεκταρίου τελευτήσαντος ὃς τὴν ἐκ- 27 [κη′]
κλησίαν ἐκείνην ἐποίμαινεν, Ἀρκάδιος ὁ ταύτην ἰθύνειν τὴν βασιλείαν λαχών, μαθὼν Ἰωάννην τὸν μέγαν τῆς οἰκουμένης φωστῆρα ἐν Ἀντιοχείᾳ τῷ τῶν πρεσβυτέρων ἐγκατειλέχθαι χορῷ, ἤγαγέ τε καὶ τοῖς συνειλεγμένοις ἐπισκόποις αὐτὸν τῇ θείᾳ προσαγαγεῖν παρηγγύησε χάριτι καὶ τῆς μείστης ἐκείνης πόλεως ἀποφῆναι ποιμένα. ἱκανὸν δὲ τοῦτο καὶ μόνον δηλῶσαι τοῦ βασιλέως τὴν περὶ τὰ θεῖα 2
σπουδήν.

Κατὰ τοῦτον τὸν χρόνον Ἀντιοχείας μὲν ὁ θεῖος ἡγεῖτο Φλα- 3
βιανός, Λαοδικείας δὲ Ἐλπίδιος, τοῦ μεγάλου Μελετίου γενόμενος σύσκηνος καὶ τὴν ἐκείνου πολιτείαν ἐκμαξάμενος μᾶλλον ἢ ὁ κηρὸς τῶν δακτυλίων τοὺς τύπους (οὗτος μὲν οὖν τὸν μέγαν Πελάγιον

11—16 vgl. Theodoret bei Photius Biblioth. 273 S. 507b, 21 [Bekker]. Socrat. VI 2. Sozomen. VIII 2, 13 f. Pallad. Dialog. de vita S. Joh. Chrys. 5. Symeon. Vita Joh. Chrys. 15—16. Theodor. Trimith. De vita Joh. Chrys. 4 PG 47 S. LV Georg. Alexandrin. Vita Chrys. 20

* **2—9** Michael Syr. VII 8 S. 318

B V HN (n) + GS (s) = r AL (y)

1 *γιγνομένας*] *γυμνωμένασ* G *ὑμνουμένασ* S, *qui . . . celebrabatur* Cass. | *τοιάνδε*] *τοιαύτην* V | **2** *τηλεμάχιός τισ* Vr *Tilemachius* Cass. *τηλαμάχιός τισ* B (s. aber oben S. 276, 21) *τηλέμαχός τισ* y Nic. Michael; *Adelmakas* Variante *Adlakas* Joh. von Nikiu [Mitteilung von Professor J. Halévy] | **3** *Ῥώμην*] *ῥωμαίων* y **4** *μυσερᾶσ* Ns | **5** *παῦσαι* s | **8** *θαυμάσιοσ* B *θαυμαστότατοσ* V, *mirabilis* Cass. | **11** *κη* am Rand HSS | *δὲ Κωνστ.*] *δὲ τῇ κωνστ.* V *κωνστ. δὲ* B | **12** *ἐποίμανεν* s | nach *Ἀρκάδιος* + *δὲ* BG | *τὴν* > B am Ende der Zeile | **13** *μέγα* Bs | **14** *ἐνκατειλέχθαι* B | **17** *τοῦτο καὶ* B *καὶ τοῦτο* Vry | **22** *τοὺσ* zweimal B

διεδέξατο, τὸν δὲ θεῖον Μάρκελλον Ἀγαπητὸς ὁ πανεύφημος, ὃν ἐν ταῖς ἀσκητικαῖς παλαίστραις διαπρέπειν ἔφην κατὰ τὸν τῆς αἱρετικῆς ζάλης καιρόν), Σελευκείας δὲ τῆς πρὸς τῷ Ταύρῳ Μάξιμος, Ἰωάννου τοῦ πάνυ συμφοιτητής, καὶ Θεόδωρος τῆς Μοψουεστίας. ἄμφω δὲ καὶ διδασκάλω ἤστην λαμπρώ. διέλαμπε δὲ συνέσει τε καὶ βίῳ ὁ θεῖος **4** Ἀκάκιος, ἰθύνων τὴν Βέροιαν· Λεόντιος δὲ τὸ Γαλατῶν ἐποίμαινεν ἔθνος, πολλοῖς εἴδεσιν ἀρετῆς λαμπρυνόμενος.

Ὁ δὲ μέγας Ἰωάννης τοὺς τῆς ἐκκλησίας δεξάμενος οἴακας τάς **28** [κθ΄] τε παρά τινων γιγνομένας ἀδικίας σὺν παρρησίᾳ διήλεγχε, καὶ βασιλεῖ καὶ βασιλίδι παρήνει τὰ πρόσφορα, καὶ τοὺς ἱερέας ἠξίου κατὰ τοὺς κειμένους πολιτεύεσθαι νόμους, τοὺς δὲ τούτους παραβαίνειν τολμῶντας ἐπιβαίνειν τῶν ἀνακτόρων ἐκώλυεν, οὐ χρῆναι λέγων τῆς μὲν τῶν ἱερέων ἀπολαύειν τιμῆς, τὴν δὲ τῶν ἀληθινῶν ἱερέων μὴ ζηλοῦν βιοτήν. καὶ ταύτην ἐποιεῖτο τὴν προμήθειαν οὐ μόνον **2** ἐκείνης τῆς πόλεως, ἀλλὰ καὶ τῆς Θρᾴκης ἁπάσης (εἰς ἓξ δὲ αὕτη ἡγεμονίας διήρηται)· καὶ τῆς Ἀσίας ὅλης (ὑπὸ ἕνδεκα δὲ καὶ αὕτη ἀρχόντων ἰθύνεται). καὶ μέντοι καὶ τὴν Ποντικὴν τούτοις κατεκόσμει τοῖς νόμοις· ἰσαρίθμους δὲ καὶ αὕτη ἔχει τῇ Ἀσίᾳ τοὺς ἡγουμένους.

Μαθὼν δὲ τὴν Φοινίκην ἔτι περὶ τὰς τῶν δαιμόνων τελετὰς **29** [λ΄]

1—3 ob. S. 268, 11 — **3/4** vgl. Socrat. VI 3, 4—5. Sozomen. VIII 2, 7 — **8—18** vgl. Theodoret bei Photius 273 S. 507b, 22. Sozomen. VIII 3, 1—2. 6, 1—2. Socrat. VI 4, 1—4. 11, 8 f. 15, 8. Pallad. Dialog. de vita S. Joh. Chrys. 5 u. 13—15. Symeon. Vita Joh. Chrys. 18—20 u. 30 — **19**—S. 330, 8 vgl. Marci diaconi Vita Porphyrii S. 24, 8 f. 33, 10 f. 44 f (Teubner). Joh. Chrys. Epist. 123 und 126

* **8**—S. 331, 10 Niceph. H. E. XIII 3 — **10**—S. 330, 6 Cass. X 4 — **14**—S. 331, 10 Georg. Alexandrin. Vita Chrys. 23 S. 189 [Photii Biblioth. 96 S. 80a, 41]. Symeon. Vita Joh. Chrys. 20 PG 114, 1096 D. Incerti Vita Chrys. 39—44 [Savilius S. Joh. Chrys. opera VIII 319, 37] — **14—18** Theophan. 77, 5. Exc. Bar. f. 223r — **14**—S. 330, 18 Michael Syr. VIII 1 S. 5

B V HN (n) + GS (s) = r AL (y)

3 *Ταύρῳ*] *στρῶ* Bn | *Μάξιμος*] *μάμοσ* s | **4** *μοψουεστίασ* y *μουψουεστίασ* BV *μομψουεστίασ* n *μαμψουεστίασ* s | *καὶ*[2] nur in V | **5** *δὲ*] *τε* V > B | *τε* > V | **6** *τὸ*] *τὸ τῶν* V | **8** *κθ* am Rand HSS | **9** *γενομένασ* B **13** *τῶν*[1] > V | *ἀληθινῶν* Bs *ἀληθῶν* Vny Nic. | **14** *βιοτήν* B | *μόνον* BVn Theophan. Symeon Georg. *μόνησ* sy | **16** *διήρηται ἡγεμονίας* ∾ B, Georg. wie im Text | **18** *τῇ ἀσία* B Nic. Georg. *τῆσ ἀσίασ* Vry Inc. Vita Chrys., vgl. S. 319, 5; 330, 11 | *ἡγεμόνασ* r | **19** *λ* am Rand HSS | *δαιμόνων* = Georg.] *εἰδώλων* V Nic., *daemonibus* Cass.

μεμηνέναι, ἀσκητὰς μὲν ζήλῳ θείῳ πυροπολουμένους συνέλεξε, νομοις δὲ αὐτοὺς ὁπλίσας βασιλικοῖς κατὰ τῶν εἰδωλικῶν ἐξέπεμψε τεμενῶν. τὰ δὲ τοῖς καταλύουσι τεχνίταις καὶ τοῖς τούτων ὑπουργοῖς χορηγούμενα χρήματα οὐκ ἐκ ταμιείων βασιλικῶν λαμβάνων ἀνήλισκεν, ἀλλὰ τὰς πλούτῳ κομώσας καὶ πίστει λαμπρυνομένας γυναῖκας φιλοτίμως ταῦτα παρέχειν ἀνέπειθε, τὴν ἐκ τῆς χορηγίας φυομένην εὐλογίαν ἐπιδεικνύς. τοὺς μὲν οὖν ὑπολειφθέντας τῶν δαιμόνων σηκοὺς τοῦτον τὸν τρόπον ἐκ βάθρων ἀνέσπασεν.

Ὁρῶν δὲ καὶ τὸν Σκυθικὸν ὅμιλον ὑπὸ τῆς Ἀρειανικῆς θηρευ- **30** [λα΄]
θέντα σαγήνης, ἀντεμηχανήσατο καὶ αὐτὸς καὶ πόρον ἄγρας ἐξηῦρεν. ὁμογλώττους γὰρ ἐκείνοις πρεσβυτέρους καὶ διακόνους καὶ τοὺς τὰ θεῖα ὑπαναγιγνώσκοντας λόγια προβαλλόμενος, μίαν τούτοις ἀπένειμεν ἐκκλησίαν, καὶ διὰ τούτων πολλοὺς τῶν πλανωμένων ἐθήρευσεν. αὐτός τε γὰρ θαμινὰ ἐκεῖσε φοιτῶν διελέγετο, ἑρμηνευτῇ χρώ- **2**
μενος τὴν ἑκατέραν γλῶτταν ἐπισταμένῳ τινί· καὶ τοὺς λέγειν ἐπισταμένους τοῦτο παρεσκεύαζε ὁρᾶν. ταῦτα μὲν οὖν ἔνδον ἐν τῇ πόλει διετέλει ποιῶν καὶ πολλοὺς τῶν ἐξηπατημένων ἐζώγρει, τῶν ἀποστολικῶν κηρυγμάτων ἐπιδεικνὺς τὴν ἀλήθειαν.

Μαθὼν δέ τινας τῶν νομάδων Σκυθῶν παρὰ τὸν Ἴστρον **31** [λβ΄]
ἐσκηνημένους διψῆν μὲν τῆς σωτηρίας, ἐστερῆσθαι δὲ τοῦ τὸ νᾶμα

19—S. 331, 2 vgl. Theodoret bei Photius Biblioth. 273 S. 508b, 20

* **9** Chrysost. Laudatio a Leone imp. 13 S. 276, 17 ed. Savilius — **9**—S. 331, 11 Cass. X 5

B V HN (n) + GS (s) = r AL (y)

1 *μεμηνέναι* Vry Nic. Géorg. *μαινομένην* B, vgl. S. 317, 13; 318, 1 | **4** *ταμείων* B, vgl. S. 188, 21 | **7** *ἐπιδεικνύς* Bs Georg. *ὑποδεικνύς* A *δεικνύς* VnL, vgl. Z. 18 | **9** $\overline{\lambda\alpha}$ am Rand HSS | *καὶ* > V | *Σκυθικὸν*] *κελτικὸν* B Georg. Photius, vgl. *τῶν Κελτικῶν* Inc. Vita Chrys. *Κελτοὺς* Symeon *populum Celticorum* Cass., auch *Κελτῶν* Chrysost. Laudatio a Leone imp.; *Σκυθῶν* Nic. Michael; vgl. *Γότθων* im Register ob. S. 276, 27 | **10** *ἐξεῦρεν* Vn Georg. | **11** *ὁμογλώττους* = Georg.] *ὁμογλώττητονς* (sic) B, *ὁμογλώσσους* Nic. Photius, Inc. Vita Chrys. | *ἐκείνοις* BVr Georg. *ἐκείνων* y | **11/12** *τοὺς τὰ θεῖα* = Georg.] *πρὸς τὸ θεῖον* B | **14** *θαμινὰ* B *frequenter* Cass. *τὰ πλεῖστα* Vry *τὰ πολλὰ* Nic. > Georg. | **15** *τὴν* B *τῶν* V *τῶ* ry | *γλῶτταν* Bn Georg. *γλῶσσαν* Vsy | *ἐπισταμένω* Bry *ἐπισταμένων* V, vgl. Georg.: *ἑρμηνευταῖς χρώμενος τῶν ἑκατέρων γλῶτταν ἐπισταμένοις* | **19** $\overline{\lambda\beta}$ am Rand HSS | *Σκυθῶν* > n, *Scythas* Cass. | **20** *ἐσκηνημένονς* B *ἐσκηνωμένονς* Vry Georg., vgl. S. 261, 6 | *διψᾶν* V | *τοῦτον ἅμα* B

προσφέροντος, ἐπεξήτησεν ἄνδρας τὴν ἀποστολικὴν φιλοσοφίαν ἐζηλωκότας, καὶ τούτους ἐκείνοις ἐπέστησεν. ἐγὼ δέ τοι καὶ γράμμασιν **2** ἐντετύχηκα παρ' αὐτοῦ γραφεῖσι πρὸς Λεόντιον τὸν Ἀγκύρας ἐπίσκοπον, δι' ὧν καὶ τῶν Σκυθῶν ἐδήλωσε τὴν μεταβολὴν καὶ πεμφθῆναί οἱ ἄνδρας πρὸς τὴν τούτων ποδηγίαν ἐπιτηδείους ἠξίωσεν. ἐν τῇ **3** χώρᾳ δὲ τῇ ἡμετέρᾳ τὴν Μαρκίωνος νόσον κώμαις τισὶν ἐπισκῆψαι μαθών, ἐπέστειλε τῷ τηνικαῦτα ποιμαίνοντι, καὶ προτρέπων ἐξελάσαι τὴν νόσον καὶ τὴν ἀπὸ τῶν βασιλικῶν νόμων ἐπικουρίαν ὀρέγων. ὅπως μὲν οὖν τὴν τῶν ἐκκλησιῶν μέριμναν ἐν τῇ ψυχῇ περιέφερε κατὰ τὸν θεῖον ἀπόστολον, ἱκανὰ καὶ ταῦτα διδάξαι. ἔστι δὲ καὶ **32** ἑτέρωθεν αὐτοῦ τὴν παρρησίαν μαθεῖν.

Γαϊνάς τις, Σκύθης μὲν τὸ γένος, βαρβαρικώτερος δὲ τὴν γνώμην, [λγ'] φρονήματι τυραννικῷ κεχρημένος ἐστρατήγει κατ' ἐκεῖνον τὸν χρόνον, πολλοὺς μὲν καὶ τῶν ὁμοφύλων ὑπηκόους ἔχων, ἄγων δὲ μετὰ τούτων καὶ τῶν Ῥωμαίων τήν τε ἱππικὴν καὶ τὴν πεζὴν στρατιάν. ἐπεφρίκεσαν δὲ αὐτὸν οὐ μόνον οἱ ἄλλοι πάντες, ἀλλὰ καὶ αὐτὸς ὁ βασιλεύς

9 II Kor. 11, 28 — **12—15** vgl. Socrat. VI 6, 2—3 [Joh. Antioch. Excerpta de insid. 81 S. 120, 35 de Boor]. Sozomen. VIII 4, 1 u. 5

* **12**—S. 334, 3 Georg. Alexandrin. Vita Chrys. 31 S. 199. Symeon. Vita Joh. Chrys. 29. Incerti Vita Chrys. 65—66 S. 327, 29 ed. Savilius. Niceph. H. E. XIII 5—6. Cass. X 6. Michael Syr. VIII 1 S. 6. Chrys. Laudatio a Leone imp. 16 (am Ende) S. 279, 38 ed. Savilius

B V HN (n) + GS (s) = r AL (y)

1 *φιλοσοφίαν* B Georg. *φιλοπονίαν* Vry *apostolico zelo ferventes* Cass., vgl. *τὴν εὐαγγελικὴν φιλοσοφίαν* Theodoret Graec. aff. cur. S. 186, 17 u. 306, 1 [Raeder] | **2** *τοι* > n | **3** *Λεόντιον* = Cass. Symeon Georg.] *σιλέντιον* V | **5** *οἱ* nur in V, fehlt auch bei Georg. | *ἠξίωσεν* vor *ἄνδρας* ~ B, Georg. wie im Text | **5/6** *δὲ τῇ χώρᾳ* ~ s | **7** vor *μαθών* + *πάλαι* Georg., fehlt bei Cass. | *προτρέπων*] *πρότερον* B, *προτρεπόμενος* Georg. | **9** *περιφέρων* s | **12** *λγ* am Rand HSS *γαϊνάς* B Exc. de ins. *γαϊνᾶς* Vn Georg. *γαΐνης* y *γαΐανός* s *Gainas* Cass. | *τις* > s | *Σκύθης*] *κέλτιος* B *Celticus* Cass. *Κελτὸς* Georg. Symeon Incerti Vita Chrys., Laudatio a Leone imp.; *le Scythe* Michael, *ἐκ τῶν ... Σκυθῶν* Nic. | *τὴν γνώμην* = Symeon] *τῇ γνώμῃ* B und Georg., der aber auch *τῷ γένει* Z. 12 hat **13** nach *φρονήματι* + *δὲ* Vry, Cass. wie im Text | *καιρόν* A *γρ. χρόνον* am Rand Ac | **15** *τὴν*[2] > A | *πεζὴν* BV *πεζῆς* Symeon *πεζικὴν* ry *πεζικῆς* Georg. | **15/16** *ἐπεφρίκησαν* B | **16** *ἅπαντες* V

τὴν μελετωμένην ὑφορώμενος τυραννίδα. οὗτος καὶ τῆς Ἀρείου λώβης 2
μεταλαχών, ἵνα οἱ ἠξίου δοῦναι τὸν βασιλέα τῶν θείων σηκῶν. ὁ δὲ
σκοπήσειν ἔφη καὶ θεραπεύσειν αὐτὸν ἐπηγγείλατο. καὶ τὸν θεῖον
μεταπεμψάμενος Ἰωάννην, καὶ τὴν αἴτησιν εἶπε καὶ τῆς δυναστείας
ἀνέμνησε καὶ τὴν μελετωμένην ὑπηνίξατο τυραννίδα καὶ παρεκάλει
τῇ δόσει χαλινῶσαι τὸν τοῦ βαρβάρου θυμόν. ὁ δὲ γενναῖος ἐκεῖνος 3
ἀνήρ· »μὴ τοιαῦτα«, ἔφη, »ὦ βασιλεῦ, ὑπισχνοῦ μηδὲ διδόναι παρα-
κελεύου τὰ ἅγια τοῖς κυσίν. οὐ γὰρ ἀνέξομαι τοὺς μὲν τὸν θεὸν
λόγον θεολογοῦντάς τε καὶ ὑμνοῦντας ἐξαγαγεῖν, τοῖς δὲ τοῦτον
βλασφημοῦσιν ἐκδοῦναι τὸν θεῖον νεών. καὶ μή τοι δείσῃς τὸν βάρ- 4
βαρον ἐκεῖνον, ὦ βασιλεῦ, ἀλλ' ἄμφω καλέσας, ἐμέ τε κἀκεῖνον, σὺ
μὲν ἡσυχῇ τῶν λεγομένων ἐπάκουε, ἐγὼ δὲ ἐκείνου χαλινώσω τὴν
γλῶτταν καὶ πείσω ἥκιστα αἰτῆσαι ὃ μὴ δοῦναι συμφέρει«.

Τούτων ἀκούσας ὁ βασιλεὺς ἥσθη τε καὶ τῇ ὑστεραίᾳ ἀμφοτέ-
ρους ἐκάλεσε. καὶ ὁ μὲν Γαϊνὰς τὴν ἐπαγγελίαν ἐξῄτει, ὁ δὲ μέγας 5
Ἰωάννης ἀντέλεγε φάσκων οὐκ ἐξεῖναι βασιλεῖ τῶν θείων κατατολμᾶν,
εὐσεβεῖν γε προαιρουμένῳ. ἐκείνου δὲ λέγοντος ὡς χρὴ καὶ αὐτὸν
εὐκτήριον ἔχειν οἶκον· »ἅπας σοι«, ἔφη ὁ μέγας Ἰωάννης, »θεῖος

1—S. 333, 5 vgl. Sozomen. VIII 4, 7—9. Socrat. VI 5, 8 — 7 f vgl. Matth. 7, 6

B V HN (n) + GS (s) = r AL (y)

1 *καὶ* nur in B, fehlt bei Georg.; *eratque Arianus* Cass. | *τῆσ* — **2** *μεταλαχών* Vry (aber *μετασχών* L) *τῆσ ἀρίου μεταλαχῶν λογοῖσ*, *τῆσ* und *ι* von *λόγοισ* durch Corr., B | **2** *ἵνα οἱ ἠξίου δοῦναι τὸν βασιλέα τῶν θείων σηκῶν* schreibe ich] *ἵνα ἠξίου δοῦναι τὸν βασιλέα τῶν θείων σηκῶν* B *ἵνα δοῦναί οἱ τῶν θείων σηκῶν ἐπήγγειλε βασιλέα* V *ἵνα αὐτῷ δοῦναι τῶν θείων σηκῶν ἐπήγγειλε τὸν βασιλέα* ry *rogavit imperatorem ut intra civitatem ei unam daret ecclesiam* Cass. *μίαν ᾔτει . . . ἐκκλησίαν ἔνδον τῆς πόλεως* Nic.; vgl. *ἐντὸς τῆς πόλεως* Georg. Socr. *εἴσω τῆς πόλεως* Symeon *κατὰ τὴν πόλιν* Inc. Vita Chrys. *ἐν τῇ πόλει* Sozomen. VIII 4, 7; danach vielleicht *εἴσω τῆς πόλεως* in unseren HSS ausgefallen | **3** *αὐτὸν* BV Georg. > ry Nic., *eum se placare* Cass. | **6** *τὸν τοῦ βαρβάρου χαλινῶσαι* ∾ n, Georg. wie im Text | **7** *ὦ* > V Georg. | **8** *μὲν* > B Georg. | **9** *τε* = Georg. > s | **10** *ἐκδοῦναι* = Georg.] *δοῦναι* V, *contradere* Cass. | **10/11** *βάρβαρον* Bry Nic. Cass. Georg.] *τύραννον* V | **12** *ἐπάκουε* B Nic. Georg. *ὑπάκουε* ry *ἄκουε* V *audi* Cass., vgl. *τοῦ βασιλέως ἐπακούοντος* Sozom. VIII 4, 8 | **13** *ἥκιστα αἰτῆσαι* = Nic. Georg.] *μὴ αἰτεῖν αὐτὸν* B, *ut non praesumat petere* Cass. | **15** *γαϊνὰσ* B Nic. Cass. > Vry Georg. | **16** *ἀντέλεγεν Ἰωάννησ* ∾ V, Cass. wie im Text | **17** *εὐσεβεῖν γε προαιρουμένῳ* = Georg.] *καὶ μάλιστα εὐσεβεῖν προαιρουμένω* B *pietatem custodienti* Cass. *εὐσεβεῖν ὅλως προαιρουμένῳ* Symeon

οἶκος ἀνέῳκται καὶ οὐδείς σε εἴργει προσεύξασθαι προθυμούμενον«. »ἀλλ᾽ ἐγώ«, ἔφη ὁ Γαϊνάς, »ἑτέρας ὑπάρχω συμμορίας καὶ σὺν ἐκείνοις 6
ἕνα θεῖον ἔχειν οἶκον αἰτῶ· καὶ μάλα γε δικαίως αἰτῶ, πολλοὺς ὑπὲρ Ῥωμαίων πολεμικοὺς ὑπομένων ἀγῶνας.« »ἀλλ᾽ ἔχεις«, ἔφη, »μείζους τῶν πόνων τὰς ἀντιδόσεις· στρατηγός τε γὰρ εἶ καὶ τῆς ὑπατικῆς ἠξιώθης στολῆς, καὶ χρή σε σκοπῆσαι τί μὲν ἦσθα πάλαι, τί δὲ 7
γεγένησαι νῦν, καὶ τίς μὲν ἡ προτέρα πενία, τίς δὲ ἡ παροῦσα περιουσία, καὶ ὁποίοις μὲν ἐσθήμασιν ἐκέχρησο πρὶν διαβῆναι τὸν Ἴστρον, ὁποῖα δὲ νῦν περιβέβλησαι. σκόπησον τοίνυν ὡς ὀλίγοι οἱ πόνοι, μέγιστα δὲ τὰ γέρα, καὶ μὴ γίνου περὶ τοὺς τετιμηκότας ἀχάριστος«. τοιοῖσδε χρώμενος λόγοις ὁ τῆς οἰκουμένης διδάσκαλος 8
ἐπεστόμισε τὸν Γαϊνὰν καὶ σιγὴν ἄγειν ἠνάγκασε.

Χρόνου δὲ διελθόντος τὴν πάλαι μελετηθεῖσαν ἐκεῖνος ἐγύμνωσε [λδ']
τυραννίδα, καὶ τὴν στρατιὰν ἐν τῇ Θρᾴκῃ συναγαγὼν ἐληΐζετό τε καὶ ἐδῄου τὰ πλεῖστα. ταῦτα μεμαθηκότες κατέπτηξαν ἅπαντες καὶ 9
ἄρχοντες καὶ ἀρχόμενοι, καὶ οὔτε παρατάττεσθαί τις πρὸς ἐκεῖνον ἐβούλετο οὔτε πρεσβεύεσθαι ἀδεὲς ὑπελάμβανε· τὸ γὰρ τῆς γνώμης βάρβαρον ἕκαστος ὑφωρᾶτο. τότε τοὺς ἄλλους ἅπαντας ὡς δεδιότας 33
καταλιπόντες, τὸν μέγαν τοῦτον ἔπεισαν ἀριστέα τὴν πρεσβείαν ποιήσασθαι. ὁ δὲ οὔτε τὴν γεγενημένην ἀντίστασιν λογισάμενος οὔτε τὴν ἐξ ἐκείνης φυεῖσαν διαφοράν, προθύμως εἰς τὴν Θρᾴκην ἐξώρμησε. γνοὺς δὲ ἐκεῖνος τὸν πρεσβευτὴν καὶ τὴν ὑπὲρ τῆς εὐσεβείας 2
γεγενημένην ἐνθυμηθεὶς παρρησίαν, ὑπήντησέ τε πόρρωθεν καὶ τὴν

11—S. 334, 3 vgl. Theodoret bei Photius Biblioth. 273 S. 507b, 24. ebd. 96 S. 81a, 8 — **13—16** vgl. Socrat. VI 6, 13. Sozomen. VIII 4, 11. Philostorg. XI 8. Zosim. V 19. Eunap. fr. 79

B V HN (n) + GS (s) = r AL (y)

1 *ἠνέωκται* ry Georg. Symeon | *σε* B *te* Cass. > Vry Georg. | **2** *γαϊνάς* BG *γαϊνᾶς* VnS *γαΐνης* y | **3** *οἶκον ἔχειν* ∾ ry Georg. *templum habere* Cass. *καὶ μάλα — αἰτῶ* = Georg. > B Cass., vgl. *αἰτῶ δὲ πάντως αἴτησιν οὐ μεμπτήν* Symeon | *γε* > VG | **5** *τε* = Georg. > V | **6** *τί μὲν* Bry *quod* Cass. Cod. L *τίσ μὲν* V Nic. Georg., vgl. S. 314, 17 | *τί δὲ*] *τίς δὲ* Nic. Georg. *et qualis* Cass. **9** *ὁποῖα* = Georg.] *ποῖα* n *ποίοις* B | nach *ὀλίγοι* + *μὲν* Georg. | **12** *ἐπεστόμισε* Vn Georg. *ἐπεστόμησε* Bsy | *γαϊνὰν* BG *γαΐνᾶν* VnS Georg. *γαΐνην* y | *ἄγειν* = Georg.] *ἔχειν* n | **13** *λδ* am Rand HSS | **15** *κατέπτηξαν* = Georg.] *κατεπλάγησαν* V | **17** *ἀδεὲσ* BV *ἀδεῶσ* ry; *ἀδεὲς ὑπελάμβανε* > Georg. | **19** *μέγα* B | **20** *οὔτε*1] *οὐδὲ* B Georg. | **22** *τῆς* = Georg. > s | **23** *πόρρωθεν* Vsy Nic. Georg. *πόρρω* B *προθύμωσ πόρρωθεν* n

ἐκείνου δεξιὰν τοῖς ὀφθαλμοῖς περιτέθεικε, καὶ μέντοι καὶ τοὺς παῖδας τοῖς ἱεροῖς αὐτοῦ προσεκόμισε γόνασιν. οὕτω πέφυκεν ἀρετὴ καταιδεῖν τε καὶ καταπλήττειν καὶ τοὺς ἄγαν δυσμενεστάτους.

Ἀλλ' οὐκ ἤνεγκεν ὁ φθόνος τὰς τῆς ἐκείνου φιλοσοφίας μαρ- **34** [λε'] μαρυγάς, ἀλλὰ ταῖς οἰκείαις χρησάμενος μηχαναῖς τὴν βασιλεύουσαν πόλιν, μᾶλλον δὲ τὴν οἰκουμένην ἅπασαν, τῆς ἐκείνου γλώττης ἐστέρησε καὶ φρενός. ἐγὼ δὲ ἐν τῷδε τῷ μέρει τῆς ἱστορίας γενό- **2** μενος οὐκ οἶδ' ὅ τι πάθω. διηγήσασθαι γὰρ τὴν κατὰ τούτου τολμηθεῖσαν ἀδικίαν βουλόμενος τὴν ἄλλην ἀρετὴν τῶν ἠδικηκότων αἰσχύνομαι. οὗ δὴ χάριν αὐτῶν καὶ τὰς προσηγορίας κατακρύψαι πειράσομαι. οὗτοι διαφόρους δυσμενείας ἐσχηκότες προφάσεις, τὴν **3** μὲν ἀστράπτουσαν τοῦ ἀνδρὸς ἰδεῖν οὐκ ἠθέλησαν ἀρετήν, δυστήνους δέ τινας κατηγόρους εὑρόντες καὶ τῆς συκοφαντίας τὸ προφανὲς θεώμενοι, πόρρω τοῦ ἄστεως ἐκάθισαν τὸ συνέδριον καὶ τὴν ψῆφον ἐξήνεγκαν. ὁ δὲ βασιλεὺς ὡς ἱερεῦσι πιστεύσας πόρρω αὐτὸν τοῦ ἄστεως γενέσθαι προσέταξεν. ὁ δὲ μήτε τῆς κατηγορίας ἀκούσας **4** μήτε τὴν ἀπολογίαν προσενεγκών, ὡς ἐληλεγμένος ἐφ' οἷς ἠτιάθη, τὴν πόλιν καταλιπεῖν ἠναγκάσθη καὶ τὸ ἐν τῷ στόματι τοῦ Πόντου κείμενον κατέλαβεν Ἱερόν· οὕτω γὰρ ἐκεῖνο τὸ ἐπίνειον ὀνομάζουσι.

7—11 vgl. Theodoret bei Photius 273 S. 507b, 27 — **11**—S. 335, 8 vgl. Socrat. VI 15—16. Sozomen. VIII 16—18 — **11**—S. 335, 18 vgl. Pallad. Dialog. de vita S. Joh. Chrys. 2—3 u. 6—10. Symeon. Vita Joh. Chrys. 40—51. Theodor. Trimith. De vita Joh. Chrys. 16—23 PG 47 S. LXVII f. Georg. Alexandrin. Vita Chrys. 36 f

* **4—14** Georg. Alexandrin. Vita Chrys. 36 S. 206 — **13/14** u. **18/19** Georg Alexandrin. ebd. 46 S. 222, 37 u. 224, 33 — **18**—S. 335, 8 Cass. X 14

B V HN (n) + GS (s) = r AL (y)

1 *περιτέθηκε* B | *καὶ μέντοι* = Georg. > B, *insuper etiam* Cass. | **2** *προσεκόμησεν* BG | **4** *λε* am Rand HSS | *τὰς* > L | **6** *γλώσσης* ry Georg. | **7** *ἐγὼ* — **8** *γενόμενος* > N, mit leerem Raum H | **8** *οἶδ' ὅτι* Bs *οἶδα τί* Vny; hier *οὐκ ἐν δίκῃ τῶν ἀδίκων ἀντέχῃ κύριε θεοδώρητε* am Rand V | *κατ' αὐτοῦ* B | **10** *αὐτῶν* vor *κατακρύψαι* ∾ BH | *προσηγορίας*] *κατηγορίας* B | **13** *δέ* = Georg.] *γάρ* B | **14** *ἄστεως* BG Georg. *ἄστεος* VnSyBc | *ἐκάθησαν* BG | **15** *τοῦτο ἐκείνων αἰσχύνη οὐ τοῦ πιστεύσαντος* am Rand V | *ὡς* > B | **16** *ἄστεως* BG *ἄστεος* die übr. HSS | **19** *ἐπίνειον* HS Georg. Nic. XIII 16 *ἐπίνιον* B *ἐπίνηον* VNy *ἐπήνηον* G

σεισμοῦ δὲ μεγίστου νύκτωρ γεγενημένου καὶ δείματος τὴν βασιλίδα κατεσχηκότος, πρέσβεις ὑπὸ τὴν ἕω πρὸς τὸν ἐληλαμένον ἀπεστάλησαν, ἀντιβολοῦντες ὡς τάχιστα τὸ ἄστυ καταλαβεῖν καὶ στῆσαι τῇ πόλει τὸν κίνδυνον. καὶ ἕτεροι δὲ μετ' ἐκείνους ἐπέμφθησαν καὶ ἄλλοι μετὰ τούτους, καὶ πλήρης ὁ Βόσπορος τῶν πεμπομένων ἐγένετο. ἐπειδὴ δὲ τοῦτο ὁ πιστότατος ἔγνω λεώς, ἐκάλυψεν τοῖς πορθμείοις τῆς Προποντίδος τὸ στόμα· πάντες γὰρ ὑπήντησαν τὰς ἐκ κηροῦ λαμπάδας προσάπτοντες.

Τότε μὲν οὖν τὸ τῶν δυσμενῶν διελύθη στῖφος. ὀλίγων δὲ διελθόντων μηνῶν συνηθροίσθησαν αὖθις καὶ δίκας εἰσέπραττον οὐ τῶν ψευδῶν ἐκείνων γραφῶν, ἀλλὰ τῆς μετὰ τὴν καθαίρεσιν λειτουργίας. ὁ δὲ ἔλεγε μήτε δικάσασθαι μήτε τῶν γραφῶν ἐπακοῦσαι μήτε ἀπολογίαν ποιήσασθαι μήτε μὴν κατακριθῆναι παρών, ἀλλ' ὑπὸ βασιλέως ἐξελαθῆναί τε καὶ αὖ πάλιν ἀνακληθῆναι. καὶ συνόδου συγκροτηθείσης ἑτέρας, οὐκ ἐδεήθησαν δίκης οἱ δυσμενεῖς, ἀλλὰ τὸν βασιλέα πείσαντες ἔννομον καὶ δικαίαν εἶναι τὴν ψῆφον οὐ μόνον τῆς πόλεως ἐκείνης ἐξήλασαν, ἀλλὰ καὶ εἴς τινα πολίχνην σμικράν τε καὶ ἔρημον τῆς Ἀρμενίας ἐξέπεμψαν· Κουκουσὸς δὲ ὄνομα ταύτῃ. κἀκεῖθεν δὲ ἐξαγαγόντες εἰς Πιτυοῦντα μετῴκισαν· τέρμα δὲ τοῦτο καὶ τοῦ Πόντου καὶ τῆς Ῥωμαίων ἡγεμονίας, τοῖς ὠμοτάτοις γειτονεῦον βαρβάροις. ἀλλ' ὁ φιλάνθρωπος οὐκ εἴασε δεσπότης εἰς ἐκεῖνο

10—18 vgl. Sozomen. VIII 20, 4—22, 6. Socrat. VI 18, 6 f — **19**—S. 336, 4 vgl. Sozomen. VIII 28, 2—3. Socrat. VI 21, 1. Symeon. Vita Joh. Chrys. 58—60. Pallad. Dialog. de vita S. Joh. Chrys. 11. Georg. Alexandrin. ebd. 67. Theodor. Trimith. ebd. 25

* **1—9** Georg. Alexandrin. Vita Chrys. 49 S. 226, 25. Symeon. Vita Joh. Chrys. 46 — **16**—S. 336, 1 Cass. X 18 — **19**—S. 336, 4 Georg. Alexandrin. ebd. 67 S. 246, 7; 247, 1, 19 u. 29

B V HN (n) + GS (s) = r AL (y)

1 *νύκτωρ μεγίστου* ∽ V | *γενομένου* n | **2** *ἐληλαμένον* = Georg.] *ἀπεληλαμένον* n, vgl. ob. S. 278, 17 | *ἐστάλησαν* BH *mittebantur* Cass. | **6** *ἐκάλυψεν* B Georg. *ἐκάλυψέν* A *ἐκάλυψαν* die übr. HSS | *πορθμείοις* Bsy | **7** *πάντες* B Georg. *ἅπαντες* Vry | **8** *προάπτοντες* n | **11** *ἀλλὰ* zweimal B **12** *μήτε τῶν — 13 ποιήσασθαι* ≻ V | **14** *βασιλέων* NGA | **16** *δίκαιον* s *εἶναι καὶ δικαίαν* ∽ B | **17** *μικράν* s | **18** *ἀρμενείας* B | **19** *μετώκησαν* BVNG | **19/20** *τοῦτο καὶ* Vry Georg. *καὶ τοῦτο* B

τὸ νησύδριον ἀπαχθῆναι τὸν καλλίνικον ἀθλητήν· εἰς γὰρ τὰ Κόμανα παραγενόμενον εἰς τὸν ἀγήρω καὶ ἄλυπον μετέθηκε βίον. τὸ δέ γε **9** καλῶς ἀγωνισάμενον σῶμα παρὰ τὴν θήκην ἀπετέθη Βασιλίσκου τοῦ μάρτυρος, τοῦτο δι᾽ ὀνείρατος προστεταχότος τοῦ μάρτυρος.

Ὁπόσοι μὲν οὖν τῶν ἐπισκόπων δι᾽ ἐκεῖνον τῶν ἐκκλησιῶν [λς′] ἐξηλάθησαν καὶ αὐτὰς ᾤκησαν τὰς τῆς οἰκουμένης ἐσχατιάς, ὁπόσοι δὲ καὶ τῶν τὴν ἀσκητικὴν φιλοσοφίαν ἠγαπηκότων τοῖς ἴσοις παθήμασι περιέπεσον, περιττὸν οἶμαι διηγεῖσθαι καὶ μηκύνειν τὴν συγγραφήν, ἄλλως τε καὶ χρῆναι νομίζω συστέλλειν τὰ σκυθρωπὰ καὶ τῶν δεδρακότων ὁμοπίστων ὄντων συγκαλύπτειν τὰ πλημμελήματα. ἔδοσαν μέντοι καὶ δίκας τῶν ἠδικηκότων οἱ πλεῖστοι καὶ τοῖς ἄλλοις **10** δι᾽ ὧν ἔπαθον τὴν ὠφέλειαν προσήνεγκαν.

Ταύτην ἐβδελύξαντο διαφερόντως τὴν ἀδικίαν οἱ τῆς Εὐρώπης ἐπίσκοποι· τῆς γὰρ τῶν δεδρακότων σφὰς αὐτοὺς ἀπέκριναν κοινωνίας. καὶ Ἰλλύριοι δὲ πάντες τῆς μερίδος ἐκείνης ἐγένοντο. τῶν δὲ πρὸς ἥλιον ἀνίσχοντα πόλεων οἱ πλεῖστοι ἔφυγον μὲν τῆς ἀδικίας τὴν κοινωνίαν, τὸ δὲ τῆς ἐκκλησίας οὐκ ἐμέρισαν σῶμα. καὶ τελευτήσαντος **11** δὲ τοῦ μεγάλου διδασκάλου τῆς οἰκουμένης, οὐ πρότερον οἱ τῆς Ἑσπέρας ἐπίσκοποι τῶν ἐν Αἰγύπτῳ καὶ τῇ Ἑῴᾳ καὶ τῶν ἐν τῷ Βοσπόρῳ καὶ τῇ Θρᾴκῃ τὴν κοινωνίαν ἠσπάσαντο ἕως ἐκείνου τοῦ

3 vgl. I Tim. 6, 12 — **5—8** vgl. Sozomen. VIII 23—24. Pallad. Dialog. de vita S. Joh. Chrys. 3. 11. 20. Symeon. Vita Joh. Chrys. 53 u. 55. Georg. Alexandrin. Vita Chrys. 54—55. Cod. Theod. XVI 4, 6 — **10** vgl. I Petr. 4, 8 — **11/12** vgl. Sozomen. VIII 27, 1—3. Socrat. VI 19. Georg. Alexandrin. Vita Chrys. 60 S. 23 u. 71 S. 252, 38. Zonar. XIII 20, 20 S. 96, 12. Cedren. I 582, 12 — **13 f** vgl. Sozomen. VIII 26 u. 28. Georg. Alexandrin. ebd. 61—62. 64 f. 68. Symeon ebd. 56. Pallad. ebd. 3. Theodor. Trimith. De vita Joh. Chrys. 26

* **13**—S. 337, 5 Niceph. H. E. XIII 22. Cass. X 19. Georg. Alexandrin. Vita Chrys. 68 S. 247, 34 u. 71 S. 252, 25 u. 31

B V HN (n) + GS (s) = r AL (y)

1 *νησύδριον* BV Georg. *συνέδριον* nGy *φρούριον* S *per loca talia* Cass., vgl. Ammian 22, 8, 16: »insulaeque arduae Trapezunta et Pityunta continentes oppida« | *καλλίνικον* = Georg.] *γενναῖον* s | *τὰ κόμανα* BV *κόμανα* HSy *κώμανα* NG, *ἐν Κομάνοις* Socr. Sozom. | **2** *παραγενάμενον* B | *μετατέθηκεν* B | **2/3** *δέ γε καλῶς*] *δὲ καλῶσ τε* B *καλῶς* Georg. | **5** λς am Rand HSS | **6** *αὐτὰς*] *ταύτασ* B | **8/9** *γραφήν* V | **11** *ἔδωσαν* BG | *καὶ*[1] nur in B | **13** *ἐβδελύξατο* B | **16** *μὲν* = Georg. > ry | **20** *ἐσπάσαντο* B

θεσπεσίου ἀνδρὸς τοὔνομα τοῖς τεθνεῶσιν ἐπισκόποις συνέταξαν. καὶ 12
Ἀρσάκιον μέν, ὃς μετ' ἐκεῖνον ἐγένετο, προσρήσεως οὐκ ἠξίωσαν· Ἀττικὸν δὲ τὸν Ἀρσακίου διάδοχον, πολλάκις μὲν πρεσβευσάμενον, πολλάκις δὲ τῆς εἰρήνης τυχεῖν ἀξιώσαντα, χρόνῳ ὕστερον ἐδέξαντο τὴν προσηγορίαν ἐγγράψαντα.

Κατὰ τοῦτον δὲ τὸν χρόνον Ἀλεξανδρείας μὲν Κύριλλος ἐπίσκοπος 35 [λζ']
ἦν, Θεοφίλου μὲν ἀδελφιδοῦς, τοῦ δὲ θείου τὴν προεδρίαν λαχών. τῆς δὲ Ἱεροσολύμων ἐκκλησίας Ἰωάννης εἶχε τὴν προεδρίαν, ἀνὴρ ἀξιάγαστος, Κύριλλον διαδεξάμενος, οὗ καὶ πρόσθεν ἐμνήσθημεν. τὴν δὲ Ἀντιοχέων Ἀλέξανδρος ἐποίμαινε, συμβαίνουσαν ἔχων τῇ ἀρχιερωσύνῃ τὴν πολιτείαν. ἐν ἀσκητικῇ γὰρ παλαίστρᾳ τὸν πρὸ τῆς 2
ἐπισκοπῆς διατελέσας χρόνον καὶ γυμνασάμενος ἐπὶ πλεῖστον, ὤφθη γενναῖος ἀγωνιστὴς καὶ λόγῳ παιδεύων καὶ βεβαιῶν τῷ βίῳ τὸν λόγον. οὗτος Πορφύριον διεδέξατο, ὃς μετὰ Φλαβιανὸν τοὺς οἴακας ἐκείνους παραλαβὼν πολλὰ μνημεῖα φιλανθρωπίας κατέλιπεν. ἐκεῖνος 3
μὲν οὖν τῇ πυκνότητι διέπρεπε τῶν φρενῶν, ὁ δὲ θεῖος Ἀλέξανδρος ἀσκήσει καὶ φιλοσοφίᾳ καὶ ἀκτήμονι βίῳ καὶ τῷ ῥεύματι τῆς γλώττης καὶ μυρίοις ἑτέροις πλεονεκτήμασι χάριτος.

Οὗτος καὶ τὴν Εὐσταθίου τοῦ μεγάλου συμμορίαν, ἣν πάλαι συναφθῆναι Παυλῖνος οὐκ εἴασε καὶ μετ' ἐκεῖνον Εὐάγριος, πειθοῖ καὶ παρακλήσει χρώμενος τῷ λοιπῷ συνήρμοσε σώματι, καὶ ἐσχεδίασεν ἑορτὴν ἧς παραπλησίαν οὐδεὶς ἐθεάσατο πώποτε. πάντας γὰρ τοὺς 4
ὁμοπίστους παραλαβών, καὶ τοὺς ἱερωμένους καὶ τοὺς πολλούς, ἀφίκετο πρὸς τὴν ἐκείνων ὁμήγυριν. καὶ παραλαβὼν ψάλλοντας καὶ

3 f vgl. Innocentii papae Epist. 22 PL 20, 544. Georg. Alexandrin. Vita Chrys. 70. Theodor. Trimith. De vita Joh. Chrys. 32 — **9** ob. S. 157, 17 f. 192, 9; 288, 1 — **19 f** vgl. ob. S. 72, 12 f. 180, 25 f. 279, 10 f. 322, 1 f.

* **6**—S. 338, 9 Cass. X 25 — **10—14** Georg. Alexandrin. Vita Chrys. 71 S. 252, 34 — **10—18** Suidas *Ἀλέξανδρος Ἀντ. ἐπ.*

B V HN (n) + GS (s) = r AL (y)

4 *τυχεῖν* = Nic. Georg. > B | **6** $\overline{\lambda\zeta}$ am Rand HSS | *ἐπίσκοπος Κύριλλος* ~ L | **10** *συμβαίνουσαν* = Georg. Suidas] *συμμαχοῦσαν* A | **13** *γενναῖος* V | **15** *κατέλειπεν* B | **16** *οὖν* = Suidas > B | **18** *πλεονεκτήμασι χάριτος* B Suidas, *et plurimis bonorum beneficiis abundabat* Cass., *ἐπλεονέκτει χαρίσμασιν* Vry | **20** *παυλίνος* B | **21** *χρησάμενος* L | **22** nach *παραπλησίαν* + *ἑορτὴν* expungiert L | **23** *πολλούς*] *λοιπούς* B, *populos* Cass., vgl. S. 72, 12; 97, 8 | **24** *ἐκείνων* BVAmL > r | *ψάλλοντας*] *ψάλτας* V, *psallentes* Cass.

μίαν ὑμνῳδίας ἁρμονίαν ὑφήνας, ἀπὸ τῆς πρὸς ἑσπέραν τετραμμένης πυλίδος μέχρι τοῦ μεγίστου νεὼ πᾶσαν τὴν ἀγορὰν ἀνθρώπων ἐπλήρωσε καὶ ποταμὸν ἔδειξε λογικὸν τὸν παρρέοντα μιμούμενον ποταμόν. ταῦτα δὲ ὁρῶντες καὶ Ἰουδαῖοι καὶ οἱ τὴν Ἀρείου λώβην εἰσδεδεγμένοι καὶ τὸ βραχύτατον τῶν Ἑλλήνων λείψανον ἔστενον καὶ ὠδύροντο, καὶ τοὺς ἄλλους θεώμενοι ποταμοὺς εἰς τὴν τῆς ἐκκλησίας εἰσβάλλοντας θάλασσαν.

Οὗτος τὴν Ἰωάννου τοῦ πάνυ προσηγορίαν πρῶτος τοῖς ἐκκλησιαστικοῖς διπτύχοις ἐνέταξε. [λη']

Χρόνῳ μέντοι ὕστερον καὶ αὐτὰ τοῦ διδασκάλου τὰ λείψανα εἰς **36** τὴν βασιλεύουσαν μετεκόμισαν πόλιν. καὶ πάλιν ὁ πιστὸς ὅμιλος, ὡς ἠπείρῳ τῷ πελάγει διὰ τῶν πορθμείων χρησάμενος, τοῦ Βοσπόρου τὸ πρὸς τῇ Προποντίδι στόμα ταῖς λαμπάσι κατέκρυψε.

Τοῦτον δὲ ἐκείνῃ τῇ πόλει τὸν θησαυρὸν ὁ νῦν βασιλεύων προσή- [λθ']
νεγκεν, ὁ τοῦ πάππου καὶ τὴν προσηγορίαν λαχὼν καὶ τὴν εὐσέβειαν φυλάξας ἀκήρατον. οὗτος ἐπιθεὶς τῇ λάρνακι καὶ τοὺς ὀφθαλμοὺς **2** καὶ τὸ μέτωπον ἱκετείαν ὑπὲρ τῶν γεγεννηκότων προσήνεγκε, συγγνῶναι τοῖς ἐξ ἀγνοίας ἠδικηκόσιν ἀντιβολήσας.

Πάλαι μὲν γὰρ ἐτεθνήκεσαν οἱ τούτου γονεῖς, κομιδῇ νέον ἐν ὀρφανίᾳ καταλιπόντες. ἀλλὰ πεῖραν αὐτὸν λαβεῖν τῆς ὀρφανίας οὐκ **3** εἴασεν ὁ τῶν πατέρων καὶ προγόνων θεός· τροφῆς τε γὰρ αὐτὸν μεταλαχεῖν εὐσεβοῦς παρεσκεύασε καὶ τὴν βασιλείαν ἐφύλαξεν ἀστα-

8/9 vgl. Innocentii papae Epist. 23 PL 20, 546 B — **10—13** vgl. Socrat. VII 45, 2—3. Synax. 425, 49 — **11—13** vgl. ob. S. 335, 6 f — **19—S.** 339, 8 vgl. Sozomen. IX, 1 u. 3. Socrat. VII 22

* 8/9 Georg. Alexandrin. Vita Chrys. 71 S. 252, 37 — **10—18** Georg. Alexandrin. ebd. 72 S. 254, 27. 255, 9 u. 15 — **10—S.** 339, 1 Cass. X 26

B V HN (n) + GS (s) = r AL (y)

1 *ὑμνωδίας ἁρμονίαν* BV *ἁρμονίαν ὑμνωδίας* S *ἁρμονίας ὑμνωδίαν* ny *ἁρμωδίας ὑμνῳδίαν* G, *unum canticum sub quadam congruentia* Cass. | *τετραμμένης*] *τεταγμένης* B | **3** *παρέοντα* B | **6** *ὠδύροντο*] *ὠλοφύροντο* n | **7** *εἰσβάλλοντας* schreibe ich] *εἰσβάλλοντα* B *ἐμβάλλοντας* VnL *ἐμβαλόντας* sA, vgl. S. 200, 21 | nach *θάλασσαν* + *ἀπωδύροντο* H | **8** $\overline{\lambda\eta}$ am Rand B | **10** $\overline{\lambda\eta}$ am Rand Vry | **11** *μετεκόμισαν* = Georg.] *μετεκόμισεν* B, *reliquiae — devectae sunt* Cass.; vgl. *μετεκόμισε* (scil. Proclus) Socr. | **12** *ὡς* = Georg. > V, *quasi* Cass. | *πορθμίων* Bsy | *τοῦ* > B | **14** $\overline{\lambda\vartheta}$ am Rand BVr | **16** *καὶ* > B Cass. Georg. | **17** vor *ἱκετείαν* + *τὴν* V, fehlt bei Georg. | **19** $\overline{\lambda\vartheta}$ am Rand y | *ἐτεθνήκεισαν* V | **21** *καὶ*] *καὶ τῶν* y

σίαστον καὶ τὰς τυραννικὰς ἐχαλίνωσε γνώμας. τῶνδε τῶν εὐεργε- 4
σιῶν μεμνημένος ἀεὶ τὸν εὐεργέτην γεραίρει τοῖς ὕμνοις· ἔχει δὲ
κοινωνοὺς τῆς ὑμνῳδίας τὰς ἀδελφὰς διὰ βίου τὴν παρθενίαν ἀσκού-
σας καὶ τρυφὴν ἡγουμένας μεγίστην τὴν τῶν θείων λογίων μελέτην
καὶ θησαυρὸν ἄσυλον νομιζούσας τῶν δεομένων τὰς χρείας. αὐτὸν 5
μέντοι τὸν βασιλέα πολλὰ μὲν καὶ ἄλλα κοσμεῖ, οὐχ ἥκιστα δὲ φιλαν-
θρωπία καὶ πραότης καὶ γαλήνη ψυχῆς ζάλην οὐ δεχομένη, καὶ πίστις
ἀκραιφνής τε καὶ δόκιμος· καὶ ταύτης σαφὲς ἐπιδείξω τεκμήριον.

Ἀνήρ τις ἀσκητικὸν μὲν ἀσπαζόμενος βίον, θρασυτέρᾳ δὲ χρώ- 37
μενος γνώμῃ, προσελήλυθε τῷ βασιλεῖ περί τινος δεόμενος. ἐπειδὴ
δὲ τοῦτο δράσας πολλάκις οὐκ ἔτυχε, τῆς ἐκκλησιαστικῆς αὐτὸν
κοινωνίας ἐκώλυσε καὶ τὸν δεσμὸν ἐπιθεὶς ὑπεχώρησεν. ὁ δὲ πιστό-
τατος βασιλεὺς παραγενόμενος εἰς τὰ βασίλεια, καὶ τοῦ καιροῦ κα-
λοῦντος εἰς εὐωχίαν καὶ τῶν συσσίτων παρόντων, οὐκ ἔφη πρὶν
λυθῆναί οἱ τὸν δεσμὸν μετασχήσειν τροφῆς· καὶ τούτου δὴ εἵνεκα 2
πρὸς τὸν ἀρχιερέα τινὰ τῶν οἰκειοτάτων ἔπεμψε, παρακαλῶν ἐπι-
τρέψαι τῷ δεδεκότι τὸν δεσμὸν διαλῦσαι. τοῦ δὲ ἐπισκόπου φήσαντος
μὴ χρῆναι παρὰ παντὸς ὁτουοῦν δέχεσθαι τὸν δεσμὸν καὶ δεδηλω-
κότος ὡς λέλυται, οὐκ ἐδέξατο τὴν λύσιν ἕως ὁ δήσας σὺν πολλῷ
πόνῳ ζητηθεὶς τὴν κοινωνίαν ἀπέδωκεν· οὕτω τοῖς θείοις πεπίστευκε
νόμοις.

6—8 vgl. Socrat. VII 42. Sozomen. Prooem. 3 f

* **1**—S. 340, 12 Cass. X 27 — **6**—S. 340, 4 Niceph. H. E. XIV 3

B V H [H bis **16** *τὸν ἀρ*] N (n) + GS (s) = r AL (y)

5 *χρείας*] *χεῖρας* V *manus* Cass., was Val. vorzieht | **6** *πολλὰ μὲν καὶ ἄλλα* Vs *multis etiam aliis* Cass. *πολλὰ καὶ ἄλλα* y *καὶ ἄλλα πολλὰ* Bn | *κοσμεῖ* BV *adornatur* Cass. *ἐκόσμει* ry | *δὲ*] *δὲ καὶ* n | **6/7** *φιλανθρωπίας καὶ πραότητος* V | **8** *τε καὶ — τεκμήριον*] *καὶ ὅτι ταῦτα τοῦτον ἔχει τὸν τρόπον, τὰ ἑξῆς δηλώσει* S > G | **9** kein neues Kapitel in HSS | *μὲν* > BN | **10** *τινος* B *του''* V *τον* Nic., *pro aliqua causa* Cass., *ἑαυτοῦ* ry | **11** *αὐτὸν* > s, *eum* Cass. | **12** *ἐκώλυσε κοινωνίας* ∾ n, Cass. wie im Text | **14** *συσείτων* B *οὐκ ἔφη*] *οὐκ ἐχρὴν ἔφη* B *οὐ δεῖν ἔκρινε* Nic., *ait non* Cass. | **15** *λυθῆναί οἱ τὸν δεσμὸν* schreibe ich] *λυθῆναί οἱ τῶν δεσμῶν* V, *nisi prius eius vinculum solveretur* Cass., *λυθῆναι τὸν δεσμὸν* Bsy *λυθῆναι τῶν δεσμῶν* n Nic. | *μετασχήσειν* schreibe ich] *μετασχήσιν* B *μετασχεῖν* Vry Nic., vgl. S. 241, 22 | *ἵνεκα* B | **16** *τινὰ τῶν οἰκειοτάτων* B *τὸν οἰκειότατον* Vry, vgl. *τῶν τινα θεραπόντων* Nic.; nicht übersetzt von Cass. | **17** *δεδεκότι* Val.] *δεδοκότι* B *δεδωκότι* Vry, vgl. *ei qui ligaverat* Cass. *ὃς δήσας ἔλαχεν* Nic. u. unt. Z. 19 | **20** *πόνῳ* B Nic. *τῷ πόνῳ* Vry | *πεπιστεύκει* V

Τούτου δὴ εἵνεκα καὶ αὐτὰ τῶν εἰδωλικῶν σηκῶν τὰ λειπόμενα 3
ἐκ βάθρων ἀνασπασθῆναι προσέταξεν, ὥστε τοὺς μεθ' ἡμᾶς ἐσομένους
μηδὲ ἴχνος τῆς προτέρας ἐξαπάτης θεάσασθαι· τήνδε γὰρ τὴν διάνοιαν
τῷ περὶ τούτων ἐντέθεικε νόμῳ.

Τούτων δὲ τῶν ἀγαθῶν σπερμάτων διηνεκῶς δρέπεται τοὺς 4
καρπούς· τὸν γὰρ τῶν ὅλων δεσπότην προμηθούμενον ἔχει. καὶ γὰρ
ἡνίκα Ῥωΐλας, Σκυθῶν τῶν νομάδων ἡγούμενος, τόν τε Ἴστρον διέβη
μετὰ στρατιᾶς ὅτι μάλιστα πλείστης καὶ τὴν τε Θρᾴκην ἐδήου καὶ
ἐληΐζετο καὶ τὴν βασιλίδα πόλιν πολιορκήσειν τε καὶ αὐτοβοεὶ αἱρήσειν
καὶ ἀνάστατον ἠπείλει ποιήσειν, σκηπτοῖς ἄνωθεν ὁ θεὸς καὶ πρη-
στῆρσι βαλὼν καὶ αὐτὸν κατέφλεξε καὶ τὴν στρατιὰν κατανάλωσεν
ἅπασαν.

Τοιουτότροπόν τι κἀν τῷ Περσικῷ πολέμῳ πεποίηκεν. ἐπειδὴ 5
γὰρ ἐκεῖνοι τὴν Ῥωμαίων ἀσχολίαν μεμαθηκότες κατὰ τῶν ἀστυγειτό-
νων ἐστράτευσαν, τὰς περὶ τῆς εἰρήνης παραβεβηκότες σπονδάς,
ἐπεκούρει δὲ τοῖς πολεμουμένοις οὐδείς (τῇ γὰρ εἰρήνῃ τεθαρρηκὼς
ὁ βασιλεὺς εἰς ἑτέρους πολέμους καὶ τοὺς στρατηγοὺς καὶ τοὺς στρα-
τιώτας ἐξέπεμψεν), ὑετῷ λαβροτάτῳ καὶ χαλάζῃ βαλὼν μεγίστῃ τὴν
ἐπὶ τὰ πρόσω πορείαν ἐκώλυσε καὶ τὸν τῶν ἵππων ἐπέδησε δρόμον·
καὶ ἐν εἴκοσι ἡμέραις ἰσαρίθμους ἐξανύσαι σταδίους οὐκ ἴσχυσαν, 6
ἕως οἱ στρατηγοί τε ἀφίκοντο καὶ τοὺς στρατιώτας συνήθροισαν.

Καὶ ἐν τῷ προτέρῳ δὲ πολέμῳ τούτους αὐτοὺς τὴν ἐπώνυμον
τοῦ βασιλέως πολιορκοῦντας πόλιν καταγελάστους ἀπέφηνε. πλείους 7

1/2 vgl. Cod. Theod. XVI 10, 25 — **7—12** vgl. Socrat. VII 43, 1—5

* **2/3** Theophyl. Bulg. Martyr. XV mart. 5 PC 126, 160 C 13? — **5**—S. 341, 23 Niceph. H. E. XIV 4 — **13**—S. 341, 23 Cass. X 28

B V N + GS (s) = r AL (y)

1 *δὴ* — **2** *ἐκ* > s | *καὶ αὐτὰ — λειπόμενα* > V | **3** *μηδὲ* BV Theophyl. *neque* Cass. *μηδὲν* ry | **4** *τῷ*] *τῶν* B | **7** *ῥωΐλας* V *ῥώϊλας* (der Accent von zweiter Hand) B *ῥωϊλὰς* s *ῥοΐλᾶς* N *Ῥωϊλᾶς* Nic. *ῥοΐλλος* y *Roilas* Cass. *Ῥούγας* Socr.; vgl. *Ῥοῦας* bei Priscus (F. H. G. IV 71 = Exc. de leg. S. 121 ed. de Boor), *Roas* Jordan. Get. 35, *Rugila* Chron. min. ed. Mommsen I 658 u. 660 a. 433 u. 434 | **8** *τε* > B | **9** *αὐτοβοεὶ* B | **10** *ποιῆσαι* BL, vgl. *δράσειν διανοούμενος* Nic. | *θεὸς*] *κύριος* B, *maiestas divina* Cass. | **11** *κατηνάλωσεν* V | **13** *τοιουτότροπόν τι κἀν* V *τοιοῦτὸ δὲ τρόπον* (auf Rasur) *τι καὶ ἐν* B *τοιοῦτον δέ τι κἀν* ry *tale aliquid* Cass. | **14** *τὴν*] *τῶν* B | *τῶν* > V | **15** *περὶ*] *παρὰ* NGy | **17** *ὁ* > Vs | *καὶ*[1] > B Cass. | **18** *μεγίστῃ βαλὼν* ∾ ry | **19** *δρόμον*] *τὸν δρόμον* A

γὰρ ἢ τριάκοντα ἡμέρας πανσυδὶ Γορορράνου τὴν προειρημένην κυκλώσαντος πόλιν, καὶ πολλὰς μὲν ἑλεπόλεις προσενεγκόντος, μηχαναῖς δὲ χρησαμένου μυρίαις, καὶ πύργους ἔξωθεν ὑψηλοὺς ἀντεγείραντος, μόνος ἀντέσχεν ὁ θεῖος ἀρχιερεὺς (Εὐνόμιος δὲ τούτῳ ὄνομα ἦν) καὶ τῶν προσφερομένων μηχανῶν τὴν ῥύμην διέλυσε. καὶ τῶν στρατηγῶν τῶν ἡμετέρων τὴν πρὸς τοὺς πολεμίους ἀπειρηκότων μάχην καὶ τοῖς πολιορκουμένοις ἐπαρκεῖν οὐ τολμώντων, οὗτος ἀντιπαραταττόμενος ἀπόρθητον τὴν πόλιν ἐφύλαξεν. ἑνὸς δὲ τῶν 8 ὑπὸ τῶν βαρβάρων τελούντων βασιλέων τὴν συνήθη βλασφημίαν τετολμηκότος καὶ τὰ Ῥαψάκου καὶ Σενναχηρεὶμ φθεγξαμένου καὶ μανικῶς ἀπειλήσαντος τὸν θεῖον πυρπολήσειν νεών, οὐκ ἐνεγκὼν τὴν λύτταν ὁ θεῖος ἐκεῖνος ἀνὴρ τὸ λιθοβόλον ὄργανον παρὰ τὴν ἔπαλξιν τεθῆναι κελεύσας, ὃ τοῦ ἀποστόλου Θωμᾶ ἐπώνυμον ἦν, καὶ λίθον μέγαν ἐπιτεθῆναι παρεγγυήσας, ἐν τῷ ὀνόματι τοῦ βλασφημηθέντος ἀφεῖναι προσέταξεν. ὁ δὲ κατευθὺ τοῦ δυσσεβοῦς βασιλέως ἐκείνου 9 κατενεχθεὶς καὶ τῷ στόματι πελάσας τῷ μυσαρῷ, τό τε πρόσωπον διέφθειρε καὶ τὴν κεφαλὴν συνέτριψεν ἅπασαν καὶ τὸν ἐγκέφαλον διέρανε τῇ γῇ. τοῦτο θεασάμενος ὁ τὴν στρατιὰν ἀγείρας καὶ τὴν πόλιν αἱρήσειν ἐλπίσας ᾤχετο, τὴν ἧττταν διὰ τῶν πραγμάτων ὁμολογήσας, καὶ δείσας τὴν εἰρήνην ἐσπείσατο. οὕτως ὁ τῶν ὅλων 10 παμβασιλεὺς τοῦ πιστοτάτου κήδεται βασιλέως. καὶ γὰρ δὴ καὶ οὗτος τὴν δουλείαν ὁμολογεῖ καὶ τὴν ἁρμόττουσαν τῷ δεσπότῃ θεραπείαν προσφέρει.

Οὗτος τοῦ μεγάλου φωστῆρος τῆς οἰκουμένης τὰ λείψανα τῇ ποθούσῃ ἀποδέδωκε πόλει· ἀλλὰ ταῦτα μὲν ὕστερον ἐγένετο.

10 f II Kön. 18, 17 f. Jes. 36, 2 f. 37, 17 — **24 f** ob. 23[8], 14 f

B V N + GS (s) = r AL (y)

1 *πανσυδὶ* Vy *πασσυδεὶ* B *πανστρατὶ διῆγον* N | *γορορράνου* By *Gororanus* Cass. *γοραράρου* V *ηγαράνου* s *ἀράνου* N | *εἰρημένην* V, *praedictam* Cass. | **2** *μὲν* > V | *προενεγκόντος* V | **3** *δὲ* > V | **4** *τούτου* B | **5** *μηχανημάτων* ry, vgl. *μηχανὰς* Nic. | **8** *ἐπιπαραταττόμενος* s | **9** *βασιλέων* > s, *σατραπῶν* Nic. | **10** *σενναχηρεὶμ* VS *σενναχειρεὶμ* B *-ηρὶμ* A *-ειρὶμ* G *σεναχηρεὶμ* NL | **14** *μέγαν ἐπιτεθῆναι*] *μέγα τεθῆναι* B | **17** *συνέτριψεν*] *διέφθειρεν* s *συνέτριβε* Nic., *contrivit* Cass. | *ἐνκέφαλον* B | **18** *διέρανεν* L | *τοῦτον* NA | **19/20** *ὁμολογῶν* ry, vgl. *ἀναβοῶν* Nic., *professus est* Cass. **20** *καὶ δείσας — ἐσπείσατο* = Cass. > B | **21** *παμβασιλεὺς*] *βασιλεὺς* B *rex* Cass., vgl. ob. S. 278, 16 und *ὁ δὲ τῶν ὅλων παμβασιλεὺς* Theodoret Gr. aff. cur. S. 254, 26 [Raeder] | **23** *προσφέρει θεραπείαν* ∽ s | **25** *ἀπέδωκεν* BN

Ἰννοκέντιον δὲ ἐκεῖνον τὸν ἄριστον τῆς Ῥώμης ἐπίσκοπον Βονι- **38** [μ΄]
φάτιος διεδέξατο, Ζώσιμος δὲ Βονιφάτιον, τὸν δὲ Ζώσιμον Κελεστῖνος. ἐν Ἱεροσολύμοις δὲ μετὰ τὸν θαυμάσιον Ἰωάννην Πραῦλιος τὴν τῆς ἐκκλησίας ἐπιστεύθη κηδεμονίαν, ἀνὴρ τῷ ὄντι φερώνυμος. ἐν Ἀντιοχείᾳ δὲ μετὰ τὸν θεῖον Ἀλέξανδρον Θεόδοτος, τῆς σωφροσύνης ὁ μαργαρίτης, τὴν τῆς ἐκκλησίας προεδρίαν παρέλαβε, πραότητι μὲν διαπρέπων, ἀκριβείᾳ δὲ βίου κοσμούμενος. οὗτος τὴν Ἀπολιναρίου **2**
φατρίαν τοῖς ἄλλοις προβάτοις ἀνέμιξε, λιπαρηθεὶς αὐτοὺς ἑνῶσαι τῇ ποίμνῃ· πολλοὶ δὲ τούτων διέμειναν τὴν προτέραν λώβην ἐπίσημον ἔχοντες.

Κατὰ τοῦτον τὸν χρόνον Ἰσδιγέρδης ὁ Περσῶν βασιλεὺς τὸν **39** [μα΄]
κατὰ τῶν ἐκκλησιῶν ἐκίνησε πόλεμον, πρόφασιν ἐνθένδε λαβών. Ἄβδας τις ἐπίσκοπος ἦν, πολλοῖς κοσμούμενος εἴδεσιν ἀρετῆς· οὗτος οὐκ εἰς δέον τῷ ζήλῳ χρησάμενος πυρεῖον κατέλυσε. πυρεῖα δὲ καλοῦσιν ἐκεῖνοι τοῦ πυρὸς τοὺς νεώς· θεὸν γὰρ τὸ πῦρ ὑπειλήφασι. τοῦτο μαθὼν παρὰ τῶν μάγων ὁ βασιλεὺς μετεστείλατο τὸν Ἄβδαν. καὶ πρῶτον μὲν ἠπίως τὸ πραχθὲν ἠτιάσατο καὶ τὸ πυρεῖον οἰκοδο- **2**
μῆσαι προσέταξεν· ἐκείνου δὲ ἀντιλέγοντος καὶ τοῦτο δράσειν ἥκιστα φάσκοντος, πάσας καταλύσειν τὰς ἐκκλησίας ἠπείλησε, καὶ μέντοι καὶ τέλος ἐπέθηκεν οἷς ἠπείλησε. πρότερον γὰρ τὸν θεῖον ἄνδρα ἐκεῖνον ἀναιρεθῆναι κελεύσας, καταλυθῆναι τὰς ἐκκλησίας προσέταξεν.

Ἐγὼ δὲ τὴν μὲν τοῦ πυρείου κατάλυσιν οὐκ εἰς καιρὸν γεγενῆσθαί **3**
φημι. οὐδὲ γὰρ ὁ θεῖος ἀπόστολος, εἰς τὰς Ἀθήνας ἀφικόμενος καὶ **4**

11—21 vgl. Synax. 17, 17

* **1—10** Niceph. H. E. XIV 30 — **1—12** Cass. X 29 — **11**—S. 347, 2 P. Peeters, Une passion arménienne des SS. Abdas, Hormisdas, Sâhîn et Benjamin, Analecta Bollandiana 28, 411 f (1909) — **13**—S. 343, 9 Theophan. 82, 25. Synax. 573, 42. 574, 20 — **13**—S. 347, 17 Niceph. H. E. XIV 19—20. Cass. X 30—33. Michael Syr. VIII 3—4 S. 15—18

B V N + GS (s) = r AL (y)

1 $\overline{\mu}$ am Rand BVr | *ἰνοκέντιον* Ny | nach *ἄριστον* + *τὸν* B | **2** Zosimus war vor Bonifatius Papst | *καλεστίνος* B | **4** *ἐν*: $\overline{\mu}$ am Rand y | **8** *ἑνῶσαι αὐτοὺς* ∾ B, Cass. wie im Text | **9** *λώβην*] *λίμην* S *λοίμην* G | **11** $\overline{\mu\alpha}$ am Rand HSS | *ὁ*] *ὁ τῶν* A | *τὸν*^{2} — **12** *πόλεμον* > V | **12** *ἐνθένδε* V *ἔνθεν* B *ἐντεῦθεν* ry | **13** *ἄβδασ* Gy *ἀβδᾶσ* VNS Nic. *ἀβδάσ* B *ἀβδαᾶς* (mit Varianten: *ἀβδάασ* Cod. b) Theophan. | nach *πολλοῖς* + *μὲν* B | **14. 17. 22** *πυρεῖον, -εῖα, -εῖον* BVS Nic. *πυρίον, -ία, -ίον* NGy | **16** *ἄβδαν* BGy *ἀβδᾶν* VNS | **19** *καὶ μέντοι* — **20** *ἠπείλησε* = Nic. Cass. > Vs

τὴν πόλιν κατείδωλον θεασάμενος, τῶν βωμῶν τινα τῶν ὑπ' ἐκείνων τιμωμένων κατέλυσεν, ἀλλὰ λόγῳ καὶ τὴν ἁγνοιαν ἤλεγξε καὶ τὴν ἀλήθειαν ἔδειξε. τὸ δὲ τὸν καταλυθέντα μὴ ἀνοικοδομῆσαι νεὼν ἀλλὰ τὴν σφαγὴν ἑλέσθαι μᾶλλον ἢ τοῦτο δρᾶσαι, κομιδῇ θαυμάζω καὶ στεφάνων τιμῶμαι· ἴσον γάρ μοι δοκεῖ τοῦ προσκυνῆσαι τὸ πῦρ τὸ τούτῳ τέμενος δείμασθαι.

Ἐντεῦθεν ὁ κλύδων ἀρχὴν λαβὼν παγχάλεπά τε καὶ ἄγρια κατὰ τῶν τῆς εὐσεβείας τροφίμων ἐκίνησε κύματα. καὶ τριάκοντα διεληλυθότων ἐνιαυτῶν ἡ ζάλη μεμένηκεν, ὑπὸ τῶν μάγων καθάπερ ὑπό τινων καταιγίδων ῥιπιζομένη. (μάγους δὲ καλοῦσιν οἱ Πέρσαι τοὺς τὰ στοιχεῖα θεοποιοῦντας· τὴν δὲ τούτων μυθολογίαν ἐν ἑτέρῳ συγγράμματι δεδηλώκαμεν, ἐν ᾧ τὴν λύσιν ταῖς τούτων πεύσεσι προσηνέγκαμεν.) καὶ Γοροράνης δὲ ὁ Ἰσδιγέρδου μετὰ τὴν τοῦ πατρὸς τελευτὴν σὺν τῇ βασιλείᾳ καὶ τὸν κατὰ τῆς εὐσεβείας διεδέξατο πόλεμον, καὶ τελευτῶν ἄμφω ταῦτα συνεξευγμένα καταλέλοιπε τῷ παιδί.

Τὰς δὲ τῶν τιμωριῶν ἰδέας καὶ τῶν κολαστηρίων τὰς ἐπινοίας ἃς τοῖς εὐσεβέσι προσήνεγκαν οὐ ῥᾴδιον φράσαι. τῶν μὲν γὰρ τὰς χεῖρας ἀπέδειραν, τῶν δὲ τὰ νῶτα· ἄλλων δὲ τὰς κεφαλὰς ἀπὸ τῶν μετώπων ἐναρξάμενοι μέχρι τοῦ ἰνίου γυμνὰς τῶν δερμάτων εἰργάσαντο. ἐνίους δὲ καλάμοις ἡμιτόμοις καλύψαντες καὶ τὰς τομὰς τῷ

1 Act. 17, 16 — **11/12** vgl. Theodoret. Epist. 82 PG 83, 1265 B — **17**—S. 344, 10 vgl. Theodoret. Gr. aff. cur. IX 32 S. 229, 6 [Raeder] — **18**—S. 344, 10 vgl. Synax. 17, 33. 573, 49 (Copie?) — **21**—S. 344, 2 vgl. Delehaye, Les versions grecques des Actes des martyrs persans sous Sapor II, Patrologia orientalis II S. 435, 2

* **13/14** Theophan. 85, 24 — **17**—S. 344, 7 Synax. 145, 43

B V N + GS (s) = r AL (y)

1/2 *τῶν ὑπ' ἐκείνων τιμωμένων* und *λόγῳ καὶ τὴν* > S | *τῶν ὑπ'* — *καὶ τὴν* > G | **2** *ἐκείνου* A | vor *κατέλυσεν* + *οὐ* B | *διήλεγξεν* s | **3** *τὸ δὲ*] *τὸν δὲ* V | **5** *στεφανῶν* B, vgl. S. 6, 11; 246, 13 | *τιμοῦμαι* B | **6** *τὸ τούτῳ* BV *τὸ τὸ* ry, *eius templum* Cass. | **7** *παγχάλεπά*] *τὰ χαλεπά* B *πάνυ χαλεπὰ* Nic., *saevissime* Cass. | **8** nach *τριάκοντα* + *δὲ* N | **9** *ἐνιαντῶν* B *ἐτῶν* Vry, vgl. *ἐνιαντοὺς* Nic. | *μεμένηκεν ὑπὸ*] *μεμενήκει ἡ ὑπὸ* B | **10** *ὑπὸ* > B | **12** *ταῖς* > V | **13** *ὁ* BV *ὁ υἱὸς* ry | **14** *κατὰ* > B | **15** *συνεζευγμένην* B | **17** *εἰδέασ* BNG | **19** *νῶτα Π* Cass. Michael, *ψύα* Synax. 145, 44; *ὦτα* Synax. 17, 33; 573, 50 | **20** *ἐναρξάμενοι* B *ἀρξάμενοι* Vry | *τοῦ ἰνίου* B *usque ad cervices* Cass. *τῶν πωγώνων* Vy *ἐς πώγωνας* Nic. *τῶν πωγωνίων* r *τῶν γενείων* Synax., vgl. *a capite ad pectus* armenisch | **21** *καλύψαντεσ καὶ* BVy *operientes et* Cass. *καλύπτοντες καὶ* Nic. *ἀμείψαντεσ κατὰ* r

σώματι προσαρμόσαντες, εἶτα δεσμὰ στεγανὰ ἀπὸ τῆς κεφαλῆς μέχρι τῶν ποδῶν περιθέντες, βίᾳ ἕκαστον τῶν καλάμων ἐξεῖλκον, ἵνα τὸ πελάζον τοῦ δέρματος παρασύροντες πικρὰς τὰς ὀδύνας ἐργάσωνται. καὶ λάκκους δὲ ὀρύξαντες καὶ τούτους ἀκριβῶς καταχρίσαντες, μυῶν 9
μεγάλων ἀγέλας ἐν τούτοις καθεῖρξαν καὶ τροφὴν αὐτοῖς τοὺς τῆς εὐσεβείας προσέφερον ἀθλητάς, καὶ τὰς χεῖρας αὐτῶν καὶ τοὺς πόδας δεσμοῦντες ὅπως ἀπὸ σφῶν αὐτῶν ἀπελαύνειν τὰ θηρία μὴ δύνωνται. οἱ δὲ μύες ὑπὸ τοῦ λιμοῦ πιεζόμενοι κατὰ βραχὺ τὰς τῶν ἁγίων 10
κατανήλισκον σάρκας, μακρὰν αὐτοῖς καὶ ἀλγεινὴν τὴν τιμωρίαν προσφέροντες. καὶ ἄλλας δὲ τούτων χαλεπωτέρας ἐπενόησαν τι- 11
μωρίας, τὸν τῆς φύσεως ἀλάστορα καὶ τῆς ἀληθείας πολέμιον διδάσκαλον ἔχοντες. ἀλλ᾽ οὐκ ἤλεγξαν τῶν ἀθλητῶν τὴν ἀνδρείαν· αὐτόματοι γὰρ ἔτρεχον, τὸν τῆς ἀνωλέθρου ζωῆς πρόξενον λαβεῖν ὀριγνώμενοι θάνατον. δύο δὲ ἢ τριῶν μνησθήσομαι ἵνα διὰ τούτων ἐπιδείξω καὶ τὴν τῶν ἄλλων ἀνδρείαν.

Ὁρμίσδης τις τῶν ἄγαν περιφανῶν παρὰ Πέρσαις ἐτύγχανεν ὤν, 12
Ἀχαιμενίδης ἀνήρ, πατέρα ὕπαρχον ἐσχηκώς. τοῦτον Χριστιανὸν εἶναι μεμαθηκὼς ὁ βασιλεὺς ἤγαγέ τε καὶ προσέταξεν ἀρνηθῆναι τὸν σεσωκότα θεόν. ὁ δὲ ἔφη μήτε δίκαια μήτε συμφέροντα προστετα-
χέναι τὸν βασιλέα. »ὁ γάρ τοι παιδευόμενος ῥᾳδίως τοῦ θεοῦ τῶν ὅλων καταφρονεῖν καὶ τοῦτον ἀρνεῖσθαι, ῥᾷον ἂν καὶ βασιλέως καταφρονήσοι· ἄνθρωπος γὰρ δὴ οὗτος, θνητὴν φύσιν κεκληρωμένος. εἰ 13
δὲ τιμωρίας ἐσχάτης ἄξιος ὁ τὰ σά, ὦ βασιλεῦ, ἀρνούμενος σκῆπτρα, πολλαπλασίων κολάσεων ἀξιώτερος ὁ τὸν τοῦ παντὸς ἀρνούμενος ποιητήν«. ὁ δὲ βασιλεύς, τὴν τῶν εἰρημένων δέον θαυμάσαι σοφίαν, 14

* **16**—S. 345, 3 Synax. 145, 51

B V [bis **19** *σεσω*] N + GS s) = r AL (y)

1 *στεγανὰ* = Synax. 145, 45] *τε τίνα* B, *δεσμοῖς τισι στερροτέροις* Nic., nicht übersetzt von Cass. | **2** *ἐξῆλκον* B | **3** *παρασίροντες* Vry Nic. *παρασύραντες* B Synax. 145, 46, *dum trahebantur* Cass. | *τὰς* BVr Nic. > y | *ἐργάσονται* BG | **4** *καταχρήσαντες* B | **4/5** *μυῶν μεγάλων Π* Cass. *μυῶν καὶ γαλῶν* Synax. 18, 1; 573, 53 u. armenisch; (*ἀγέλας*) *μυῶν μεγάλας* Nic. | **5** *ἐν* > V | *καθήρξαν* B | **7** *ἀπὸ σφῶν αὐτῶν* B *ἀπὸ σφῶν* Vry Nic. *a se* Cass., vgl. S. 229, 10/11; 279, 13; 288, 4; 336, 14 u. z. B. Gr. aff. cur. S. 299, 13; 306, 5 [Raeder] | *δύνανται* B | **8** *ὑπὸ*] *ἀπὸ* B | **11** *ἀληθείας*] *φύσεως* A | **14** *ὀριγνώμενοι* schreibe ich] *ὀρεγνώμενοι* B *ἱμειρόμενοι* Vry, vgl. S. 239, 7 | **17** *ἀχαιμενίδης* VN *ἀχεμενίδης* sy *ἀχαμενίδης* B | **18** *προσέταττεν ἀρνεῖσθαι* B *ἀρνεῖσθαι ἐκέλευε* Nic., *imperavit ut negaret* Cass., vgl. S. 346, 14 | **21/22** *καταφρονήσει* Ny *-σειεν* S *-σειν* G | **25** *δέον* vor *τὴν τῶν* ~ ry

ἐγύμνωσε μὲν καὶ τοῦ πλούτου καὶ τῶν ἀξιωμάτων τὸν γενναιότατον ἀγωνιστήν, γυμνὸν δὲ ἔλκειν τῆς στρατιᾶς τὰς καμήλους ἐκέλευσε, διαζώματι χρώμενον μόνῳ. πολλῶν δὲ διελθουσῶν ἡμερῶν, διακύψας ἀπὸ τῆς καμάρας εἶδε τὸν ἄριστον ἄνδρα ἐκεῖνον ὑπὸ τῆς ἀκτίνος φλεγόμενον καὶ κόνεως ἀναπιμπλάμενον. καὶ τῆς πατρῴας περιφανείας ἀναμνησθεὶς ἤγαγέ τε καὶ ἐνδύσασθαι χιτωνίσκον ἐκ λίνου πεποιημένον ἐκέλευσεν. εἶτα νομίσας ὑπό τε τοῦ προτέρου πόνου καὶ τῆς γεγενημένης φιλανθρωπίας μαλακισθῆναι τὸ φρόνημα· »νῦν γοῦν«, ἔφη, »τῆς ἔριδος ἐκείνης ἀπαλλαγεὶς ἀρνήθητι τοῦ τέκτονος τὸν υἱόν«. ὁ δὲ ζήλου θείου πλησθεὶς διέρρηξέ τε τὸν χιτωνίσκον καὶ προσέρριψεν εἰπών· »εἰ διὰ τοῦτό με οἴει τῆς εὐσεβείας ἐκστῆσεσθαι, ἔχε τὸ δῶρον μετὰ τῆς δυσσεβείας«. ταύτην αὐτοῦ τὴν ἀνδρείαν ὁ βασιλεὺς θεασάμενος γυμνὸν οὕτω τῆς βασιλείας ἐξήλασε.

Καὶ Σαήνην δὲ χιλίων οἰκετῶν δεσπότην, ἀντειπόντα αὐτῷ καὶ ἀρνηθῆναι τὸν ποιητὴν οὐκ ἀνεχόμενον, ἐρόμενος ὅστις εἴη τῶν οἰκετῶν ὁ κάκιστος, ἐκείνῳ τῶν ἄλλων τὴν δεσποτείαν παρέδωκε καὶ τὸν δεσπότην ἐκείνῳ δουλεύειν προσέταξε. συνέζευξε δὲ αὐτῷ καὶ τὴν δέσποιναν τὴν τοῦ δεσπότου ὁμόζυγα, ταύτῃ μεταπείσειν ὑποτοπήσας τῆς ἀληθείας τὸν πρόμαχον. ἀλλ' ἐψεύσθη τῆς ἐλπίδος· ἐπὶ γὰρ τῆς πέτρας ᾠκοδομημένην εἶχε τὴν οἰκίαν.

Βενιαμὶν δέ τινα διάκονον συλλαβὼν καθεῖρξε. δύο δὲ διελη-

20 vgl. Matth. 7, 24 25

* **14—19** Synax. 145, 54

B N + GS (s) = r AL (y)

1/2 *γενναιότατον ἀγωνιστήν* B *fortissimum — athletam* Cass. *γενναῖον ἀθλητήν* ry, vgl. S. 347, 2 | **2** *ἐκέλευσε*] *προσέταξεν* L | **3** *μόνῳ* B Synax. Nic. *μόνον* ry | **7** *τε* > s | **10** *θείου* > B, *dei zelo* Cass. | *τε* > B | **11** *εἰπών* B *dicens* Cass. *ἐπειπών* N *ὑπειπών* sy | *οἴῃ* B | **14** *σαήνην* Cod. Nic. (aber im Capiteltitel *σαάνου*) *sainin* Cass. Cod. L *σάννην* B *σονήνην* Gy *σονίνην* S Synax. *κώην* N *Sâhîn* Michael *Sain* armenisch; über diesen persischen Namen, s. Anal. Bolland. 28, 406: *Σάϊν* (Var. *σάην*) Theophan. 306, 30 f, *Σαήν* Chron. Pasch. 706, 12, *Σαΐν* Usener Acta Anastasii S. 3a Z. 13 u. 16 | *αὐτῷ* > B, *sibimet* Cass. | **15** *ποιητὴν*] *δεσπότην* L, *creatorem omnium* Cass. | *ἀνεχόμενον* B *ferentem* Cass. *ἀνασχόμενον* ry *ἀνασχομένου* Synax. | *ἐρόμενος* — **16** *κάκιστος* ry Synax. (*ἐρωτήσας* Synax.) *requirens quisnam servorum eius esset saevissimus* Cass. *ὁρόμενος ὅστις ἐπὶ τῶν οἰκετῶν ὁ κάκιστος ἦν* B | **18** *ὁμόζυγον* s | *μεταπείσειν* ry Synax. *flectere* Cass. *μεταστήσειν* B | **20** *οἰκοδομημένην* GA | **21** u. S. 346, 4. 5. 6 *βενιαμὴν* B | *καθῆρξεν* B

